LXXVI *Eud.* p. 104 19 *Σιλλέως* ἢ *Ἰλλέως* scriptor vit. (*Westerm.* p. 51, 2) post *Καλλιμάχου Eud.* habet *ἐπὶ Πτολ. τ. Εὐεργ. ἐπικλ.*

Πτολεμαίου τοῦ Εὐεργέτου ἐπικληθέντος, καὶ διάδοχος Ἐρατοσθένους γενόμενος ἐν τῇ προστασίᾳ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης.

LXXVII. *Ἀπολλώνιος Ἀλεξανδρεύς, ὁ κληθεὶς Δύσκολος, πατὴρ Ἡρωδιανοῦ τοῦ τεχνογράφου γραμματικοῦ. ὃς ἔγραψε τάδε· περὶ μερισμοῦ τῶν τοῦ λόγου μερῶν βιβλία δ', περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν δ', περὶ ῥήματος ἤτοι ῥηματικὸν ἐν βιβλίοις ε', περὶ τῶν εἰς μι ληγόντων ῥημάτων παραγώγων βιβλίον α', περὶ ὀνομάτων ἤτοι ὀνοματικὸν α', περὶ ὀνομάτων κατὰ διάλεκτον, περὶ τῆς ἐν θηλυκοῖς ὀνόμασιν εὐθείας α', περὶ παρωνύμων α', περὶ συγκριτικῶν, περὶ διαλέκτων Δωρίδος, Ἰάδος, Αἰολίδος, Ἀτθίδος, περὶ σχημάτων Ὁμηρικῶν, περὶ κατεψευσμένης ἱστορίας, περὶ παθῶν, περὶ τόνων κατηναγκασμένων βιβλία β', περὶ τόνων σκολιῶν βιβλίον α', περὶ προσῳδιῶν ε', περὶ στοιχείων, περὶ προθέσεων, περὶ τῶν Διδύμου πιθανῶν, περὶ συνθέσεως, περὶ διφορουμένων, περὶ τοῦ τίς, περὶ γενῶν, περὶ πνευμάτων, περὶ κτητικῶν, περὶ συζυγίας.*

LXXVIII. *Ἀπολλώνιος Ἀρχεβούλου ἢ Ἀρχιβίου. ἔγραψε περὶ λέξεων Ὁμηρικῶν κατὰ στοιχεῖον.*

LXXIX. *Ἀπολλώνιος Ἀφροδισιεὺς ἀρχιερεὺς καὶ ἱστορικός. γέγραφε Καρικά, περὶ Τράλλεων, περὶ Ὀρφέως καὶ τῶν τελετῶν αὐτοῦ.*

LXXX. *Ἀπολλώνιος Τυανεὺς φιλόσοφος, υἱὸς Ἀπολ-*

---

1 *Πτολεμ.* **A** Verba Eudociae corrupta *διάδοχος Ἐρατοσθένους καὶ Εὐφορίωνος καὶ Τιμάρχου* sanavit *Meineke*, Anal. p. 10

LXXVII *Eud.* p. 107. Cf. Daub, Stud. p. 77 5 *γραμματικοῦ* tollere volebat *Cuperus τεχνογράφου καὶ δαιμονίου τῆς γραμματικῆς Eud. τεχνογράφου, γραμματικός* coni. *Daub* 6 *ἢ* ante *τῶν* add. *Daub* 7 *συντάξεων* **A** *ῥημάτων Daub* 8 *ῥηματικῶν* vett. edd. *Eud.* 10 *ὀνομάτων* corr. *Kusterus ῥημάτων* libri *Eud.* 11 *καὶ* ante *περὶ διαλ.* add. **ABEM** 16 *περὶ τῶν Διδύμου — συνθέσεως* om. *Eud.* 17 *διαφορουμένων* **BEM** *vulg.* emendavit *Portus*

LXXXVIII 19 *Ἀρχιβίου Suidas* s. *Ἀπίων*, *Ἀρχίβιος* revocavit *Villoison*. Proleg. Apoll. p. II seq. *Ἀρχεβίου vulg.*

LXXIX *Eud.* p. 85. Cf. Müller IV p. 310 21 Aphrodisiensem et summum sacerdotem Aegypti confusos esse ex Steph. Byz. v. *Λητοῦς πόλις* conclusit *Gutschmid* (qui improbat Meinekii scripturam *ἀναγράφει* pro *ἀναγράφεται*). Idem sacerdotem Letopolitanum de Orpheo scripsisse ratus est. Cf. eius notam ad Sharpe, Aeg. Geschichte II p. 164 22 *κατὰ τῶν τελευτῶν Eud.* corr. *Harles*

LXXX *Eud.* p. 97, quae om. *υἱὸς — ἤκμαζε μέν* et *ἐφ' οὗ —*

λωνίου καὶ μητρὸς πολίτιδος τῶν ἐπιφανῶν, ὃν κύουσα ἡ μήτηρ ἐπιστάντα δαίμονα ἐθεάσατο, λέγοντα ὡς αὐτὸς εἴη ὃν κύει, εἶναι δὲ Πρωτέα τὸν Αἰγύπτιον, ὅθεν ὑπειλῆφθαι αὐτὸν Πρωτέως εἶναι υἱόν. καὶ ἤκμαζε μὲν ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος καὶ μέχρι Νέρβα, ἐφ' οὗ καὶ μετήλλαξεν, ἐσιώπησε δὲ κατὰ Πυθαγόραν πέντε ἔτη. εἶτα ἀπῆρεν εἰς Αἴγυπτον, ἔπειτα εἰς Βαβυλῶνα πρὸς τοὺς μάγους, κἀκεῖθεν ἐπὶ τοὺς Ἄραβας, καὶ συνῆξεν ἐκ πάντων τὰ μυρία καὶ περὶ αὐτοῦ θρυλούμενα μαγγανεύματα. συνέταξε δὲ τοσαῦτα· τελετὰς ἢ περὶ θυσιῶν, διαθήκην, χρησμούς, ἐπιστολάς, Πυθαγόρου βίον.

LXXXI. Ἀπολλώνιος ἕτερος Τυανεύς, φιλόσοφος νεώτερος, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, ὡς Ἀγρέσφων ἐν τῷ περὶ ὁμωνύμων.

LXXXII. Ἀππιανός (οἱ δὲ διὰ τοῦ ἑνὸς π γράφουσιν Ἀπιανός) [ὄνομα κύριον. οὗτος ὁ Ἀππιανὸς ἔγραψε Ῥωμαϊκὴν ἱστορίαν, τὴν καλουμένην βασιλικήν. καὶ αἱ μὲν τρεῖς βίβλοι Ἀππιανοῦ αἱ πρῶται περιλαμβάνουσιν ὅσα Ῥωμαίοις ἀγωνιζομένοις ἐς Ἰταλιώτας ἔτι περὶ ἀρχῆς καὶ ἡγεμονίας ἐπράχθη· ὅσα δ' ἀμφὶ τὴν Ἰταλίαν ἄλλα Κελτοί τε καὶ Λίβυες ἔδρασάν τε καὶ ἔπαθον, καὶ εἴ τί που καὶ τῆς Ἰταλίας μέρος ἀνάγκαις ἢ ἐνέδραις ἢ πλάναις ἐς αὐτοὺς μετέθετο, ἐν τοῖς περὶ Κελτῶν καὶ Λιβύων. συγγέγραπται δ' ἐφ' ἑαυτῶν ὅσα καὶ ἐς τὰς ἐμφυλίους Ῥωμαίων στάσεις ἡ Ἰταλία διῃρεῖτο. ἔτι τοὺς πρὸς Κελτούς, τουτέστι Γερμανούς, οἳ ἀμφὶ τὸν Ῥῆνον ποταμόν εἰσιν, καὶ τοὺς Γαλάτας, τουτέστι Γάλλους, πολέμους καὶ τὰς αἰτίας αὐτῶν, ὅσα τε συνθῆκαι καὶ συνθηκῶν παραβάσεις ἢ ἐπαναστάσεις ἐγένοντο Κελτῶν ἕως ἐπὶ τοῦ Γαΐου, ἡ τετάρτη βίβλος περιέχει συλλαβοῦσα. εἰ δέ τί που Κελτοὶ μὴ κατὰ πρόφασιν οἰκείαν ἀλλὰ συμμαχοῦντες

μαγγανεύματα. Pauca descripsit *Pseudo-Hesych.* c. 1 4 ἐπὶ Γ. καὶ Κλ. *Daub* 10 καὶ ἄλλα πολλὰ add. *Eud.*, post βίον nonnulla ex Philostrati vita Apollonii add. *Suidas*

LXXXI ignorat *Eud.* 13 Ἀργεσιφῶν corr. *Nietzsche*, Mus. Rhen. XXIV p. 227 Ἀγεσιφῶν tentavit *Rohde*, Mus. Rhen. XXXIV p. 621 not. 2, Ἀγερσιφῶν cum *K. Keilio Maass*, Biogr. p. 54 not.

LXXXII Cf. Mendelssohn, Mus. Rhen. XXXI p. 201 seq. 15 οἱ δὲ seq. huc ab exit. art. transposui. 16 De additamento uberiore, quod Suidae debetur, dixi Mus. Rhen. XXXV p. 204 ὄνομα — Ἀπ. om. **BEV** οὗτος seq. habet **A** in marg.

Ἰταλῶν τισιν ἢ μισθοφοροῦντες ἔπραξαν, ἐν τοῖς περὶ ἐκείνων συγγέγραπται· καὶ ὅσον εἰς γνώρισμα μόνον αὐτῶν μέμνηται Ἀππιανός]. *ἔγραψε δὲ Ῥωμαϊκὰ λόγους θ'.*

LXXXIII. *Ἀραρὼς Ἀθηναῖος, υἱὸς Ἀριστοφάνους τοῦ κωμικοῦ, καὶ αὐτὸς κωμικός, διδάξας τὸ πρῶτον ὀλυμπιάδι ρα'. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ Καινεύς, Καμπυλίων, Πανὸς γοναί, Ὑμέναιος, Ἄδωνις, Παρθενίδιον.*

LXXXIV. *Ἄρατος Σολεὺς τῆς Κιλικίας (ἔστι γὰρ καὶ ἐν Κύπρῳ πόλις Σόλοι), υἱὸς Ἀθηνοδώρου· ἀδελφοὶ δὲ αὐτοῦ Μύρις, Καλώνδας, Ἀθηνόδωρος. ἀκουστὴς δὲ ἐγένετο γραμματικοῦ μὲν τοῦ Ἐφεσίου Μενεκράτους, φιλοσόφου δὲ Τίμωνος καὶ Μενεδήμου, γεγονὼς ἐν τῇ ρκδ' ὀλυμπιάδι, ὅτε ἦν Ἀντίγονος βασιλεὺς Μακεδονίας, υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ, ὁ Γονατᾶς κληθείς, καὶ συνῴκει τε αὐτῷ καὶ παρ' αὐτῷ ἐτελεύτησε, σύγχρονος Ἀνταγόρᾳ τῷ Ῥοδίῳ καὶ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ, ἐποποιός. συνέταξε δὲ βιβλία ταῦτα· τὰ Φαινόμενα, ὧν θαυμάσιος ἡ εἰσβολὴ καὶ ὁ ζῆλος Ὁμηρικός, ὕμνους εἰς Πᾶνα, Σπονδοφόρους, παίγνια, ἀστρολογίαν καὶ ἀστροθεσίαν, σύνθεσιν φαρμάκων, θηριακῶν ἐπιτήδεια, ἀνθρωπογονίαν, ἐπιθυτικόν, εἰς Θεόπροπον, εἰς Ἀντίγονον, ἠθοποιίας, ἐπιστολάς, ἐπιγράμματα εἰς Φίλαν τὴν θυγατέρα Ἀντιπάτρου, γυναῖκα δὲ Ἀντιγόνου, ἀνατομήν, εἰς Πανσα-*

---

3 *Ῥωμαϊκούς vulg. Ῥωμαϊκά* **AEV**, quod defendit *Gronovius Ῥωμαϊκῶν Schweighaeuser* (cf. Addenda Westerm.) *λόγους θ'* sunt tamen XXIV (cf. Phot. bibl. p. 15); novem tantum libros Suidam nosse probavit *Schweighaeuser* III p. 898

LXXXIII Cf. Meineke I p. 343 4 Cf. Clinton p. 117 Kr. 7 *παρθενίκαι* **V** *παρθενιδικόν* **M** **Ald.** *Παρθενικαί Daub.* Ceterum in libris et vett. edd. post *Ἀραρώς* legebantur verba *καὶ κλίνεται Ἀραρώς, Ἀραρώ, ὥσπερ ἀμνώς, ἀμνώ, τυφώς, τυφώ,* quae temere delevit *Kusterus*, quippe quae ad glossam grammaticam spectent; in margine habet **A**, sed in textu verba *καὶ κλίνεται ἀραρώ*

LXXXIV *Eud.* p. 105 8 *ἔστι — Σόλοι* om. *Eud.* 9 *ἀδελφὴ* **V** *ἀδελφοί — Ἀθηνόδωρος* om. *Eud.* 10 *Κα* . . . cum lacuna **A** 12 pro verbis *γεγονὼς — ἐτελεύτησε Eud.* exhibet *ἐπὶ Ἀντιγόνου, βασιλέως Μακεδονίας* 13 *Ἀντίγωνος* **A** 14 *Γονατᾶς* **AEM** *Γωνατᾶς vulg.* 17 *ὧν θαυμάσιος — Ὁμηρικός* om. *Eud.* 19 *σύνθεσιν φαρμάκων θηριακῶν ἐπιτηδείαν vulg.* vett. edd. *θηριακῶν ἐπιτήδεια* ex duobus Par. *Kusterus, Bernhardy, Westerm. ἰατρῷ ἐπιτηδείαν Eud. ἰατρικῶν ἐπ. Müller* in Reines. p. 32 *θηριακῷ ἐπιτηδείων Bekker φαρμάκων θηριακῶν, ἐπικήδεια Gutschmid*, qui etiam post *ἐπιγράμματα* interpungit 20 *ἐπιθυτικόν* libri, cuius vicem *Σκυτικόν* apud scriptores vit. Arat. legitur, *ἔτι Θυτικόν Bernhardy* coll. Psello in Boisson. Anecd. III p. 210 22 *ἀνατολὴν* ex vit. Arat. (p. 56, 11) corr. *Meineke*

νίαν τὸν Μακεδόνα, ἐπικήδειον Κλεομβρότου, διόρθωσιν Ὀδυσσείας, ἐπιστολὰς ὁμοίως καταλογάδην.

LXXXV[a]. *Ἀριγνώτη μαθήτρια Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς, Σαμία, φιλόσοφος Πυθαγορική. συνέταξε τάδε· Βακχικά (ἔστι δὲ περὶ τῶν Δήμητρος μυστηρίων, ἐπιγράφεται δὲ καὶ ἱερὸς λόγος). ἔγραψε δὲ καὶ τελετὰς Διονύσου καὶ ἄλλα φιλόσοφα.*

LXXXV[b]. *Ἀρίστανδρος ὁ μάντις, Σεύθου υἱός, ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως. ἔγραψε περὶ μαντικῆς βιβλία δέκα.*

LXXXVI. *Ἀρίσταρχος Ἀλεξανδρεὺς θέσει, τῇ δὲ φύσει Σαμοθρᾷξ, πατρὸς Ἀριστάρχου. γέγονε δὲ κατὰ τὴν ρνϛʹ ὀλυμπιάδα, ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος, οὗ καὶ τὸν υἱὸν ἐπαίδευσεν. λέγεται δὲ γράψαι ὑπὲρ ωʹ βιβλία ὑπομνημάτων μόνων. μαθητὴς δὲ γέγονεν Ἀριστοφάνους τοῦ γραμματικοῦ, καὶ Κράτητι τῷ γραμματικῷ [Περγαμηνῷ] πλεῖστα διημιλλήσατο ἐν Περγάμῳ. μαθηταὶ δὲ αὐτοῦ γραμματικοὶ περὶ τοὺς μʹ ἐγένοντο. τελευτᾷ δὲ ἐν Κύπρῳ, ἑαυτὸν ὑπεξαγαγὼν ἐνδείᾳ τροφῆς, νόσῳ τῇ ὕδρωπι ληφθείς. ἔτη δὲ αὐτοῦ τῆς ζωῆς οβʹ. καὶ παῖδας μὲν κατέλιπεν Ἀρίσταρχον καὶ Ἀρισταγόραν, ἄμφω δὲ ἐγένοντο εὐήθεις, ὥστε καὶ ἐπράθη ὁ Ἀρίσταρχος, Ἀθηναῖοι δὲ ἐλθόντα παρ' αὐτοῖς ἐξωνήσαντο.*

LXXXVII. *Ἀρίσταρχος Τεγεάτης [ὁ τῶν τραγῳδιῶν*

---

1 *Κλεομβρότου* om. articulo *Eud.*, quod rec. *Westerm. Bernhardy τὸν Κλ. vulg. τοῦ Κλ.* **E** *εἰς Κλ.* vel *εἰς τὸν Κλ. θάνατον Kusterus* 2 *ἀμοιβαίας* pro *ὁμοίως* coni. *Hemsterhusius*

LXXXV[a] *Eud.* p. 121 4 *Σαμία* uncis seclusit *Bernhardy*, quia om. **AE** 5 *ἔτι δὲ* flagitaverunt *Kusterus*, *Bernhardy* *τῶν Δήμητρος* **ABV** *τῶν τῆς Δήμ.* rel. codd. *Eud.* *μυστηρίων· ἐπιγράφεται δὲ* **BEV**, quod coni. *Lobeck*, Aglaoph. I p. 359 *ἐπιγράφέρεται* **A** *φέρεται unus Par.* et **Vat. Pearsoni** *ἐπιγράμματα φέρεται* plur. codd. *Eud.* *ἐπιγράμματα· γράφεται* vett. edd. *Eud.*

LXXXV[b] accessit ex *Eud.* p. 127, om. *Suid.* Cf. Unters. p. 49. Qui pleraque falsarii esse contendit Pulch, de Viol. p. 80, mihi quidem non persuasit

LXXXVI *Eud.* p. 108 16 *καὶ Κράτητι* — exit. om. *Eud.* *Περγαμηνῷ* iure suspectum *Bernhardyo*, qui infra tentavit *ἐν Περγ. ὄντι*; *τῷ ἐν Περγ. γραμ. πλεῖστα διημιλλήσατο Gutschmid διημιλλήσασα τὸ ἐν* **A** 19 *ἔτι* **A** 20 *ἦν* post *ζωῆς* add. *Daub*

LXXXVII Tractat *Welcker*, Gr. Trag. p. 931 23 *ὁ τῶν τραγῳδιῶν* — *ἀποφαίνοντες* add. *Suidas* ex Aeliani deperdito libro *de pro-*

ποιητὴς νοσεῖ τινα νόσον, καὶ ἰᾶται αὐτὸν ὁ Ἀσκληπιός, καὶ προστάσσει χαριστήρια τῆς ὑγείας. ὁ δὲ ποιητὴς τὸ δράμα τὸ ὁμώνυμόν οἱ νέμει. θεοὶ δὲ ὑγείας μὲν οὐκ ἄν ποτε μισθὸν αἰτήσαιεν, οὐδ' ἂν λάβοιεν. ἢ πῶς ἄν, εἴγε τὰ μέγιστα ἡμῖν φρενὶ φιλανθρώπῳ καὶ ἀγαθῇ παρέχουσι προῖκα, ἥλιόν τε ὁρᾶν καὶ τοῦ θεοῦ τοῦ τοσούτου τῆς παναρκοῦς ἀμισθὶ μεταλαμβάνειν ἀκτῖνος, καὶ χρῆσιν ὕδατος, καὶ πυρὸς συντέχνου μυρίας ἐπιγονὰς καὶ ποικίλας ἅμα καὶ συνεργοὺς ἐπικουρίας, καὶ ἀέρος σπᾶν, καὶ ἔχειν τροφὴν ζωῆς τὸ ἐξ αὐτοῦ πνεῦμα. ἐθέλουσι δὲ ἄρα ἐν τοῖσδε τοῖς μικροῖς μήτε ἀχαρίστους εἶναι μήτε ἀμνήμονας ἡμᾶς, καὶ ἐν τούτοις ἀμείνονας ἀποφαίνοντες]. οὗτος δὲ ὁ Ἀρίσταρχος σύγχρονος ἦν Εὐριπίδῃ. ὃς πρῶτος εἰς το νῦν αὐτῶν μῆκος τὰ δράματα κατέστησε. καὶ ἐδίδαξε μὲν τραγῳδίας ο', ἐνίκησε δὲ β', βιοὺς ὑπὲρ ἔτη ρ'.

LXXXVIII. Ἀριστέας Δημοχάριδος ἢ Καϋστροβίου, Προκοννήσιος ἐποποιός. τὰ Ἀριμάσπεια καλούμενα ἔπη (ἔστι δὲ ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν) βιβλία γ' [τούτου φασὶ τὴν ψυχήν, ὅταν ἐβούλετο, ἐξιέναι καὶ ἐπανιέναι πάλιν]. γέγονε δὲ κατὰ Κροῖσον καὶ Κῦρον, ὀλυμπιάδι νη'. ἔγραψε δὲ οὗτος καὶ καταλογάδην, θεογονίαν εἰς ἔπη ͵α'.

LXXXIX. Ἀριστείδης Ἀδριανεὺς σοφιστής (Ἀδριανοὶ δὲ πόλις Μυσίας τῆς νῦν Βιθυνίας), Πολέμωνος τοῦ Σμυρναίου ῥήτορος μαθητής, υἱὸς Εὐδαίμονος φιλοσόφου τε καὶ ἱερέως γενομένου τοῦ ἐν τῇ πατρίδι αὐτοῦ ἱεροῦ τοῦ Διός. οἱ δὲ

---

vid𝑒ntia (cf. Suidas v. *Θεόπομπος*), merito om. *Westerm.* reliqua Hesychii s. fin. addens. Cf. quae dixi Mus. Rhen. XXXV p. 204 13 *εἰς τὸν νοῦν* **ABEM**

LXXXVIII *Eud.* p. 115; *Kinkel* I p. 244 15 *Ἀρισταίας* **A** 16 *συντέθηκε τὰ* — *Eud.* 17 *Ἀριμ.* pro glossemate habet *Gutschmid* 18 Verba seclusa ex alio fonte (Max. Tyr. XVI p. 288 et XXXVIII p. 222) accesserunt, eadem praebet *Pseudo-Hes.* c. 2. Cf. Mus. Rhen. l. c., ubi *γέγονε* seq. post *ἐποποιός* collocanda monui *ὅταν* **A** *ὅτε* **BE** 19 *ὀλυμπ. νη'* pro *ὀλ. ν'* (*ν'* **A** al. *η'* rel.) legendum esse persuasit *Rohde*, Mus. Rhen. XXXIII p. 181 not. 3. *ὀγδόῃ* **V** 20 *καταλογάδην τινὰ καὶ Θεογ.* *Kusterus* *καταλογάδην, καὶ Θεογ.* *Toupius*, notitiam de Theogonia mendacem esse putavit *Hiller*, Mus. Rhen. XXXIII p. 522. Cf. Daub, de Suid. p. 417. Ceterum *ἔπη ͵α'* om. *Eud.* *͵α'* om. **V**

LXXXIX *Eud.* p. 111, quae om. *Πολέμ.* — *μαθητής* totamque vitam voce *γενόμενον* terminavit. Cf. Philostrat. Vit. Soph. II, 9 24 *οἱ δὲ Εὐδαίμονα οὐ τὸν πατέρα ἀλλ' αὐτὸν γράφουσι* *Massonius*, vit. Ar. 2 *Εὐαίμονα* *Westerm.*

Εὐδαίμονα τὸν πατέρα αὐτοῦ γράφουσιν. ἠκροάσατο δὲ Ἡρώδου κατὰ τὰς Ἀθήνας καὶ ἐν Περγάμῳ Ἀριστοκλέους, γεγονὼς ἐπί τε Ἀντωνίνου τοῦ Καίσαρος καὶ διατείνας μέχρι Κομόδου. τῶν δὲ λόγων αὐτοῦ παρ' οὐδενὶ πέρας εὕροι τις ἄν, ἄλλως δὲ ἄλλοις ἐπιτευχθέντας.

XC. Ἀρίστιππος Ἀριτάδου ἀπὸ Κυρήνης, φιλόσοφος, Σωκράτους ἀκουστής [ἀφ' οὗπερ ἡ Κυρηναϊκὴ κληθεῖσα αἵρεσις ἤρξατο. πρῶτος δὲ τῶν Σωκρατικῶν μισθοὺς ἐπράξατο. Ξενοφῶντι δὲ εἶχε δυσμενῶς. καὶ ἦν ἱκανὸς ἁρμόσασθαι καὶ χρόνῳ καὶ τόπῳ, καὶ τῶν μὲν παρόντων ἀπέλαυε καὶ ἡδονὴν μετεδίωκε, πόνῳ δὲ ἀπόλαυσιν οὐδεμίαν ἐθήρα τῶν οὐ παρόντων· ὅθεν Διογένης βασιλικὸν κύνα αὐτὸν κάλει. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα καὶ ἄριστα. διήκουσε δὲ αὐτοῦ ἡ θυγάτηρ Ἀρήτη, ἀφ' ἧς ὁ παῖς αὐτῆς ὁ νέος Ἀρίστιππος, ὃς ἐκλήθη μητροδίδακτος. οὗ Θεόδωρος ὁ ἄθεος ἐπικληθείς, εἶτα θεός, τοῦ δὲ Ἀντίπατρος, τοῦ δὲ Ἐπιτιμίδης ὁ Κυρηναῖος, τοῦ δὲ Παραιβάτης, τοῦ δὲ Ἡγησίας ὁ πεισιθάνατος, τοῦ δὲ Ἀννίκερις ὁ Πλάτωνα λυτρωσάμενος].

XCI. Ἀριστογείτων Κυδιμάχου ἢ Λυσιμάχου, Ἀθηναῖος ῥήτωρ, μητρὸς δὲ ἀπελευθερικῆς, ὅστις ἐπεκαλεῖτο Κύων διὰ τὴν ἀναίδειαν αὐτοῦ. ἐφονεύθη δὲ ὑπὸ Ἀθηναίων, λόγους ποιήσας ἀπολογίαν πρὸς Δημοσθένην τὸν στρατηγόν, πρὸς Λυκοῦργον, κατὰ Τιμοθέου, κατὰ Τιμάρχου, κατὰ Ὑπερίδου, κατὰ Θρασύλλου, ὀρφανικόν.

XCII. Ἀριστογένης Θάσιος ἰατρός. ἔγραψε βιβλία κδ'. ἐκρίθη δὲ περὶ διαίτης α', περὶ δυνάμεως α', περὶ δακέτων α', περὶ σπέρματος α', ὑγιεινὸν α', ἐπιστολικά, ἐπιτομὴν φυσικῶν βοηθημάτων πρὸς Ἀντίγονον.

---

3 γεγωνὸς **A** καὶ Μάρκου infeliciter add. *Daub* 4 αὐτοῦ ex **ABVE** add. *Gaisford* τῶν δὲ λόγων παρ' οὐδενὶ πέρας. εὗροι δέ τις ἂν ἄλλους ἄλλοις ἐπιτευχθέντας coni. *Kusterus*

XC 6 Κυρίνης et mox Κυριναϊκὴ **A** 7 ἀφ' οὗπερ — exit. Suidam ex Diog. II, 65 seq. et 86 descripsisse docui Mus. Rhen. l. c. p. 205 16 ἐπιτιμήδης **A** 18 ἀννίκαιρις **A**

XCI *Eud.* p. 111 19 ἢ Λυσ. om. *Eud.* 20 μητρὸς — Ἀθ. om. *Eud.* 22 ἀπολογ. πρ. Δημ. τῶν στρατηγῶν *Gutschmid* 24 συνέγραψε καὶ ἄλλα πλεῖστα post ὀρφανικὸν add. *Eud.*

XCII *Eud.* p. 110 25 βιβ. τριάκοντα *Eud.*, quae mox περὶ δυν. δύο, περὶ δακ. δ', περὶ σπερμ. δύο 27 ὑγιεινῶν *Gutschmid* ἐπιτομὴν φυσ. βοηθημάτων, ἐπιστολικὰ πρὸς Ἀντίγονον coni. *Daub*

XCIII. *Ἀριστογένης* Κνίδιος ἰατρός, δοῦλος Χρυσίππου τοῦ φιλοσόφου, ἰάτρευσεν Ἀντιγόνῳ τῷ ἐπικληθέντι Γονατᾷ.

XCIV. *Ἀριστόδημος*. ἐπιτομὴν τῆς καθόλου Ἡρωδιανοῦ [ἔγραψε] πρὸς Δαναόν.

XCV. *Ἀριστοκλῆς* Λαμψακηνός, φιλόσοφος Στωικός. ἔγραψεν ἐξήγησιν τῶν Χρυσίππου περὶ τοῦ πῶς ἕκαστα λέγομεν καὶ διανοούμεθα, βιβλία δ'.

XCVI. *Ἀριστοκλῆς* Μεσσήνιος τῆς Ἰταλίας, φιλόσοφος Περιπατητικός. συνέταξε περὶ φιλοσοφίας βιβλία ι', πότερον σπουδαιότερος Ὅμηρος ἢ Πλάτων [καταλέγει δὲ ἐν τούτοις πάντας φιλοσόφους καὶ δόξας αὐτῶν]. ἔγραψε δὲ καὶ |τέχνας ῥητορικάς, περὶ Σαράπιδος|, ἠθικὰ βιβλία θ'.

XCVII. *Ἀριστοκλῆς* Περγαμηνὸς σοφιστής, γεγονὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ. τέχνην ῥητορικήν, ἐπιστολάς, περὶ ῥητορικῆς βιβλία ε', μελέτας, πρὸς τόν βασιλέα ἐπὶ τῇ διανεμήσει τοῦ χρυσίου.

XCVIII. *Ἀριστομένης* Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας, οἳ ἦσαν ἐπὶ τῶν Πελοποννησιακῶν, ὀλυμπιάδι πζ'. ἐπεκλήθη Θυροποιός.

XCIX. *Ἀριστόνικος* Ἀλεξανδρεὺς γραμματικός. ἔγραψε περὶ τῶν σημείων τῶν ἐν τῇ θεογονίᾳ Ἡσιόδου καὶ τῶν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας, ἀσυντάκτων ὀνομάτων βιβλία ϛ'.

C. *Ἀριστόξενος* υἱὸς Μνησίου τοῦ καὶ Σπινθάρου, μου-

XCIII *Eud.* p. 110 1 δοῦλος: *Wachsmuth,* Symb. p. 140 2 ἰατροῦ pro φιλ. corr. *Reinesius*; de Cnidio enim medico agitur

XCIV 3 post Ἡρωδ. interpunxit **A** 4 πρὸς Διογενειανόν coni. *Bernhardy,* πρὸς Δάρδανον *Schmidt,* Didym. p. 348 not. 2

XCV *Eud.* p. 121

XCVI *Eud.* p. 111. De eo cf. Müller IV p. 329 not. 10 verba καταλέγει — αὐτῶν hoc loco inepta esse patet, itaque aut post φιλοσοφίας βιβλία ι' transponenda sunt, quod visum est *Kustero,* aut omnino eicienda utpote a lectore aliquo adscripta. Ceterum cf. v. Σωτάδας 11 Quae seclusi Pergameni esse vidit *Gutschmid*

XCVII *Eud.* p. 112, quae Hesychii articulum usque ad Ἀδριανοῦ descripsit, additis nonnullis ex Philostrat. Vit. II, 3

XCVIII *Eud.* p. 116. Tractat *Meineke* I p. 210 seq. 19 ὀλυμπιάδι, ut videtur, **A** corr. *Portus* ἐπὶ Ὀλ. τῶν Πελοποννησίων **E** ὀλυμπιάδων *vulg. Eud.* De aetate cf. v. Φρύνιχος κωμ.

XCIV *Eud.* p. 108. Cf. meam scholiorum Hesiodeorum editionem p. 96 seq. Cf. etiam v. Πτολεμαῖος ὁ Ἀριστονίκου

C *Eud.* p. 123. Cf. Steph. Byz. v. Τάρας; Müller II p. 268 23 καὶ om. *Eud.*

σικοῦ, ἀπὸ Τάραντος τῆς Ἰταλίας. διατρίψας δὲ ἐν Μαντινείᾳ φιλόσοφος γέγονε, καὶ μουσικῇ ἐπιθέμενος οὐκ ἠστόχησεν, ἀκουστὴς τοῦ τε πατρὸς καὶ Λάμπρου τοῦ Ἐρυθραίου εἶτα Ξενοφίλου τοῦ Πυθαγορείου καὶ τέλος Ἀριστοτέλους, εἰς ὃν ἀποθανόντα ὕβρισε, διότι κατέλιπε τῆς σχολῆς διάδοχον Θεόφραστον, αὐτοῦ δόξαν μεγάλην ἐν τοῖς ἀκροαταῖς τοῖς Ἀριστοτέλους ἔχοντος γέγονε δὲ ἐπὶ τῶν Ἀλεξάνδρου καὶ τῶν μετέπειτα χρόνων, ὡς εἶναι ἀπὸ τῆς ρια' ὀλυμπιάδος, σύγχρονος Δικαιάρχῳ τῷ Μεσσηνίῳ. συνετάξατο δὲ μουσικά τε καὶ φιλόσοφα καὶ ἱστορίας καὶ παντὸς εἴδους παιδείας, καὶ ἀριθμοῦνται αὐτοῦ τὰ βιβλία εἰς υνγ'.

CI. *Ἀριστοτέλης* υἱὸς Νικομάχου καὶ Φαιστίδος (ὁ δὲ Νικόμαχος ἰατρὸς ἦν τοῦ τῶν Ἀσκληπιαδῶν γένους, ἀπὸ Νικομάχου τοῦ Μαχάονος) ἐκ Σταγείρων πόλεως τῆς Θρᾴκης, φιλόσοφος, μαθητὴς Πλάτωνος, τραυλὸς τὴν φωνήν. καὶ ἀδελφοὺς μὲν ἔσχεν Ἀρίμνηστον καὶ Ἀριμνήστην, θυγατέρα δὲ ἀπὸ Πυθιάδος τῆς θυγατρὸς Ἑρμείου τοῦ εὐνούχου, ὃς καὶ θλαδίας ὢν αὐτὴν ἔσπειρε. γημαμένη δὲ τρισὶν ἡ Ἀριστοτέλους θυγάτηρ, τεκνώσασα προετελεύτησεν Ἀριστοτέλους τοῦ πατρός. ἔσχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ Ἑρπυλλίδος παλλακῆς, ἣν [ἠγάγετο] μετὰ Πυθιάδα παρ' Ἑρμείου τοῦ εὐνούχου (ὅστις ἦν ἄρχων Ἀταρνέως· χώρα δὲ αὕτη Τρωάδος, Εὐβούλου δὲ τοῦ Βιθυνοῦ δοῦλος γεγονὼς) ἔλαβε, καὶ αὐτοῦ Ἑρμείου παιδικὰ γενομένου Ἀριστοτέλους. ἦρξε δὲ ἔτη ιγ' τῆς περιπατητικῆς κληθείσης φιλοσοφίας διὰ τὸ ἐν περιπάτῳ ἤτοι κήπῳ διδάξαι ἀναχωρήσαντα τῆς Ἀκαδημείας, ἐν ᾗ Πλάτων ἐδίδαξεν, ἐγεννήθη δὲ ἐν τῇ ϙθ' ὀλυμπιάδι, καὶ ἀπέθανεν ἀκόνιτον πιὼν ἐν Χαλκίδι, διότι ἐκαλεῖτο πρὸς εὐθύνας,

---

4 εἰς ὃν — ὀλυμπιάδος et καὶ παντὸς — exit. om. *Eud.* 6 τῆς Ἀρ. **A** τοῖς Ἀρ. **V** τοῖς del. *Daub* 8 ἐπὶ τῆς ρια' ὀλ. flagitavit *Bernhardy*, refutatus a *Rohdeo*, Mus. Rhen. XXXIII p. 166 not., qui codd. scripturam tuetur 10 παιδείας ex duobus Par. *Kusterus* καὶ παιδ: *vulg.* περὶ παντὸς εἴδους *Bernhardy*, sed βιβλία supplendum censet *Daub* ἀριθμοῦνται corr. *Pearsonus* et *Kusterus*, ἀριθμοῦ libri, ἀριθμὸν *Daub*

CI Cf. Steph. Byz. v. Στάγειρα. Vitam descripsit auctor vitae Menagianae 12 Φαιστίδος *Westerm.* Φαιστιάδος *vulg.* 14 Μαχαῶνος **B** et **E** m. I Μαχάωνος **M** 16 μὲν om. **BE** 17 Ἑρμίου hic et infra **A** 18 θλιβίας pro θλαδίας cod. *Menag.* θλαιδίας **A** ἔπειρε **A** ἔπηρε **BE** γαμουμένη **M** om. **BE** 20 εἶχε cod. *Menag.* ἑρπόλιδος **BE** 21 ἠγάγετο om. cod. *Menag.* tuetur *Bernhardy*, parenthesin post ἔλαβε collocans 24 παιδικοῦ **A** 26 ἀκαδημίας **A** 28 χαλκήδι **A**

ἐπειδὴ ἔγραψε παιᾶνα εἰς Ἑρμείαν τὸν εὐνοῦχον. οἱ δέ φασι νόσῳ αὐτὸν τελευτῆσαι βιώσαντα ἔτη ο'.

CII. *Ἀριστοφάνης Ῥόδιος ἤτοι Λίνδιος (οἱ δὲ Αἰγύπτιον ἔφασαν, οἱ δὲ Καμιρέα), θέσει δὲ Ἀθηναῖος (ἐπολιτογραφήθη γὰρ παρ' αὐτοῖς), κωμικός, υἱὸς Φιλίππου, γεγονὼς ἐν τοῖς ἀγῶσι κατὰ τὴν ριδ' ὀλυμπιάδα, εὑρετὴς τοῦ τετραμέτρου καὶ ὀκταμέτρου, παῖδας σχὼν Ἀραρότα, Φίλιππον, Φιλέταιρον κωμικούς. τινὲς δὲ αὐτὸν καὶ ἀπόδουλον ἱστορήκασι. δράματα δὲ αὐτοῦ μδ'. [ἅπερ δὲ πεπράχαμεν Ἀριστοφάνους δράματα, ταῦτα· Ἀχαρνεῖς, Βάτραχοι, Εἰρήνη, Ἐκκλησιάζουσι, Θεσμοφοριάζουσαι, Ἱππεῖς, Λυσιστράτη, Νεφέλαι, Ὄρνιθες, Πλοῦτος, Σφῆκες.]*

CIII. *Ἀριστοφάνης Βυζάντιος γραμματικός, υἱὸς Ἀπελλοῦ ἡγουμένου στρατιωτῶν, μαθητὴς Καλλιμάχου καὶ Ζηνοδότου (ἀλλὰ τοῦ μὲν νέος, τοῦ δὲ παῖς ἤκουσε), πρὸς δὲ τούτοις καὶ Διονυσίου τοῦ Ἰάμβου καὶ Εὐφρονίδα τοῦ Κορινθίου ἢ Σικυωνίου. γέγονε δὲ κατὰ τὴν ρμδ' ὀλυμπιάδα*

CII Cf. v. Wilamowitz-Möllendorff Anal. Eur. p. 135 not. 3 et in Herma XIV p. 461 seq. et quae dixi Mus. Rhen. XXXV p. 193 et 235, ubi verba *ἅπερ* — exit. Suidae soli tribui 3 *Αἰγινήτην* vit. Arist. p. 156, 28 West. 6 *ριδ'* aperte corruptum, quare nonnulla excidisse suspicatus est *Bernhardy* 8 *τινές*: *Wachsmuth*, Symb. p. 140 9 de usu vocis *πράττειν* cf. Bünger, de Ar. Equ. etc. apud Suid. rel. (Argentor. 1878) p. 9 seq. Ceterum comparare licet doctam vitam, quae legitur in schol. Platon. VI p. 227 Herm.: *Ἀριστοφάνης ὁ κωμῳδιοποιὸς φαλακρὸς ἦν, ὡς αὐτός φησιν Εἰρήνῃ· ἐκωμῳδεῖτο δ' ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. Κρατῖνος· 'τίς δὲ σύ; κομψός τις ἔροιτο θεατὴς ὑπολεπτόλογος, γνωμιδιώτης εὐριπιδαριστοφανίζων', καὶ αὐτὸς δ' ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις· 'χρῶμαι γὰρ αὐτοῦ, φησί, τοῦ στόματος τῷ στρογγύλῳ· τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ 'κεῖνος ποιῶ'. Ἀριστώνυμος δ' ἐν Ἡλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν γενέσθαι, διὸ τὸν βίον κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν, ὡς καὶ Φιλόχορος ἐν τῇ πρώτῃ περὶ ἡμερῶν ἱστορεῖ. ταύτῃ δὲ καὶ Ἡρακλῆ φασι γεννηθῆναι. τρεῖς δ' ἔσχεν υἱούς, Φίλιππον τὸν τοῦ Εὐβούλου δράμασιν ἀγωνισάμενον καὶ Ἀραρότα ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασι διηγωνισμένον καὶ τρίτον, ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλέταιρον. κατεκλήρωσε δὲ καὶ τὴν Αἴγιναν, ὡς Θεογένης ἐν τῷ περὶ Αἰγίνης. κωμῳδεῖται δέ, ὅτι καὶ τὸ τῆς εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις Αὐτολύκῳ, Πλάτων Νίκαις.* Cf. Mettauer, de font. p. 59 seq.

CIII *Eud.* p. 108, quae om. *ἄλλα* — *ἤκουσε* et *ἢ Σικ.* — exit. Cf. Daub, Stud. p. 78 14 *τοῦ* post *Ἀπ.* add. *Daub* *Ζηνοδόχου* V 17 *ρμε'* *Paris. Kusteri Ionsius* *ρμδ'* **ABEV** *Gaisford.* *με'* pars edd.

βασιλεύοντος Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ τοῦ μετ' αὐτὸν τοῦ Φιλοπάτορος καὶ προέστη τῆς τοῦ βασιλέως βιβλιοθήκης μετὰ Ἀπολλώνιον, ἔτος ἄγων ξβ'. διασκευασθεὶς δὲ ὡς βουλόμενος πρὸς Εὐμενῆ φυγεῖν, ἐφυλάχθη ἐν εἱρκτῇ χρόνον τινά. ἠφείθη δὲ καὶ ὑπὸ στραγγουρίας τελευτᾷ, ἔτη βεβιωκὼς οζ'. συγγράμματα δὲ αὐτοῦ πάνυ πολλά.

CIV. *Ἀριστώνυμος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἥλιος ῥιγῶν, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς* ...

CV. *Ἀρίων Μηθυμναῖος λυρικός, Κυκλέως υἱός, γέγονε κατὰ τὴν λη' ὀλυμπιάδα. τινὲς δὲ καὶ μαθητὴν Ἀλκμᾶνος ἱστόρησαν αὐτόν. ἔγραψε δὲ ᾄσματα, προοίμια εἰς ἔπη ͵β'. λέγεται καὶ τραγικοῦ τρόπου εὑρετὴς γενέσθαι, καὶ πρῶτος χορὸν στῆσαι καὶ διθύραμβον ᾆσαι, καὶ ὀνομάσαι τὸ ᾀδόμενον ὑπὸ τοῦ χοροῦ, καὶ Σατύρους εἰσενεγκεῖν ἔμμετρα λέγοντας. [φυλάττει δὲ τὸ ω καὶ ἐπὶ γενικῆς.]*

CVI. *Ἀρκάδιος γραμματικὸς Ἀντιοχεύς. ἔγραψε περὶ ὀρθογραφίας, περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν, ὀνοματικὸν θαυμάσιον.*

CVII. *Ἀρκεσίλαος [ὄνομα κύριον] φιλόσοφος* ...

CVIII. *Ἀρκτῖνος Τήλεω τοῦ Ναύτεω ἀπογόνου, Μιλή-*

---

codd. *μεν'* M Ald. Cf. Rohde, Mus. Rhen. XXXIII p. 167 not. 3   1 opus videtur emendatione *Bernhardyi* a *Westermanno* recepta: *διέτεινε δὲ μέχρι Πτολεμαίου τοῦ Φιλοπάτορος καὶ τοῦ μετ' αὐτὸν βασ.* Ceterum verba *βασ.* — *πολλά* in omnibus libris post Aristonymi comici vitam leguntur: *Bergk*, Lit. Gr. p. 292 not. 47. Cf. Daub, de Suid. p. 410. Ad Aristophanem Byzantium spectare primus vidit *Meineke* I p. 197 seq. 3 *βουλευόμενος* A   5 *βεβιοκὼς* A

CIV *Eud.* p. 116. Cf. Meineke I p. 197   8 *ὡς Ἀθ.* seq. om. *Eud.* add. *καὶ ἄλλα πολλὰ συγγράμματα αὐτοῦ εὑρίσκονται λόγου ἄξια*, quae verba ex additamento in vita Byzantii extante profecta esse patet Athen. VII p. 284 et 287

CV *Eud.* p. 115. Cf. Steph. Byz. v. *Μήθυμνα*; Daub, de Viol. p. 8   9 *υἱός, μαθητὴς Ἀλκμ. Eud.*   10 *λη'* plur. libri, quod rectum esse ostendit *Rohde*, Mus. Rhen. XXXIII p. 201 not. *κη'* BE *Gaisford* *κθ'* *Reinesius*   11 *ἔπη ͵β* numerum vitiosum esse putavit *Bernhardy*, effictum esse putat *Hiller*, Mus. Rhen. XXXIII p. 522   13 *ᾆσαι καὶ* del. *Daub*, *ᾆσαι καὶ ὀνομ. τὸν ᾀδ.* *Hemsterhusius*   14 *ἔμμετρον* A   15 *φυλάττει* seq. gl. grammaticam continet; *φυλάττει δὲ καὶ ἐπὶ γενικῆς* A *φυλάττεται δὲ καὶ* V *φυλάττει τὸ ω* rel. om. *Eud.*

CVI *Eud.* p. 109   17 *συντάξεων* V sequens *τῶν* om. A   *ὀνομαστικόν* *vulg.*   18 *καὶ* ante *θαυμ.* add. A

CVII Cf. Diog. IV, 28 seq. Expunxi glossam grammaticam. Ceterum cf. v. *Ἀκύλας*

CVIII 20 *Ἀρκτῆνος* A

σιος, ἐποποιός, μαθητὴς Ὁμήρου, ὥς λέγει ὁ Κλαζομένιος Ἀρτέμων ἐν τῷ περὶ Ὁμήρου, γεγονὼς κατὰ τὴν θ' ὀλυμπιάδα, μετὰ τετρακόσια ἔτη τῶν Τρωικῶν.

CIX. Ἁρποκρατίων Ἀργεῖος, Πλατωνικὸς φιλόσοφος, συμβιωτὴς Καίσαρος. ἔγραψεν ὑπόμνημα εἰς Πλάτωνα ἐν βιβλίοις κδ', λέξεις Πλάτωνος ἐν βιβλίοις β'.

CX. Ἁρποκρατίων ὁ Γάϊος χρηματίσας, σοφιστής. ἔγραψε περὶ τῶν Ἀντιφῶντος σχημάτων, περὶ τῶν Ὑπερίδου καὶ Λυσίου λόγων καὶ ἕτερα.

CXI. Ἁρποκρατίων ὁ Αἴλιος χρηματίσας, σοφιστής. ἔγραψε περὶ τῶν δοκούντων τοῖς ῥήτορσιν ἠγνοῆσθαι, καὶ ὑποθέσεις τῶν λόγων Ὑπερίδου, περὶ τοῦ κατεψεῦσθαι τὴν Ἡροδότου ἱστορίαν, περὶ τῶν παρὰ Ξενοφῶντι τάξεων, περὶ τέχνης ῥητορικῆς, περὶ ἰδεῶν.

CXII. Ἁρποκρατίων ὁ Βαλέριος χρηματίσας, ῥήτωρ Ἀλεξανδρεύς. λέξεις τῶν ι' ῥητόρων, ἀνθηρῶν συναγωγήν.

CXIII. Ἀρριανὸς ἐποποιός, μετάφρασιν τῶν γεωργικῶν τοῦ Βεργιλλίου ἐπικῶς ποιήσας, Ἀλεξανδριάδα (ἔστι δὲ τὰ κατὰ τὸν Μακεδόνα ἐν ῥαψῳδίαις κδ'), εἰς Ἄτταλον τὸν Περγαμηνὸν ποιήματα.

CXIV. Ἀρριανὸς Νικομηδεύς, φιλόσοφος Ἐπικτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ

---

2 de Artemone v. *Müller* IV p. 341 α' ὀλυμπ. *Sengebusch,* Annal. Phil. 67 p. 379, idem infra μετὰ νη' ἔτη proposuit, μετὰ νμ' maluit *Rohde*, Mus. Rhen. XXXIII p. 173, ϋι et supras. λ **V**, νι **E**

CIX—CXII Brevius alterum, tertium, quartum Harp. tractavit *Eud.* p. 112 seq., fusius primum p. 125, sed inverso ordine, cum Aelium sequatur Gaius, hunc Valerius. Aelium eundem esse cum Gaio suspicatus est post *Kiessling.* Lyc. fr. p. 20 etiam *Müller* IV p. 412. Ceterum cf. Boysen, de Harpocrat. font. p. 10 sq. 5 ὑπομνήματα *Eud.* ὑπόμνημα post Πλάτ. iteravit **A**

CX 1 ἔγραψε om. **E**

CXI 11 τοῖς om. **A**

CXII 16 συναγωγή **V**

CXIII *Eud.* p. 115. Duos scriptores Suidam (i. e. Hesychium) confudisse, cum idem non Georgicorum metaphrasin et laudationem Attali componere potuerit, censet *Meineke,* Anal. p. 371. Cf. Daub, de Suid. p. 416 17 μετέφρασε τὰ Β. γε. ἐπικῶς καὶ ἄλλα πολλὰ εἰς Ἄτταλον τ. Περγ. *Eud.* 18 ποιήσας susp. 19 ῥαψῳδίᾳ *vulg.* (et fortasse **A**) post ῥαψῳδίᾳ lacuna extat in **M** **Ald.** ῥαψῳδίαις **V** 20 ποιήματα om. *Eud.*

CXIV *Eud.* p. 120, quae om. τῶν βασιλέων — δεξιότητα. Cf. Steph. Byz. v. Νικομήδεια

καὶ Μάρκου καὶ Ἀντωνίνου τῶν βασιλέων, καὶ ἀξιωμάτων μεταλαβὼν καὶ μέχρις αὐτοῦ τοῦ ὑπατεῦσαι, καθά φησιν Ἑλικώνιος, διὰ τὴν τῆς παιδείας δεξιότητα. ἔγραψε δὲ βιβλία παμπληθῆ.

CXV. *Ἀρτεμίδωρος Δαλδιανός (πόλις δέ ἐστι Λυδίας ἡ Δάλδις), φιλόσοφος. ἔγραψεν ὀνειροκριτικὰ ἐν βιβλίοις δ′, οἰωνοσκοπικὰ καὶ χειροσκοπικά.*

CXVI. *Ἀρχέδικος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Θησαυρὸς καὶ Διαμαρτάνων, ὡς Ἀθήναιός φησιν ἐν τοῖς Δειπνοσοφισταῖς.*

CXVII. *Ἀρχέλαος Ἀπολλοδώρου ἢ Μύδωνος, Μιλήσιος φιλόσοφος, φυσικὸς τὴν αἵρεσιν κληθείς, ὅτι ἀπὸ Ἰωνίας πρῶτος τὴν φυσιολογίαν ἤγαγεν, Ἀναξαγόρου μαθητὴς τοῦ Κλαζομενίου· τοῦ δὲ μαθητὴς Σωκράτης, οἱ δὲ καὶ Εὐριπίδην φασίν. συνέταξε δὲ φυσιολογίαν καὶ ἐδόξαζε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ. συνέταξε καὶ ἄλλα τινά.*

CXVIII. *Ἀρχίβιος Ἀπολλωνίου, γραμματικός. τῶν Καλλιμάχου ἐπιγραμμάτων ἐξήγησιν.*

CXIX. *Ἀρχίβιος Πτολεμαίου Λευκάδιος ἢ Ἀλεξανδρεύς, γραμματικὸς τῶν ἕως Τραϊανοῦ τοῦ Καίσαρος ἐν Ῥώμῃ παιδευσάντων.*

CXX. *Ἀρχιγένης Φιλίππου, Ἀπαμεὺς Συρίας, ἰατρός, μαθητὴς Ἀγαθίνου, ἐπὶ Τραϊανοῦ ἰατρεύσας ἐν Ῥώμῃ, βιοὺς ἔτη ξγ′ καὶ συγγράψας πολλὰ ἰατρικά τε καὶ φυσικά.*

XXXI. *Ἀρχιμήδης Τραλλιανός, φιλόσοφος. ὑπόμνημα εἰς Ὅμηρον, |καὶ μηχανικά|.*

---

1 *Ἀντωνίου* A *Ἀντ. καὶ Μα.* *Daub* 2 *καὶ* fort. delendum 3 *ἔγραψε* om. *δὲ* *Eud.*

CXV *Eud.* p. 127 5 *Δάλδις, πόλις Λυδ.* *Eud.*

CXVI *Eud.* p. 116. Cf. Meineke I p. 458; *Daub*, de Suid. p. 483 9 in vocabulum *Θησ.* desinit *Eud.* Athen. VII p. 292 et 294, XI p. 467 10 Adnectit Suidas alteram Archedici vitam ex Polyb. XII, 13 descriptam, quae etiam in Violarium migravit

CXVII 11 *Μύδωνος* E man. I et Diog. II, 16 *Μίδωνος* plur. libr. et edd. 14 *Εὐριπίδην* corr. *Kusterus* *Εὐριπίδης* A *Εὐριπίδου* *vulg.*

CXVIII *Eud.* p. 109 18 *ἔγραψε* add. *Eud.*

CXIX *Eud.* p. 109 *καὶ ἕτερος* ante *Ἀρχ.* add. *Eud.* 20 *Τραΐνοῦ* A

CXX *Eud.* p. 110 22 *Φιλ. καὶ Ἀπαμ.* A *Φιλίππου υἱὸς τοῦ ἰατροῦ* *Eud.* *τῆς* vel *ἐκ Συρ.* *Daub* *ἰατροῦ Ἀγαθ. μαθητὴς* *Eud.* 24 *πγ′* *Eud.* *καὶ ἔγραψε* *Eud.*

CXXI *Eud.* p. 127 26 *καὶ εἴς τινας τοῦ Πλάτωνος διαλόγους* add. *Eud.*, quae verba ab Hesychio abiudicavit *Daub*, commentarios

CXXII. *Ἄρχιππος* Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. ἐνίκησεν ἅπαξ ἐπὶ τῆς ϟα' ὀλυμπιάδος.

CXXIII. *Ἀρχύτας* Ταραντῖνος, Ἑστιαίου υἱὸς ἢ Μνησάρχου ἢ Μνασαγέτου ἢ Μνασαγόρου, φιλόσοφος Πυθαγορικός. οὗτος Πλάτωνα ἔσωσε μὴ φονευθῆναι ὑπὸ Διονυσίου τοῦ τυράννου. τοῦ κοινοῦ δὲ τῶν Ἰταλιωτῶν προέστη, στρατηγὸς αἱρεθεὶς αὐτοκράτωρ ὑπὸ τῶν πολιτῶν καὶ τῶν περὶ ἐκεῖνον τὸν τόπον Ἑλλήνων. ἅμα δὲ καὶ φιλοσοφίαν ἐκπαιδεύων μαθητάς τ' ἐνδόξους ἔσχε καὶ βιβλία συνέγραψε πολλά. [τοῦτον φανερῶς γενέσθαι διδάσκαλον Ἐμπεδοκλέους. καὶ παροιμία "Ἀρχύτου πλαταγή", ὅτι Ἀρχύτας πλαταγὴν εὗρεν, ἥτις ἐστὶν εἶδος ὀργάνου ἦχον καὶ ψόφον ἀποτελοῦντος.]

CXXIV. *Ἀσίνιος* Πωλίων Ῥωμαῖος. ἱστορίας Ῥωμαϊκὰς συνέταξεν ἐν βιβλίοις ιζ'. οὗτος πρῶτος ἑλληνικὴν ἱστορίαν ῥωμαϊκῶς συνεγράψατο.

CXXV. *Ἀσκληπιάδης* Διοτίμου Μυρλεανὸς (πόλις δέ

---

hosce nunquam extitisse somniavit *Pulch* p. 82 26 μηχανικὰ mathematici esse monet *Gutschmid*

CXXII *Eud.* p. 117. Tractat Meineke I p. 205 1 ἐνίκησεν seq. om. *Eud.*; vitam inseruisse in Violarium interpolatoris manum docuit *Volkmann*, Quaest. nov. p. VI

CXXIII Cf. Steph. Byz. v. Τάρας; Diog. VIII, 79 3 ἢ Μνασαγέτου ex **ABVE** add. *Gaisford* 8 ἐκείνων sed o suprascr. **A** 9 καὶ ante βιβλ. om. **A**. Cf. Mus. Rhen. XXXV p. 205 10 τοῦτον — exit. non ab Hesychio profecta sunt; ceterum φανερῶς mendosum esse perspexit *Bernhardy*, sed quod proposuit φησὶ Φανίας ὁ Ἐρέσιος vix ferri potest; τοῦτόν φασι φαν. *Daub* τοῦτον φανερὸν *Gutschmid* 11 de crepitaculo Arch. cf. Arist. Pol. VIII, 6 12 εἴ τις **A** ἢ *vulg.* καὶ **AV**

CXXIV Cf. Suidas v. Πωλίων. *Eud.* p. 592; Thouret, de Cic. Asin. Poll. etc. (Lips. 1878). Cf. quae de Pollionibus dixi Mus. Rhen. XXXVI p. 316 seq. 13 Ἀσσίννιος **A** Ἀσίννιος *vulg.* 14 οὗτος — exit. ex uberiore expositione compilata et de Pompeio Trogo intellegenda esse coni. *Gutschmid*

CXXV *Eud.* p. 109, quae om. καὶ Εὐμενοῦς — βασιλέων et ἐπαίδευσε — exit. Ceterum cf. Steph. Byz. v. Μύρλεια; *Lehrs*, Herod. p. 429; *Rohde*, Mus. Rhen. XXXIII p. 173 not. 4, XXXIV p. 571. Ipse de vita egi Mus. Rhen. XXXV p. 206 seq. Perturbationem articuli inde ortam esse, quod Hesychius apud Philonem duos invenerit grammaticos eiusdem nominis, unum Nicaeensem (Steph. Byz. Νίκαια), Myrleanum alterum, quorum vitas errans confuderit, vidit *Rohde*. Ipse iunioris vitam sic restitui: Ἀσκλ. — Νικ. γραμμ. (Κρατήτειος?). γέγονε ἐπὶ Ἀττάλου (138—133) καὶ ἐπαίδευσεν ἐν Περγάμῳ. ἐπαίδευσε καὶ εἰς Ῥώμην ἐπὶ Πομπηίου τοῦ μεγ. ἔγραψε πολλά, antiquioris grammatici sic: Ἀσκλ. — Μυρλ. γραμμ., μαθητὴς Ἀπ. γέγονε δὲ ἐπὶ Εὐμενοῦς (197—159) τοῦ ἐν Περγάμῳ βασιλέως καὶ ἐπαίδευσεν ἐν Ἀλεξανδρείᾳ, ἐπὶ τοῦ δ' Πτολε-

ἐστι Βιθυνίας, ἡ νῦν Ἀπάμεια καλουμένη), τὸ δὲ ἄνωθεν γένος ἦν Νικαεύς, γραμματικός, μαθητὴς Ἀπολλωνίου. γέγονε δὲ ἐπὶ τοῦ Ἀττάλου καὶ Εὐμενοῦς τῶν ἐν Περγάμῳ βασιλέων. ἔγραψε φιλοσόφων βιβλίων διορθωτικά.

ἐπαίδευσε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Πομπηίου τοῦ μεγάλου, καὶ ἐν Ἀλεξανδρείᾳ ἐπὶ τοῦ δ' Πτολεμαίου νέος διέτριψεν. ἔγραψε πολλά.

CXXV^b. Ἀσπασία. αὕτη Ἀξιόχου, Μιλησία, γυνὴ Περικλέους, παρὰ Σωκράτει πεφιλοσοφηκυῖα, ὡς Διόδωρος ἐν τῷ περὶ Μιλήτου συγγράμματί φησιν. ἐπεγήματο δὲ μετὰ τὸν Περικλέους θάνατον Λυσικλεῖ τῷ προβατοκαπήλῳ, καὶ ἐξ αὐτοῦ ἔσχεν υἱὸν ὀνόματι Ποριστήν, καὶ τὸν Λυσικλέα ῥήτορα δεινότατον κατεσκευάσατο, καθάπερ καὶ Περικλέα δημηγορεῖν παρεσκεύασεν, ὡς Αἰσχίνης ὁ Σωκρατικὸς ἐν διαλόγῳ Καλλίᾳ καὶ Πλάτων ὁμοίως Πεδήταις. Κρατῖνος δὲ τύραννον αὐτὴν καλεῖ Χείρωσιν, Ὀμφάλην Εὔπολις Φίλοις. ἐν δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ· ὁ δὲ Κρατῖνος καὶ Ἥραν, ἴσως ὅτι καὶ Περικλῆς Ὀλύμπιος προσηγορεύετο. ἔσχε δὲ ἐξ αὐτῆς ὁ Περικλῆς νόθον υἱόν, ἐφ' ᾧ καὶ ἐτελεύτα τῶν γνησίων προαποθανόντων, ὡς Εὔπολις Δήμοις.

CXXVI. Ἀσπάσιος Βύβλιος σοφιστής, συγχρονῶν Ἀριστείδῃ καὶ Ἀδριανῷ. ἔγραψε περὶ Βύβλου, περὶ στάσεων ἐσχηματισμένων, μελέτας, τέχνας, ὑπομνήματα, λαλιάς, ἐγκώμιον εἰς Ἀδριανὸν τὸν βασιλέα καὶ εἰς ἄλλους τινάς.

CXXVII. Ἀσπάσιος Δημητριανοῦ τοῦ κριτικοῦ ⟨υἱὸς⟩ καὶ μαθητής, Ῥαβενναῖος σοφιστής, γεγονὼς ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας. πρὸς τοὺς φιλολοιδόρους καὶ πρὸς Ἀρίστωνα, λόγους διαφόρους. ἠκροάσατο δὲ Πανσανίου καὶ Ἱπποδρόμου, καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ, διαπρέψας μέχρι πολλοῦ.

μαίου († 204) νέος διατρίψας. ἔγραψε φιλοσόφων βιβλίων διορθωτικά. 1 Βυθυνίας A γένος om. V 3 ἐπί τε *Gutschmid* 6 η' vel θ' *Reinesius*

CXXV^b totam vitam inserui ex schol. Platon. IV p. 329 Herm., quamquam talem ab Hesychio non profectam esse patet. Cf. Mettauer, de font. p. 60. Videntur verba αὕτη — Ποριστήν, ἔσχε δὲ — exit. Hesychii esse. Descripsit Suidas articulum Harpocrat. v. Ἀσπασία

CXXVI *Eud.* p. 114. Cf. Müller III p. 576, qui Byblium non diversum a Tyrio putat 21 σύγχρονος Ἀρ. *Eud.*

CXXVII *Eud.* p. 113 25 post κριτικοῦ add. *Eud.* μαθηματικοῦ καὶ εὖ γιγνώσκοντος τοὺς ῥητορικοὺς τῶν λόγων, υἱὸς καὶ μαθ. (εὖ γινώσκοντας τοὺς κριτικοὺς τῶν λόγων habet Philostrat. Vit. II, 32) καὶ

CXXVIII. *Ἀσπάσιος* Τύριος σοφιστής, ἱστορικός. ἔγραψε περὶ Ἠπείρου καὶ τῶν ἐν αὐτῇ ἱστορίαν σύμμικτον ἐν βιβλίοις κ', περὶ τέχνης ῥητορικῆς καὶ ἄλλα.

CXXIX. *Ἀστράμψυχος*, ὃς βιβλίον ἰατρικὸν εἰς ὄνων θεραπείαν πεποίηκε καὶ ὀνειροκριτικόν.

CXXX. *Ἀστυάγης* γραμματικός. τέχνην γραμματικήν, περὶ διαλέκτων, περὶ μέτρων, κανόνας ὀνοματικοὺς καὶ εἰς Καλλίμαχον τὸν ποιητὴν ὑπόμνημα.

CXXXI. *Ἀστυδάμας* ὁ πρεσβύτης, υἱὸς Μορσίμου τοῦ Φιλοκλέους, τραγικῶν ἀμφοτέρων, Ἀθηναῖος τραγικός. ἔγραψε τραγῳδίας σμ', ἐνίκησε ιε'. ἀκροασάμενος δὲ ἦν Ἰσοκράτους, καὶ ἐτράπη ἐπὶ τραγῳδίαν.

CXXXII. *Ἀστυδάμας* ὁ νέος, υἱὸς τοῦ προτέρου, τραγικὸς καὶ αὐτός. δράματα αὐτοῦ Ἡρακλῆς σατυρικός, Ἐπίγονοι, Αἴας μαινόμενος, Βελλεροφόντης, Τυρώ, Ἀλκμήνη, Φοῖνιξ, Παλαμήδης.

CXXXIII. *Αὐγέας* Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ Ἄγροικος, Πορφύρα, Δὶς κατηγορούμενος. ἔστι δὲ τῆς μέσης κωμῳδίας.

CXXXIV. *Αὔγουστος Καῖσαρ*, ὁ καὶ Σεβαστὸς καὶ Ὀκταβιανὸς ἐπικληθείς. [ἔγραψε] περὶ τοῦ ἰδίου βίου καὶ τῶν πράξεων βιβλία ιγ' καὶ τραγῳδίαν Αἴαντός τε καὶ Ἀχιλλέως.

μαθηματικοῦ pars libr. καὶ om. **BVEM** *Eud.* καὶ μαθητής ut videtur **A** μαθητής proposuit *Gaisford*; equidem ex Violario υἱὸς καὶ μαθητής recepi

CXXVIII *Eud.* p. 113. Cf. Müller l. c. 1 σοφιστὴς ἱστορικός *Eud.* 2 περὶ Τύρου coni. *Müller*, qui etiam post ἐν αὐτῇ interpungendum esse vidit

CXXIX om. *Westerm.* Cf. Fabric. bibl. IV p. 152, V p. 235. Alterum librum extare monuit *Kusterus*

CXXX *Eud.* p. 109 6 τέχνην γρ. ἔγραψε *Eud.* 7 περὶ μετρ. κανόνας **A**

CXXXI *Eud.* p. 116. Cf. Clinton p. 99 Kr. Welcker, Griech. Trag. p. 1052 seq. 9 Ἀστυδάμας, Ἀθ. τραγ. *Eud.* 11 ἀκροασάμενος — τραγῳδίαν ad alterum poëtam rettulit *Bernhardy*

CXXXII *Eud.* p. 117. Cf. Welcker p. 1060 13 ὁ νέος, τραγικὸς καὶ αὐτὸς *Eud.* 14 Ἡρακλῆς, Σατυρικός **Ald.** *Eud.*

CXXXIII *Eud.* p. 117. Cf. Meineke I p. 416 18 Πυρφόρα *Eud.* καταγορούμενος **V**

CXXXIV om. *Westerm.* *Eud.* p. 117. Tractavi Mus. Rhen. XXXVI p. 317. Eadem glossa v. Καῖσαρ iteratur 20 Αὔγ. Καῖσ. Ὀκταβ., ὁ καὶ Σεβ. ἐπ. *Eud.* 22 τραγῳδίαν — συντέθηκε καὶ περὶ τ. ἰδ. β. καὶ πρ.

CXXXV. *Αὐσόνιος* σοφιστής, γεγραφὼς ἐπιστολὰς καὶ ἄλλα τινὰ πρὸς Νόννον.

CXXXVI. *Αὐτοκράτης* Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. τῶν δραμάτων αὐτοῦ Τυμπανισταί. ἔγραψε καὶ τραγῳδίας πολλάς.

CXXXVII. *Ἀφαρεὺς* Ἀθηναῖος ῥήτωρ, υἱὸς τοῦ σοφιστοῦ Ἱππίου καὶ Πλαθάνης, πρόγονος δὲ Ἰσοκράτους τοῦ ῥήτορος, ἀκμάσας κατὰ τὴν ϙε΄ ὀλυμπιάδα, ὅτε καὶ Πλάτων ὁ φιλόσοφος.

CXXXVIII. *Ἀφθόνιος* σοφιστής. ἔγραψεν εἰς τὴν Ἑρμογένους τέχνην προγυμνάσματα.

CXXXIX. *Ἀφρικανὸς* ὁ Σέξτος χρηματίσας, φιλόσοφος Λίβυς, ὁ τοὺς Κεστοὺς γεγραφὼς ἐν βιβλίοις κδ΄. εἰσὶ δὲ οἱονεὶ φυσικά, ἔχοντα ἐκ λόγων τε καὶ ἐπαοιδῶν καὶ γραπτῶν τινων χαρακτήρων ἰάσεις τε καὶ ἀλλοίων ἐνεργειῶν. κατὰ τούτου ἔγραψεν Ὠριγένης, ἔνστασιν ποιησάμενος περὶ τοῦ τῆς Σωσάννης βιβλίου τοῦ εἰς τὸν Δανιήλ.

CXL. *Ἀχαιὸς* Πυθοδώρου ἢ Πυθοδωρίδου, Ἐρετριεὺς τραγικός, γέγονε κατὰ τὴν οδ΄ ὀλυμπιάδα, καὶ δράματα ἐδίδαξε μδ΄, οἱ δὲ λ΄ ἱστορήκασιν, ἄλλοι κδ΄. ἐνίκησε δὲ ἕν. ἦν δὲ νεώτερος Σοφοκλέους ὀλίγῳ τινί. ἐπεδείκνυντο δὲ κοινῇ σὺν καὶ Εὐριπίδῃ ἀπὸ τῆς πγ΄ ὀλυμπιάδος.

βιβλ. ιγ΄ *Eud.* Ceterum ἔγραψε om. A omnesque fere libri et vett. edd., addit V, inseruit *Bernhardy*

CXXXV 2 an πρὸς Θέωνα? sed post τινά interpungens πρὸς Νόννον cognomini alicui tribuit *Gutschmid*

CXXXVI *Eud.* p. 118. Cf. Meineke I p. 270, II p. 891

CXXXVII *Eud.* p. 114. Cf. Welcker, Gr. Trag. p. 1068; Bergk, Poet. Lyr. p. 641 7 καὶ Πλαθάνης om. *Eud.* πρόγονός τε καὶ εἰσποίητος *Dion. Halic.* Isocrat. p. 102. 8 κε΄ BE

CXXXVIII Fabric. bibl. gr. VI p. 94. Cf. Suidas v. Ἑρμογένης. Ab Aldo edita monuit *Kusterus*

CXXXIX *Eud.* p. 125. Cf. v. Σέξτος Λίβυς. Cf. Gelzer, Sext. Iulius Africanus u. die byz. Chron. (Leipzig 1880) 12 Σέξτος *Scaliger Kusterus* Κέστος *Valesius* Σέκτος AV Ald. *vulg.* Σέκτωρ *Eud.* 15 καὶ ἄλλας ἐνεργείας *Kusterus* ἰάσεις τε καὶ δυνάμεις ἀλλοίων ἐνεργειῶν *Toupius* καὶ ἀλλ. ἐνεργειῶν δύναμις *Hemsterhusius* 16 ποιησάμενος libri *Eud. Westerm.* ποιησαμένου *Bernhardy*

CXL *Eud.* p. 118. Cf. Welcker, Gr. Trag. p. 958 18 Πυθοδωρίδου corr. *Bernhardy* Πυθοδώριδος *vulg. Eud.* πυθορ^{α}ϊ V 19 κδ΄ pro οδ΄ E γέγονε — ἓν *om. Eud.* quae postea add. ἐδίδαξε δράματα ξδ΄ 20 ἐνί V 21 ἐπιδεικνὺς V 22 σὺν Ἴωνι καὶ Εὐριπίδῃ coni. *Bernhardy,*

CXLI. *Ἀχαιὸς Συρακούσιος, τραγικὸς νεώτερος. ἔγραψε τραγῳδίας ι'.*

CXLII. *Ἀχιλλεὺς Τάτιος Ἀλεξανδρεύς, ὁ γράψας τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα καὶ ἄλλα ἐρωτικὰ ἐν βιβλίοις η'. γέγονεν ἔσχατον Χριστιανὸς καὶ ἐπίσκοπος. | ἔγραψε δὲ περὶ σφαίρας καὶ ἐτυμολογίας, καὶ ἱστορίαν σύμμικτον πολλῶν καὶ μεγάλων καὶ θαυμασίων ἀνδρῶν μνημονεύουσαν ὁ δὲ λόγος αὐτοῦ κατὰ πάντα ὅμοιος τοῖς ἐρωτικοῖς. |*

CXLIII. *Ἀψίνης Ἀθηναῖος σοφιστής, Ὀνασίμου πατὴρ τοῦ σοφιστοῦ τοῦ πατρὸς Ἀψίνου.*

CXLIV. *Ἀψίνης Γαδαρεὺς σοφιστής, σπαρείς, ὡς λόγος, ἐκ Πανός, μαθητεύσας δὲ ἐν Σμύρνῃ Ἡρακλείδῃ τῷ Λυκίῳ, εἶτα Βασιλικῷ ἐν Νικομηδείᾳ, ἐσοφίστευσεν Ἀθήνησι βασιλεύοντος Μαξιμίνου, ὑπατικοῦ λαβὼν ἀξίωμα.*

CXLV. *Ἀψίνης Ὀνασίμου τοῦ σοφιστοῦ Ἀθηναίου σοφιστὴς νεώτερος τοῦ Γαδαρέως Ἀψίνου.*

CXLVI. *Ἄψυρτος Προυσαεὺς ἢ Νικομηδεύς, στρατιώτης στρατευσάμενος ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως ἐν Σκυθίᾳ παρὰ τὸν Ἴστρον. ἱππιατρικὸν βιβλίον οὗτος ἔγραψε, καὶ φυσικὸν περὶ τῶν αὐτῶν ἀλόγων, καὶ ἕτερα. [ἔγραψε καὶ Σίμων Ἀθηναῖος ἱπποσκοπικὸν βιβλίον θαυμάσιον.]*

---

quod oppositum esse ipsius Hesychii sententiae ex Ionis vita recte conclusit *Rohde*, Mus. Rhen. XXXIII p. 189 not., σὺν Εὐρ. *vulg.* σὺν καὶ Εὐρ. **AV** καὶ σὺν *Daub*

CXLI *Eud.* p. 118. Welcker p. 1045 1 δέκα καὶ τέσσαρας *Eud.*

CXLII *Eud.* p. 117. Iacobs, Proleg. ad Ach. Tat. p. V A. 2, Rohde, Gr. Roman p. 470 seq. 3 Τάτιος rectius scripsit *Photius* bibl. p. 66 Στάτιος *vulg Eud.* Στάσιος **V** 5 γέγονε seq.: *Rohde* l. c. p. 475 ἔγραψε seq. non ad Achillem Tatium sed ad alterum Achillem spectare vidit *Rohde*, p. 471 seq. Cf. etiam Diels, Doxogr. p. 17 seq. Incertum quis utrumque confuderit 6 ἱστορίας συμμίκτου **V** In margine **A** legitur εἴτε τούτοις προσεκύρησα quod quo spectet dubium

CXLIII—CXLV *Eud.* p. 114. Cf. v. Ὀνάσιμος. Atheniensem cum Gadarensi eundem esse constat 9 ἀξιόλογος σοφιστής om. **A** ἀξιόλογος om. **V** ἀξιόλογος σοφ. *vulg. Eud.* Ἀθηναῖος om. **M** 11 Γαδ. πρεσβύτερος τοῦ Ὀνασίμου add. *Eud.*, quae tertium primo loco memoravit 13 Νικομηδίᾳ **A** 14 Μαξιμιανοῦ omnes libri et *Eud.* corr. *Kusterus* coll. v. Γαϊανός 15 Ἀθηναῖος *Daub* 16 νεώτερος seq. om. *Eud.* Ceterum cf. v. Μαΐωρ et Φρόντων Ἐμεσηνός

CXLVI *Eud.* p. 110 17 ἢ Νικομηδεύς **E** corr. etiam *Kusterus*, qui ἢ ὥς τινες proposuit, ἢ om. *vulg.* Cf. Σωτάδης Κρής 19 ἔγραψεν ἱππιατρικὸν βιβλ. *Eud.* 20 περὶ τῶν ἀλόγων ἐν βιβλίοις δ' reliquis

CXLVII. *Βαβρίας ἢ Βάβριος. μύθους ἤτοι μυθιάμβους (εἰσὶ γὰρ διὰ χωλιάμβων ἐν βιβλίοις ι΄). [οὗτος ἐκ τῶν Αἰσωπείων μύθων μετέβαλεν ἀπὸ τῆς αὐτῶν λογοποιίας εἰς ἔμμετρα ἤγουν τοὺς χωλιάμβους.]*

CXLVIII. *Βακχυλίδης Κεῖος, ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος (ἔχει γὰρ πόλεις δ΄, Ἰουλίδα, Καρθαίαν, Κορησσίαν, Ποιήεσσαν), Μέδωνος υἱὸς τοῦ Βακχυλίδου τοῦ ἀθλητοῦ παιδός, συγγενὴς Σιμωνίδου τοῦ λυρικοῦ καὶ αὐτὸς λυρικός.*

CXLIX. *Βάρρων ἱστορικός. ἐπιτομὴν τῶν κατ' Ἀλέξανδρον τὸν Μακεδόνα.*

CL. *Βασίλειος Καισαρείας τῆς Καππαδοκῶν ἐπισκόπος, ἥτις πρώην Μάζακα ἐκαλεῖτο, ἑταῖρος Γρηγορίου τοῦ Ναζιανζοῦ ἐπισκόπου. γέγονε δὲ γονέων περιφανῶν, Βασιλείου τε καὶ Ἐμμελείας, ὧν ἄνωθεν ἡ συγγένεια, ἀνὴρ ἐλλογιμώτατος καὶ πάσης παιδείας εἰς ἄκρον ἐληλακώς. οὗτος*

---

omissis *Eud.*, quae verba Eudociam ex ipsius libri scientia addidisse suspicatus est *Daub*, cum numeris libri nobis adhuc servati non congruere vidit *Pulch* p. 82; sed olim quattuor fuisse suspicor *ἔγραψε* — exit., quae om. *Eud.*, habent **ABVE**, lector aliquis ex glossa *τρίλλα*, unde etiam infra fluxit Suidana glossa v. *Κίμων* extr. *οὗτος ἔγραψεν ἱπποσκοπικὸν βιβλίον θαυμάσιον* *Σίμων* corr. *Schneider,* in Xen. de re eq. p. 185 (ad Plin. hist. nat. XXXIV, 76) rec. Westerm., *Κίμων vulg.*

CXLVII Cf. Otto Crusius, de Babrii aetate in stud. Lips. a. 1879 2 *χοριάμβων* edd. vett. corr. *Kusterus* *χαριάμβων* **A** *χωλιάμβων* **B** *χολιάμβων* **V** 2 *οὗτος* — exit. a lectore neglegenti adiecta esse docui Mus. Rhen. XXXV p. 208

CXLVIII *Eud.* p. 159. Cf. Steph. Byz. v. *Ἰουλίς* 6 *ἔχει — παιδός* om. *Eud.* 6 *Καρθέαν* **A** *Καρδίαν vulg.* corr. *Gaisford* *Κορησσίαν* restitui ex Steph. Byz. v. *Κορησσός, Κορεσσίαν* plerique libri *Κηρεσσίαν* **E**

CXLIX om. *Westerm.* Tractavi Mus. Rhen. XXXVI p. 318. Cf. Bernhardy: „Nova et mirifica Varronis historici memoratio, cui levem probationem conciliat *Οὐάρων* in v. *ἐγκατέσκηψαν*“. De Batonis *Περσικοῖς* hac vita agi putavit *Müller,* Script. rer. Alex. p. VI, quod improbat *Gutschmid,* qui de Baetone cogitat, quem *σταθμοὶ τῆς Ἀλεξάνδρου πορείας* scripsisse constat (Müller p. 134). Fortasse de Varrone Atacino cogitandum, qui Chorographiam ad exemplum Alexandri Ephesii scripsit (cf. Riese, Varr. rel. p. 263), ut *Μακεδόνα* a lectoribus pro *Ἐφέσιον* inepte mutatum esse putaveris 10 *Βάρων* **Ald.**

CL om. *Westerm.* Multo breviorem vitam tradidit *Hieronymus-Sophronius* c. 116. Cf. quae dixi Mus. Rhen. XXXV p. 200 13 *πρώτην vulg.* *πρῶτον Soph.* *πρώην* **A** 16 seq. Hesychium pluribus scriptorum indicibus usum esse docent mutatae constructiones: *οὗτος ἔγραψε*

ἐπειδὴ ἔγραψε παιᾶνα εἰς Ἑρμείαν τὸν εὐνοῦχον. οἱ δέ φασι νόσῳ αὐτὸν τελευτῆσαι βιώσαντα ἔτη ο'.

CII. Ἀριστοφάνης Ῥόδιος ἤτοι Λίνδιος (οἱ δὲ Αἰγύπτιον ἔφασαν, οἱ δὲ Καμιρέα), θέσει δὲ Ἀθηναῖος (ἐπολιτογραφήθη γὰρ παρ' αὐτοῖς), κωμικός, υἱὸς Φιλίππου, γεγονὼς ἐν τοῖς ἀγῶσι κατὰ τὴν ριδ' ὀλυμπιάδα, εὑρετὴς τοῦ τετραμέτρου καὶ ὀκταμέτρου, παῖδας σχὼν Ἀραρότα, Φίλιππον, Φιλέταιρον κωμικούς. τινὲς δὲ αὐτὸν καὶ ἀπόδουλον ἱστορήκασι. δράματα δὲ αὐτοῦ μδ'. [ἅπερ δὲ πεπράχαμεν Ἀριστοφάνους δράματα, ταῦτα· Ἀχαρνεῖς, Βάτραχοι, Εἰρήνη, Ἐκκλησιάζουσι, Θεσμοφοριάζουσαι, Ἱππεῖς, Λυσιστράτη, Νεφέλαι, Ὄρνιθες, Πλοῦτος, Σφῆκες.]

CIII. Ἀριστοφάνης Βυζάντιος γραμματικός, υἱὸς Ἀπελλοῦ ἡγουμένου στρατιωτῶν, μαθητὴς Καλλιμάχου καὶ Ζηνοδότου (ἀλλὰ τοῦ μὲν νέος, τοῦ δὲ παῖς ἤκουσε), πρὸς δὲ τούτοις καὶ Διονυσίου τοῦ Ἰάμβου καὶ Εὐφρονίδα τοῦ Κορινθίου ἢ Σικυωνίου. γέγονε δὲ κατὰ τὴν ρμδ' ὀλυμπιάδα

CII Cf. v. Wilamowitz-Möllendorff Anal. Eur. p. 135 not. 3 et in Herma XIV p. 461 seq. et quae dixi Mus. Rhen. XXXV p. 193 et 235, ubi verba ἅπερ — exit. Suidae soli tribui   3 *Αἰγινήτην* vit. Arist. p. 156, 28 West.   6 *ριδ'* aperte corruptum, quare nonnulla excidisse suspicatus est *Bernhardy*   8 *τινές*: *Wachsmuth*, Symb. p. 140   9 de usu vocis *πράττειν* cf. Bünger, de Ar. Equ. etc. apud Suid. rel. (Argentor. 1878) p. 9 seq. Ceterum comparare licet doctam vitam, quae legitur in schol. Platon. VI p. 227 Herm.: *Ἀριστοφάνης ὁ κωμῳδιοποιὸς φαλακρὸς ἦν, ὡς αὐτός φησιν Εἰρήνῃ· ἐκωμῳδεῖτο δ' ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. Κρατῖνος· 'τίς δὲ σύ; κομψός τις ἔροιτο θεατὴς ὑπολεπτόλογος, γνωμιδιώτης εὐριπιδαριστοφανίζων', καὶ αὐτὸς δ' ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις· 'χρῶμαι γὰρ αὐτοῦ, φησί, τοῦ στόματος τῷ στρογγύλῳ· τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ 'κεῖνος ποιῶ'. Ἀριστώνυμος δ' ἐν Ἡλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν γενέσθαι, διὸ τὸν βίον κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν, ὡς καὶ Φιλόχορος ἐν τῇ πρώτῃ περὶ ἡμερῶν ἱστορεῖ. ταύτῃ δὲ καὶ Ἡρακλῆ φασι γεννηθῆναι. τρεῖς δ' ἔσχεν υἱούς, Φίλιππον τὸν τοῦ Εὐβούλου δράμασιν ἀγωνισάμενον καὶ Ἀραρότα ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασι διηγωνισμένον καὶ τρίτον, ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλέταιρον. κατεκλήρωσε δὲ καὶ τὴν Αἴγιναν, ὡς Θεογένης ἐν τῷ περὶ Αἰγίνης. κωμῳδεῖται δέ, ὅτι καὶ τὸ τῆς εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις Αὐτολύκῳ, Πλάτων Νίκαις.* Cf. Mettauer, de font. p. 59 seq.

CIII *Eud.* p. 108, quae om. *ἄλλα — ἤκουσε* et *ἢ Σικ.* — exit. Cf. Daub, Stud. p. 78   14 *τοῦ* post *Ἀπ.* add. *Daub*   *Ζηνοδόχου* V   17 *ρμε'* *Paris. Kusteri Ionsius* *ρμδ'* ABEV *Gaisford.* *με'* pars edd.

βασιλεύοντος Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ τοῦ μετ' αὐτὸν τοῦ Φιλοπάτορος καὶ προέστη τῆς τοῦ βασιλέως βιβλιοθήκης μετὰ Ἀπολλώνιον, ἔτος ἄγων ξβ'. διασκευασθεὶς δὲ ὡς βουλόμενος πρὸς Εὐμενῆ φυγεῖν, ἐφυλάχθη ἐν εἱρκτῇ χρόνον τινά. ἠφείθη δὲ καὶ ὑπὸ στραγγουρίας τελευτᾷ, ἔτη βεβιωκὼς οζ'. συγγράμματα δὲ αὐτοῦ πάνυ πολλά.

CIV. *Ἀριστώνυμος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἥλιος ῥιγῶν, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς . . .*

CV. *Ἀρίων Μηθυμναῖος λυρικός, Κυκλέως υἱός, γέγονε κατὰ τὴν λη' ὀλυμπιάδα. τινὲς δὲ καὶ μαθητὴν Ἀλκμᾶνος ἱστόρησαν αὐτόν. ἔγραψε δὲ ᾄσματα, προοίμια εἰς ἔπη ͵β'. λέγεται καὶ τραγικοῦ τρόπου εὑρετὴς γενέσθαι, καὶ πρῶτος χορὸν στῆσαι καὶ διθύραμβον ᾆσαι, καὶ ὀνομάσαι τὸ ᾀδόμενον ὑπὸ τοῦ χοροῦ, καὶ Σατύρους εἰσενεγκεῖν ἔμμετρα λέγοντας. [φυλάττει δὲ τὸ ω καὶ ἐπὶ γενικῆς.]*

CVI. *Ἀρκάδιος γραμματικὸς Ἀντιοχεύς. ἔγραψε περὶ ὀρθογραφίας, περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν, ὀνοματικὸν θαυμάσιον.*

CVII. *Ἀρκεσίλαος [ὄνομα κύριον] φιλόσοφος . . .*

CVIII. *Ἀρκτῖνος Τήλεω τοῦ Ναύτεω ἀπογόνου, Μιλή-*

---

codd. *μεν'* M Ald. Cf. Rohde, Mus. Rhen. XXXIII p. 167 not. 3 1 opus videtur emendatione *Bernhardyi* a *Westermanno* recepta: *διέτεινε δὲ μέχρι Πτολεμαίου τοῦ Φιλοπάτορος καὶ τοῦ μετ' αὐτὸν βασ.* Ceterum verba *βασ. — πολλά* in omnibus libris post Aristonymi comici vitam leguntur: *Bergk,* Lit. Gr. p. 292 not. 47. Cf. Daub, de Suid. p. 410. Ad Aristophanem Byzantium spectare primus vidit *Meineke* I p. 197 seq. 3 *βουλευόμενος* A 5 *βεβιοκὼς* A

CIV *Eud.* p. 116. Cf. Meineke I p. 197 8 *ὡς Ἀθ.* seq. om. *Eud.* add. *καὶ ἄλλα πολλὰ συγγράμματα αὐτοῦ εὑρίσκονται λόγου ἄξια*, quae verba ex additamento in vita Byzantii extante profecta esse patet Athen. VII p. 284 et 287

CV *Eud.* p. 115. Cf. Steph. Byz. v. *Μήθυμνα*; Daub, de Viol. p. 8 9 *υἱός, μαθητὴς Ἀλκμ. Eud.* 10 *λη'* plur. libri, quod rectum esse ostendit *Rohde,* Mus. Rhen. XXXIII p. 201 not. *κη'* BE *Gaisford* *κθ'* *Reinesius* 11 *ἔπη ͵β* numerum vitiosum esse putavit *Bernhardy*, effictum esse putat *Hiller,* Mus. Rhen. XXXIII p. 522 13 *ᾆσαι καὶ* del. *Daub,* *ᾆσαι καὶ ὀνομ. τὸν ᾀδ.* *Hemsterhusius* 14 *ἔμμετρον* A 15 *φυλάττει* seq. gl. grammaticam continet; *φυλάττει δὲ καὶ ἐπὶ γενικῆς* A *φυλάττεται δὲ καὶ* V *φυλάττει τὸ ω* rel. om. *Eud.*

CVI *Eud.* p. 109 17 *συντάξεων* V sequens *τῶν* om. A *ὀνομαστικόν vulg.* 18 *καὶ* ante *θαυμ.* add. A

CVII Cf. Diog. IV, 28 seq. Expunxi glossam grammaticam. Ceterum cf. v. *Ἀκύλας*

CVIII 20 *Ἀρκτῆνος* A

σιος, ἐποποιός, μαθητὴς Ὁμήρου, ὥς λέγει ὁ Κλαζομένιος Ἀρτέμων ἐν τῷ περὶ Ὁμήρου, γεγονὼς κατὰ τὴν θ' ὀλυμπιάδα, μετὰ τετρακόσια ἔτη τῶν Τρωικῶν.

CIX. Ἁρποκρατίων Ἀργεῖος, Πλατωνικὸς φιλόσοφος, συμβιωτὴς Καίσαρος. ἔγραψεν ὑπόμνημα εἰς Πλάτωνα ἐν βιβλίοις κδ', λέξεις Πλάτωνος ἐν βιβλίοις β'.

CX. Ἁρποκρατίων ὁ Γάϊος χρηματίσας, σοφιστής. ἔγραψε περὶ τῶν Ἀντιφῶντος σχημάτων, περὶ τῶν Ὑπερίδου καὶ Λυσίου λόγων καὶ ἕτερα.

CXI. Ἁρποκρατίων ὁ Αἴλιος χρηματίσας, σοφιστής. ἔγραψε περὶ τῶν δοκούντων τοῖς ῥήτορσιν ἠγνοῆσθαι, καὶ ὑποθέσεις τῶν λόγων Ὑπερίδου, περὶ τοῦ κατεψεῦσθαι τὴν Ἡροδότου ἱστορίαν, περὶ τῶν παρὰ Ξενοφῶντι τάξεων, περὶ τέχνης ῥητορικῆς, περὶ ἰδεῶν.

CXII. Ἁρποκρατίων ὁ Βαλέριος χρηματίσας, ῥήτωρ Ἀλεξανδρεύς. λέξεις τῶν ι' ῥητόρων, ἀνθηρῶν συναγωγήν.

CXIII. Ἀρριανὸς ἐποποιός, μετάφρασιν τῶν γεωργικῶν τοῦ Βεργιλλίου ἐπικῶς ποιήσας, Ἀλεξανδριάδα (ἔστι δὲ τὰ κατὰ τὸν Μακεδόνα ἐν ῥαψῳδίαις κδ'), εἰς Ἄτταλον τὸν Περγαμηνὸν ποιήματα.

CXIV. Ἀρριανὸς Νικομηδεύς, φιλόσοφος Ἐπικτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ

2 de Artemone v. *Müller* IV p. 341 α' ὀλυμπ. *Sengebusch*, Annal. Phil. 67 p. 379, idem infra μετὰ νη' ἔτη proposuit, μετὰ νμ' maluit *Rohde*, Mus. Rhen. XXXIII p. 173, ὑι et supras. λ V, υι E

CIX—CXII Brevius alterum, tertium, quartum Harp. tractavit *Eud.* p. 112 seq., fusius primum p. 125, sed inverso ordine, cum Aelium sequatur Gaius, hunc Valerius. Aelium eundem esse cum Gaio suspicatus est post *Kiessling*. Lyc. fr. p. 20 etiam *Müller* IV p. 412. Ceterum cf. Boysen, de Harpocrat. font. p. 10 sq. 5 ὑπομνήματα *Eud.* ὑπόμνημα post Πλάτ. iteravit A

CX 1 ἔγραψε om. E

CXI 11 τοῖς om. A

CXII 16 συναγωγή V

CXIII *Eud.* p. 115. Duos scriptores Suidam (i. e. Hesychium) confudisse, cum idem non Georgicorum metaphrasin et laudationem Attali componere potuerit, censet *Meineke*, Anal. p. 371. Cf. Daub, de Suid. p. 416 17 μετέφρασε τὰ Β. γε. ἐπικῶς καὶ ἄλλα πολλὰ εἰς Ἄτταλον τ. Περγ. *Eud.* 18 ποιήσας susp. 19 ῥαψῳδίᾳ *vulg.* (et fortasse A) post ῥαψῳδίᾳ lacuna extat in M Ald. ῥαψῳδίαις V 20 ποιήματα om. *Eud.*

CXIV *Eud.* p. 120, quae om. τῶν βασιλέων — δεξιότητα. Cf. Steph. Byz. v. Νικομήδεια

καὶ Μάρκου καὶ Ἀντωνίνου τῶν βασιλέων, καὶ ἀξιωμάτων μεταλαβὼν καὶ μέχρις αὐτοῦ τοῦ ὑπατεῦσαι, καθά φησιν Ἑλικώνιος, διὰ τὴν τῆς παιδείας δεξιότητα. ἔγραψε δὲ βιβλία παμπληθῆ.

CXV. Ἀρτεμίδωρος Δαλδιανός (πόλις δέ ἐστι Λυδίας ἡ Δάλδις), φιλόσοφος. ἔγραψεν ὀνειροκριτικὰ ἐν βιβλίοις δ', οἰωνοσκοπικὰ καὶ χειροσκοπικά.

CXVI. Ἀρχέδικος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Θησαυρὸς καὶ Διαμαρτάνων, ὡς Ἀθήναιός φησιν ἐν τοῖς Δειπνοσοφισταῖς.

CXVII. Ἀρχέλαος Ἀπολλοδώρου ἢ Μύδωνος, Μιλήσιος φιλόσοφος, φυσικὸς τὴν αἵρεσιν κληθείς, ὅτι ἀπὸ Ἰωνίας πρῶτος τὴν φυσιολογίαν ἤγαγεν, Ἀναξαγόρου μαθητὴς τοῦ Κλαζομενίου· τοῦ δὲ μαθητὴς Σωκράτης, οἱ δὲ καὶ Εὐριπίδην φασίν. συνέταξε δὲ φυσιολογίαν καὶ ἐδόξαζε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ. συνέταξε καὶ ἄλλα τινά.

CXVIII. Ἀρχίβιος Ἀπολλωνίου, γραμματικός. τῶν Καλλιμάχου ἐπιγραμμάτων ἐξήγησιν.

CXIX. Ἀρχίβιος Πτολεμαίου Λευκάδιος ἢ Ἀλεξανδρεύς, γραμματικὸς τῶν ἕως Τραϊανοῦ τοῦ Καίσαρος ἐν Ῥώμῃ παιδευσάντων.

CXX. Ἀρχιγένης Φιλίππου, Ἀπαμεὺς Συρίας, ἰατρός, μαθητὴς Ἀγαθίνου, ἐπὶ Τραϊανοῦ ἰατρεύσας ἐν Ῥώμῃ, βιοὺς ἔτη ξγ' καὶ συγγράψας πολλὰ ἰατρικά τε καὶ φυσικά.

XXXI. Ἀρχιμήδης Τραλλιανός, φιλόσοφος. ὑπόμνημα εἰς Ὅμηρον, |καὶ μηχανικά|.

1 *Ἀντωνίου* A *Ἀντ. καὶ Μα. Daub* 2 *καὶ* fort. delendum 3 *ἔγραψε* om. *δὲ Eud.*

CXV *Eud.* p. 127 5 *Δάλδις, πόλις Λυδ. Eud.*

CXVI *Eud.* p. 116. Cf. Meineke I p. 458; *Daub*, de Suid. p. 483 9 in vocabulum *Θησ.* desinit *Eud.* Athen. VII p. 292 et 294, XI p. 467 10 Adnectit Suidas alteram Archedici vitam ex Polyb. XII, 13 descriptam, quae etiam in Violarium migravit

CXVII 11 *Μύδωνος* E man. I et Diog. II, 16 *Μίδωνος* plur. libr. et edd. 14 *Εὐριπίδην* corr. *Kusterus Εὐριπίδης* A *Εὐριπίδου vulg.*

CXVIII *Eud.* p. 109 18 *ἔγραψε* add. *Eud.*

CXIX *Eud.* p. 109 *καὶ ἕτερος* ante *Ἀρχ.* add. *Eud.* 20 *Τραϊνοῦ* A

CXX *Eud.* p. 110 22 *Φιλ. καὶ Ἀπαμ.* A *Φιλίππου υἱὸς τοῦ ἰατροῦ Eud.* *τῆς* vel *ἐκ Συρ. Daub* *ἰατροῦ Ἀγαθ. μαθητὴς Eud.* 24 *πγ' Eud.* *καὶ ἔγραψε Eud.*

CXXI *Eud.* p. 127 26 *καὶ εἴς τινας τοῦ Πλάτωνος διαλόγους* add. *Eud.*, quae verba ab Hesychio abiudicavit *Daub*, commentarios

CXXII. *Ἄρχιππος Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. ἐνίκησεν ἅπαξ ἐπὶ τῆς ϙα΄ ὀλυμπιάδος.*

CXXXIII. *Ἀρχύτας Ταραντῖνος, Ἑστιαίου υἱὸς ἢ Μνησάρχου ἢ Μνασαγέτου ἢ Μνασαγόρου, φιλόσοφος Πυθαγορικός. οὗτος Πλάτωνα ἔσωσε μὴ φονευθῆναι ὑπὸ Διονυσίου τοῦ τυράννου. τοῦ κοινοῦ δὲ τῶν Ἰταλιωτῶν προέστη, στρατηγὸς αἱρεθεὶς αὐτοκράτωρ ὑπὸ τῶν πολιτῶν καὶ τῶν περὶ ἐκεῖνον τὸν τόπον Ἑλλήνων. ἅμα δὲ καὶ φιλοσοφίαν ἐκπαιδεύων μαθητάς τ' ἐνδόξους ἔσχε καὶ βιβλία συνέγραψε πολλά. [τοῦτον φανερῶς γενέσθαι διδάσκαλον Ἐμπεδοκλέους. καὶ παροιμία "Ἀρχύτου πλαταγή", ὅτι Ἀρχύτας πλαταγὴν εὗρεν, ἥτις ἐστὶν εἶδος ὀργάνου ἦχον καὶ ψόφον ἀποτελοῦντος.]*

CXXIV. *Ἀσίνιος Πωλίων Ῥωμαῖος. ἱστορίας Ῥωμαϊκὰς συνέταξεν ἐν βιβλίοις ιζ΄. οὗτος πρῶτος ἑλληνικὴν ἱστορίαν ῥωμαϊκῶς συνεγράψατο.*

CXXV. *Ἀσκληπιάδης Διοτίμου Μυρλεανὸς (πόλις δέ*

---

hosce nunquam extitisse somniavit *Pulch* p. 82 26 *μηχανικὰ* mathematici esse monet *Gutschmid*

CXXII *Eud.* p. 117. Tractat Meineke I p. 205 1 *ἐνίκησεν* seq. om. *Eud.*; vitam inseruisse in Violarium interpolatoris manum docuit *Volkmann*, Quaest. nov. p. VI

CXXIII Cf. Steph. Byz. v. *Τάρας*; Diog. VIII, 79 3 *ἢ Μνασαγέτου* ex **ABVE** add. *Gaisford* 8 *ἐκείνων* sed o suprascr. **A** 9 *καὶ* ante *βιβλ.* om. **A**. Cf. Mus. Rhen. XXXV p. 205 10 *τοῦτον* — exit. non ab Hesychio profecta sunt; ceterum *φανερῶς* mendosum esse perspexit *Bernhardy*, sed quod proposuit *φησὶ Φανίας ὁ Ἐρέσιος* vix ferri potest; *τοῦτόν φασι φαν. Daub τοῦτον φανερὸν Gutschmid* 11 de crepitaculo Arch. cf. Arist. Pol. VIII, 6 12 *εἴ τις* **A** *ἢ vulg. καὶ* **AV**

CXXIV Cf. Suidas v. *Πωλίων*. *Eud.* p. 592; Thouret, de Cic. Asin. Poll. etc. (Lips. 1878). Cf. quae de Pollionibus dixi Mus. Rhen. XXXVI p. 316 seq. 13 *Ἀσσίννιος* **A** *Ἀσίννιος vulg.* 14 *οὗτος* — exit. ex uberiore expositione compilata et de Pompeio Trogo intellegenda esse coni. *Gutschmid*

CXXV *Eud.* p. 109, quae om. *καὶ Εὐμενοῦς* — *βασιλέων* et *ἐπαίδευσε* — exit. Ceterum cf. Steph. Byz. v. *Μύρλεια*; *Lehrs*, Herod. p. 429; *Rohde*, Mus. Rhen. XXXIII p. 173 not. 4, XXXIV p. 571. Ipse de vita egi Mus. Rhen. XXXV p. 206 seq. Perturbationem articuli inde ortam esse, quod Hesychius apud Philonem duos invenerit grammaticos eiusdem nominis, unum Nicaeensem (Steph. Byz. *Νίκαια*), Myrleanum alterum, quorum vitas errans confuderit, vidit *Rohde*. Ipse iunioris vitam sic restitui: *Ἀσκλ. — Νικ. γραμμ.* (*Κρατήτειος*?). *γέγονε ἐπὶ Ἀττάλου* (138—133) *καὶ ἐπαίδευσεν ἐν Περγάμῳ. ἐπαίδευσε καὶ εἰς Ῥώμην ἐπὶ Πομπηίου τοῦ μεγ. ἔγραψε πολλά*, antiquioris grammatici sic: *Ἀσκλ. — Μυρλ. γραμμ., μαθητὴς Ἀπ. γέγονε δὲ ἐπὶ Εὐμενοῦς* (197—159) *τοῦ ἐν Περγάμῳ βασιλέως καὶ ἐπαίδευσεν ἐν Ἀλεξανδρείᾳ, ἐπὶ τοῦ δ' Πτολε-*

ἔστι Βιθυνίας, ἡ νῦν Ἀπάμεια καλουμένη), τὸ δὲ ἄνωθεν γένος ἦν Νικαεύς, γραμματικός, μαθητὴς Ἀπολλωνίου. γέγονε δὲ ἐπὶ τοῦ Ἀττάλου καὶ Εὐμενοῦς τῶν ἐν Περγάμῳ βασιλέων. ἔγραψε φιλοσόφων βιβλίων διορθωτικά.

ἐπαίδευσε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Πομπηίου τοῦ μεγάλου, καὶ ἐν Ἀλεξανδρείᾳ ἐπὶ τοῦ δ' Πτολεμαίου νέος διέτριψεν. ἔγραψε πολλά.

CXXV^b. *Ἀσπασία. αὕτη Ἀξιόχου, Μιλησία, γυνὴ Περικλέους, παρὰ Σωκράτει πεφιλοσοφηκυῖα, ὡς Διόδωρος ἐν τῷ περὶ Μιλήτου συγγράμματί φησιν. ἐπεγήματο δὲ μετὰ τὸν Περικλέους θάνατον Λυσικλεῖ τῷ προβατοκαπήλῳ, καὶ ἐξ αὐτοῦ ἔσχεν υἱὸν ὀνόματι Ποριστήν, καὶ τὸν Λυσικλέα ῥήτορα δεινότατον κατεσκευάσατο, καθάπερ καὶ Περικλέα δημηγορεῖν παρεσκεύασεν, ὡς Αἰσχίνης ὁ Σωκρατικὸς ἐν διαλόγῳ Καλλίᾳ καὶ Πλάτων ὁμοίως Πεδήταις. Κρατῖνος δὲ τύραννον αὐτὴν καλεῖ Χείρωσιν, Ὀμφάλην Εὔπολις Φίλοις. ἐν δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ· ὁ δὲ Κρατῖνος καὶ Ἥραν, ἴσως ὅτι καὶ Περικλῆς Ὀλύμπιος προσηγορεύετο. ἔσχε δὲ ἐξ αὐτῆς ὁ Περικλῆς νόθον υἱόν, ἐφ' ᾧ καὶ ἐτελεύτα τῶν γνησίων προαποθανόντων, ὡς Εὔπολις Δήμοις.*

CXXVI. *Ἀσπάσιος Βύβλιος σοφιστής, συγχρονῶν Ἀριστείδῃ καὶ Ἀδριανῷ. ἔγραψε περὶ Βύβλου, περὶ στάσεων ἐσχηματισμένων, μελέτας, τέχνας, ὑπομνήματα, λαλιάς, ἐγκώμιον εἰς Ἀδριανὸν τὸν βασιλέα καὶ εἰς ἄλλους τινάς.*

CXXVII. *Ἀσπάσιος Δημητριανοῦ τοῦ κριτικοῦ ⟨υἱὸς⟩ καὶ μαθητής, Ῥαβενναῖος σοφιστής, γεγονὼς ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας. πρὸς τοὺς φιλολοιδόρους καὶ πρὸς Ἀρίστωνα, λόγους διαφόρους. ἠκροάσατο δὲ Πανσανίου καὶ Ἱπποδρόμου, καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ, διαπρέψας μέχρι πολλοῦ.*

μαίου († 204) *νέος διατρίψας. ἔγραψε φιλοσόφων βιβλίων διορθωτικά.* 1 *Βυθυνίας* A *γένος* om. V 3 *ἐπί τε Gutschmid* 6 *η'* vel *θ' Reinesius*

CXXV^b totam vitam inserui ex schol. Platon. IV p. 329 Herm., quamquam talem ab Hesychio non profectam esse patet. Cf. Mettauer, de font. p. 60. Videntur verba *αὕτη — Ποριστήν*, *ἔσχε δὲ* — exit. Hesychii esse. Descripsit Suidas articulum Harpocrat. v. *Ἀσπασία*

CXXVI *Eud.* p. 114. Cf. Müller III p. 576, qui Byblium non diversum a Tyrio putat 21 *σύγχρονος Ἀρ. Eud.*

CXXVII *Eud.* p. 113 25 post *κριτικοῦ* add. *Eud. μαθηματικοῦ καὶ εὖ γιγνώσκοντος τοὺς ῥητορικοὺς τῶν λόγων, υἱὸς καὶ μαθ.* (*εὖ γινώσκοντας τοὺς κριτικοὺς τῶν λόγων* habet Philostrat. Vit. II, 32) *καὶ*

CXXVIII. *Ἀσπάσιος* Τύριος σοφιστής, ἱστορικός. ἔγραψε περὶ Ἠπείρου καὶ τῶν ἐν αὐτῇ ἱστορίαν σύμμικτον ἐν βιβλίοις κ', περὶ τέχνης ῥητορικῆς καὶ ἄλλα.

CXXIX. *Ἀστράμψυχος*, ὃς βιβλίον ἰατρικὸν εἰς ὄνων θεραπείαν πεποίηκε καὶ ὀνειροκριτικόν.

CXXX. *Ἀστυάγης* γραμματικός. τέχνην γραμματικήν, περὶ διαλέκτων, περὶ μέτρων, κανόνας ὀνοματικοὺς καὶ εἰς Καλλίμαχον τὸν ποιητὴν ὑπόμνημα.

CXXXI. *Ἀστυδάμας* ὁ πρεσβύτης, υἱὸς Μορσίμου τοῦ Φιλοκλέους, τραγικῶν ἀμφοτέρων, Ἀθηναῖος τραγικός. ἔγραψε τραγῳδίας σμ', ἐνίκησε ιε'. ἀκροασάμενος δὲ ἦν Ἰσοκράτους, καὶ ἐτράπη ἐπὶ τραγῳδίαν.

CXXXII. *Ἀστυδάμας* ὁ νέος, υἱὸς τοῦ προτέρου, τραγικὸς καὶ αὐτός. δράματα αὐτοῦ Ἡρακλῆς σατυρικός, Ἐπίγονοι, Αἴας μαινόμενος, Βελλεροφόντης, Τυρώ, Ἀλκμήνη, Φοῖνιξ, Παλαμήδης.

CXXXIII. *Αὐγέας* Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ Ἄγροικος, Πορφύρα, Δὶς κατηγορούμενος. ἔστι δὲ τῆς μέσης κωμῳδίας.

CXXXIV. *Αὔγουστος Καῖσαρ*, ὁ καὶ Σεβαστὸς καὶ Ὀκταβιανὸς ἐπικληθείς. [ἔγραψε] περὶ τοῦ ἰδίου βίου καὶ τῶν πράξεων βιβλία ιγ' καὶ τραγῳδίαν Αἴαντός τε καὶ Ἀχιλλέως.

μαθηματικοῦ pars libr. καὶ om. **BVEM** *Eud.* καὶ μαθητής ut videtur **A** μαθητής proposuit *Gaisford*; equidem ex Violario υἱὸς καὶ μαθητής recepi

CXXVIII *Eud.* p. 113. Cf. Müller l. c. 1 σοφιστὴς ἱστορικός *Eud.* 2 περὶ Τύρου coni. *Müller,* qui etiam post ἐν αὐτῇ interpungendum esse vidit

CXXIX om. *Westerm.* Cf. Fabric. bibl. IV p. 152, V p. 235. Alterum librum extare monuit *Kusterus*

CXXX *Eud.* p. 109 6 τέχνην γρ. ἔγραψε *Eud.* 7 περὶ μετρ. κανόνας **A**

CXXXI *Eud.* p. 116. Cf. Clinton p. 99 Kr. Welcker, Griech. Trag. p. 1052 seq. 9 Ἀστυδάμας, Ἀθ. τραγ. *Eud.* 11 ἀκροασάμενος — τραγῳδίαν ad alterum poëtam rettulit *Bernhardy*

CXXXII *Eud.* p. 117. Cf. Welcker p. 1060 13 ὁ νέος, τραγικὸς καὶ αὐτὸς *Eud.* 14 Ἡρακλῆς, Σατυρικός **Ald.** *Eud.*

CXXXIII *Eud.* p. 117. Cf. Meineke I p. 416 18 Πυρφόρα *Eud.* καταγορούμενος **V**

CXXXIV om. *Westerm.* *Eud.* p. 117. Tractavi Mus. Rhen. XXXVI p. 317. Eadem glossa v. Καῖσαρ iteratur 20 Αὔγ. Καῖσ. Ὀκταβ., ὁ καὶ Σεβ. ἐπ. *Eud.* 22 τραγῳδίαν — συντέθηκε καὶ περὶ τ. ἰδ. β. καὶ πρ.

CXXXV. *Αὐσόνιος* σοφιστής, γεγραφὼς ἐπιστολὰς καὶ ἄλλα τινὰ πρὸς Νόννον.

CXXXVI. *Αὐτοκράτης* Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. τῶν δραμάτων αὐτοῦ Τυμπανισταί. ἔγραψε καὶ τραγῳδίας πολλάς.

CXXXVII. *Ἀφαρεὺς* Ἀθηναῖος ῥήτωρ, υἱὸς τοῦ σοφιστοῦ Ἱππίου καὶ Πλαθάνης, πρόγονος δὲ Ἰσοκράτους τοῦ ῥήτορος, ἀκμάσας κατὰ τὴν ϙε´ ὀλυμπιάδα, ὅτε καὶ Πλάτων ὁ φιλόσοφος.

CXXXVIII. *Ἀφθόνιος* σοφιστής. ἔγραψεν εἰς τὴν Ἑρμογένους τέχνην προγυμνάσματα.

CXXXIX. *Ἀφρικανὸς* ὁ Σέξτος χρηματίσας, φιλόσοφος Λίβυς, ὁ τοὺς Κεστοὺς γεγραφὼς ἐν βιβλίοις κδ´. εἰσὶ δὲ οἱονεὶ φυσικά, ἔχοντα ἐκ λόγων τε καὶ ἐπαοιδῶν καὶ γραπτῶν τινων χαρακτήρων ἰάσεις τε καὶ ἀλλοίων ἐνεργειῶν. κατὰ τούτου ἔγραψεν Ὠριγένης, ἔνστασιν ποιησάμενος περὶ τοῦ τῆς Σωσάννης βιβλίου τοῦ εἰς τὸν Δανιήλ.

CXL. *Ἀχαιὸς* Πυθοδώρου ἢ Πυθοδωρίδου, Ἐρετριεὺς τραγικός, γέγονε κατὰ τὴν οδ´ ὀλυμπιάδα, καὶ δράματα ἐδίδαξε μδ´, οἱ δὲ λ´ ἱστορήκασιν, ἄλλοι κδ´. ἐνίκησε δὲ ἕν. ἦν δὲ νεώτερος Σοφοκλέους ὀλίγῳ τινί. ἐπεδείκνυντο δὲ κοινῇ σὺν καὶ Εὐριπίδῃ ἀπὸ τῆς πγ´ ὀλυμπιάδος.

βιβλ. ιγ´ Eud. Ceterum *ἔγραψε* om. **A** omnesque fere libri et vett. edd., addit **V**, inseruit *Bernhardy*

CXXXV 2 an *πρὸς Θέωνα*? sed post *τινά* interpungens *πρὸς Νόννον* cognomini alicui tribuit *Gutschmid*

CXXXVI *Eud.* p. 118. Cf. Meineke I p. 270, II p. 891

CXXXVII *Eud.* p. 114. Cf. Welcker, Gr. Trag. p. 1068; Bergk, Poet. Lyr. p. 641 7 *καὶ Πλαθάνης* om. *Eud.* *πρόγονός τε καὶ εἰσποίητος Dion. Halic.* Isocrat. p. 102. 8 *κε´* **BE**

CXXXVIII Fabric. bibl. gr. VI p. 94. Cf. Suidas v. *Ἑρμογένης*. Ab Aldo edita monuit *Kusterus*

CXXXIX *Eud.* p. 125. Cf. v. *Σέξτος Λίβυς*. Cf. Gelzer, Sext. Iulius Africanus u. die byz. Chron. (Leipzig 1880) 12 *Σέξτος Scaliger Kusterus Κέστος Valesius Σέκτος* **AV Ald.** *vulg. Σέκτωρ Eud.* 15 *καὶ ἄλλας ἐνεργείας Kusterus ἰάσεις τε καὶ δυνάμεις ἀλλοίων ἐνεργειῶν Toupius καὶ ἀλλ. ἐνεργειῶν δύναμις Hemsterhusius* 16 *ποιησάμενος* libri *Eud. Westerm. ποιησαμένου Bernhardy*

CXL *Eud.* p. 118. Cf. Welcker, Gr. Trag. p. 958 18 *Πυθοδωρίδου* corr. *Bernhardy Πυθοδώριδος vulg. Eud. πυθορῒ* (α superscr.) **V** 19 *κδ´* pro *οδ´* **E** *γέγονε — ἕν om. Eud.* quae postea add. *ἐδίδαξε δράματα ξδ´* 20 *ἐνί* **V** 21 *ἐπιδεικνὺς* **V** 22 *σὺν Ἴωνι καὶ Εὐριπίδῃ* coni. *Bernhardy,*

CXLI. *Ἀχαιὸς Συρακούσιος, τραγικὸς νεώτερος. ἔγραψε τραγῳδίας ι'.*

CXLII. *Ἀχιλλεὺς Τάτιος Ἀλεξανδρεύς, ὁ γράψας τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα καὶ ἄλλα ἐρωτικὰ ἐν βιβλίοις η'. γέγονεν ἔσχατον Χριστιανὸς καὶ ἐπίσκοπος.* | *ἔγραψε δὲ περὶ σφαίρας καὶ ἐτυμολογίας, καὶ ἱστορίαν σύμμικτον πολλῶν καὶ μεγάλων καὶ θαυμασίων ἀνδρῶν μνημονεύουσαν ὁ δὲ λόγος αὐτοῦ κατὰ πάντα ὅμοιος τοῖς ἐρωτικοῖς.* |

CXLIII. *Ἀψίνης Ἀθηναῖος σοφιστής, Ὀνασίμου πατὴρ τοῦ σοφιστοῦ τοῦ πατρὸς Ἀψίνου.*

CXLIV. *Ἀψίνης Γαδαρεὺς σοφιστής, σπαρείς, ὡς λόγος, ἐκ Πανός, μαθητεύσας δὲ ἐν Σμύρνῃ Ἡρακλείδῃ τῷ Λυκίῳ, εἶτα Βασιλικῷ ἐν Νικομηδείᾳ, ἐσοφίστευσεν Ἀθήνησι βασιλεύοντος Μαξιμίνου, ὑπατικοῦ λαβὼν ἀξίωμα.*

CXLV. *Ἀψίνης Ὀνασίμου τοῦ σοφιστοῦ Ἀθηναίου σοφιστὴς νεώτερος τοῦ Γαδαρέως Ἀψίνου.*

CXLVI. *Ἄψυρτος Προυσαεὺς ἢ Νικομηδεύς, στρατιώτης στρατευσάμενος ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως ἐν Σκυθίᾳ παρὰ τὸν Ἴστρον. ἱππιατρικὸν βιβλίον οὗτος ἔγραψε, καὶ φυσικὸν περὶ τῶν αὐτῶν ἀλόγων, καὶ ἕτερα. [ἔγραψε καὶ Σίμων Ἀθηναῖος ἱπποσκοπικὸν βιβλίον θαυμάσιον.]*

---

quod oppositum esse ipsius Hesychii sententiae ex Ionis vita recte conclusit *Rohde,* Mus. Rhen. XXXIII p. 189 not., *σὺν Εὐρ. vulg. σὺν καὶ Εὐρ.* **AV** *καὶ σὺν Daub*

CXLI *Eud.* p. 118. Welcker p. 1045 1 *δέκα καὶ τέσσαρας Eud.*

CXLII *Eud.* p. 117. Iacobs, Proleg. ad Ach. Tat. p. V A. 2, Rohde, Gr. Roman p. 470 seq. 3 *Τάτιος* rectius scripsit *Photius* bibl. p. 66 *Στάτιος vulg Eud. Στάσιος* **V** 5 *γέγονε* seq.: *Rohde* l. c. p. 475 *ἔγραψε* seq. non ad Achillem Tatium sed ad alterum Achillem spectare vidit *Rohde,* p. 471 seq. Cf. etiam Diels, Doxogr. p. 17 seq. Incertum quis utrumque confuderit 6 *ἱστορίας συμμίκτου* **V** In margine **A** legitur *εἴτε τούτοις προσεκύρησα* quod quo spectet dubium

CXLIII—CXLV *Eud.* p. 114. Cf. v. *Ὀνάσιμος.* Atheniensem cum Gadarensi eundem esse constat 9 *ἀξιόλογος σοφιστής* om. **A** *ἀξιόλογος* om. **V** *ἀξιόλογος σοφ. vulg. Eud.* *Ἀθηναῖος* om. **M** 11 *Γαδ. πρεσβύτερος τοῦ Ὀνασίμου* add. *Eud.*, quae tertium primo loco memoravit 13 *Νικομηδίᾳ* **A** 14 *Μαξιμιανοῦ* omnes libri et *Eud.* corr. *Kusterus* coll. v. *Γαϊανός* 15 *Ἀθηναῖος Daub* 16 *νεώτερος* seq. om. *Eud.* Ceterum cf. v. *Μαῖωρ* et *Φρόντων Ἐμεσηνός*

CXLVI *Eud.* p. 110 17 *ἢ Νικομηδεύς* **E** corr. etiam *Kusterus,* qui *ἢ ὥς τινες* proposuit, *ἢ* om. *vulg.* Cf. *Σωτάδης Κρής* 19 *ἔγραψεν ἱππιατρικὸν βιβλ. Eud.* 20 *περὶ τῶν ἀλόγων ἐν βιβλίοις δ'* reliquis

CXLVII. *Βαβρίας ἢ Βάβριος. μύθους ἤτοι μυθιάμβους (εἰσὶ γὰρ διὰ χωλιάμβων ἐν βιβλίοις ι′). [οὗτος ἐκ τῶν Αἰσωπείων μύθων μετέβαλεν ἀπὸ τῆς αὐτῶν λογοποιίας εἰς ἔμμετρα ἤγουν τοὺς χωλιάμβους.]*

CXLVIII. *Βακχυλίδης Κεῖος, ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος (ἔχει γὰρ πόλεις δ′, Ἰουλίδα, Καρθαίαν, Κορησσίαν, Ποιήεσσαν), Μέδωνος υἱὸς τοῦ Βακχυλίδου τοῦ ἀθλητοῦ παιδός, συγγενὴς Σιμωνίδου τοῦ λυρικοῦ καὶ αὐτὸς λυρικός.*

CXLIX. *Βάρρων ἱστορικός. ἐπιτομὴν τῶν κατ' Ἀλέξανδρον τὸν Μακεδόνα.*

CL. *Βασίλειος Καισαρείας τῆς Καππαδοκῶν ἐπισκόπος, ἥτις πρώην Μάζακα ἐκαλεῖτο, ἑταῖρος Γρηγορίου τοῦ Ναζιανζοῦ ἐπισκόπου. γέγονε δὲ γονέων περιφανῶν, Βασιλείου τε καὶ Ἐμμελείας, ὧν ἄνωθεν ἡ συγγένεια, ἀνὴρ ἐλλογιμώτατος καὶ πάσης παιδείας εἰς ἄκρον ἐληλακώς. οὗτος*

---

omissis *Eud.*, quae verba Eudociam ex ipsius libri scientia addidisse suspicatus est *Daub*, cum numeris libri nobis adhuc servati non congruere vidit *Pulch* p. 82; sed olim quattuor fuisse suspicor *ἔγραψε* — exit., quae om. *Eud.*, habent **ABVE**, lector aliquis ex glossa *τρίλλα*, unde etiam infra fluxit Suidana glossa v. *Κίμων* extr. *οὗτος ἔγραψεν ἱπποσκοπικὸν βιβλίον θαυμάσιον* *Σίμων* corr. *Schneider,* in Xen. de re eq. p. 185 (ad Plin. hist. nat. XXXIV, 76) rec. Westerm., *Κίμων vulg.*

CXLVII Cf. Otto Crusins, de Babrii aetate in stud. Lips. a. 1879 2 *χοριάμβων* edd. vett. corr. *Kusterus χαριάμβων* **A** *χωλιάμβων* **B** *χολιάμβων* **V** 2 *οὗτος* — exit. a lectore neglegenti adiecta esse docui Mus. Rhen. XXXV p. 208

CXLVIII *Eud.* p. 159. Cf. Steph. Byz. v. *Ἰουλίς* 6 *ἔχει — παιδός* om. *Eud.* 6 *Καρθέαν* **A** *Καρδίαν vulg.* corr. *Gaisford Κορησσίαν* restitui ex Steph. Byz. v. *Κορησσός*, *Κορεσσίαν* plerique libri *Κηρεσσίαν* **E**

CXLIX om. *Westerm.* Tractavi Mus. Rhen. XXXVI p. 318. Cf. Bernhardy: „Nova et mirifica Varronis historici memoratio, cui levem probationem conciliat *Οὐάρων* in v. *ἐγκατέσκηψαν*". De Batonis *Περσικοῖς* hac vita agi putavit *Müller,* Script. rer. Alex. p. VI, quod improbat *Gutschmid,* qui de Baetone cogitat, quem *σταθμοὶ τῆς Ἀλεξάνδρου πορείας* scripsisse constat (Müller p. 134). Fortasse de Varrone Atacino cogitandum, qui Chorographiam ad exemplum Alexandri Ephesii scripsit (cf. Riese, Varr. rel. p. 263), ut *Μακεδόνα* a lectoribus pro *Ἐφέσιον* inepte mutatum esse putaveris 10 *Βάρων* **Ald.**

CL om. *Westerm.* Multo breviorem vitam tradidit *Hieronymus-Sophronius* c. 116. Cf. quae dixi Mus. Rhen. XXXV p. 200 13 *πρώτην vulg.* *πρῶτον Soph.* *πρώην* **A** 16 seq. Hesychium pluribus scriptorum indicibus usum esse docent mutatae constructiones: *οὗτος ἔγραψε*

ἔγραψε πλεῖστα, ἐν οἷς θαυμάζεται τὰ εἰς τὴν ἑξαήμερον. καὶ κατ' Εὐνομίου δὲ ἐξαιρέτους συνέταξε λόγους, καὶ περὶ τοῦ ἁγίου πνεύματος τεῦχος, καὶ τὰς εἰς τὴν ἑξαήμερον ὁμιλίας ἐννέα, ἕτερον τεῦχος ἀσκητικόν, περὶ παρθενίας ἄλλο, ἔπαινον εἰς τοὺς μ' μάρτυρας, ἕτερον εἰς Γόρδιον, ἄλλον εἰς Βαρλαάμ, ἕτερον εἰς Ἰουλίτταν. εἰς διαφόρους ψαλμοὺς ἠθικοὶ λόγοι διάφοροι, ἐπιστολαί, ὧν οὐδὲν ἄμεινον, πρός τε τὸν σοφιστὴν Λιβάνιον καὶ πρὸς τὸν φίλον Γρηγόριον καὶ εἰς ἄλλους πλείονας. τελευτᾷ δὲ Βασίλειος Γρατιανοῦ τὰ Ῥωμαίων σκῆπτρα διέποντος.

CLI. Βασιλικὸς σοφιστής. περὶ τῶν διὰ τῶν λέξεων σχημάτων, περὶ ῥητορικῆς παρασκευῆς ἤτοι περὶ ἀσκήσεως, περὶ μεταποιήσεως καὶ ἄλλα τινά.

LCII. Βάτων κωμικός. δράματα αὐτοῦ Συνεξαπατῶν, Ἀνδροφόνος, Εὐεργέται.

CLIII. Βημάρχιος Καισαρεὺς ἐκ Καππαδοκίας, σοφιστής. οὗτος ἔγραψε τὰς Κωνσταντίνου τοῦ βασιλέως πράξεις ἐν βιβλίοις ι', μελέτας τε καὶ λόγους διαφόρους.

CLIV. Βροῦτος στρατηγὸς Ῥωμαίων. ἔγραψεν ἐπιστολὰς καὶ τῶν Πολυβίου τοῦ ἱστορικοῦ βίβλων ἐπιτομήν. θαυμάζεται δὲ εἰς τὴν τῶν ἐπιστολῶν ἰδέαν ἤγουν χαρακτῆρα.

CLV. Βῶλος Δημοκρίτειος φιλόσοφος. ἱστορίαν καὶ

— *καὶ κατ'* — *συνέταξε* — *εἰς διαφ.* — *ἠθικοὶ λόγοι* 3 seq. habet *Hieronymus* 5 *μεγάλους μαρτ.* **V** 8 in Suidae libris sequitur narratio ex Philostorgio desumpta et ex v. *Ἀπολινάριος* iterata 9 brevius *Hieronymus*: moritur imperante Gratiano 10 nonnulla add. Suidas ex alio fonte hausta

CLI *Eud.* p. 159 12 *καὶ περὶ ἄλλων πολλῶν ῥητορικῶν Eud.*

CLII *Eud.* p. 159. Cf. Suidas v. *Πλάτων κωμικός.* Tractat *Meineke* I p. 480 14 *Βάτων* **AV** *Βάττων* rel. libri *Eud.* quod vitiosum esse docuit *Meineke*; corr. *Kusterus*

CLIII Cf. *Zonar.* p. 386. Tractat Müller IV p. 3 17 *ἔγραψε* om. **V**. Constantini Magni historiam in dubitationem vocavit *Bernhardy,* de Constantio agi ratus coll. Liban. de vita sua p. 30, sed codicum scripturam tenet *Gutschmid,* decem librorum numero inprimis commotus

CLIV om. *Westerm.* Tractavi Mus. Rhen. XXXVI l. c. 20 de hac epitome a Plutarcho (Brut. p. 985) laudata cf. Hirschfeld, Diurn. Austr. 1879 p. 109 seq. *θαυμάζεται* seq. fortasse lectori alicui debentur, cui Phot. bibl. p. 101a vel simil. ante oculos obversabantur. Cf. Mus. Rhen. XXXV p. 208

CLV *Eud.* p. 159. Cf. Müller II p. 25, qui Suidam ex uno Bolo duos fecisse docuit 22 *Δημόκριτος* **ABEM Ald.** *Δημοκρίτιος Eud.* corr.

τέχνην ἰατρικήν (ἔχει δὲ ἰάσεις φυσικὰς ἀπό τινων βοηθημάτων τῆς φύσεως).

CLVI. *Βῶλος Μενδήσιος Πυθαγόρειος. περὶ τῶν ἐκ τῆς ἀναγνώσεως τῶν ἱστοριῶν εἰς ἐπίστασιν ἡμᾶς ἀγόντων, περὶ θαυμασίων, φυσικὰ δυναμερά (ἔχει δὲ περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν), ⟨περὶ⟩ λίθων κατὰ στοιχεῖον, περὶ σημείων τῶν ἐξ ἡλίου καὶ σελήνης καὶ ἄρκτου καὶ λύχνου καὶ ἴριδος.*

CLVII. *Γαϊανὸς Ἀράβιος σοφιστής, μαθητὴς Ἀψίνου τοῦ Γαδαρέως· ἦν δὲ ἐπί τε Μαξιμίνου καὶ Γορδιανοῦ. ἐσοφίστευσεν ἐν Βηρυτῷ. περὶ συντάξεως βιβλία ε', τέχνην ῥητορικήν, μελέτας.*

CLVIII. *Γάϊος Ἰούλιος Καῖσαρ ὁ πρῶτος μοναρχήσας. οὗτος ἔγραψε μετάφρασιν τῶν Ἀράτου φαινομένων, καὶ τέχνην γραμματικὴν ῥωμαϊκῶς, καὶ περὶ τοῦ ἰδίου βίου.*

CLIX. *Γάϊος Καῖσαρ, ὃς ἐπεκλήθη Καλλιγόλας. ῥητορικὴν ῥωμαϊκῶς.*

CLX. *Γαληνὸς ὁ διασημότατος ἰατρός, Περγαμηνός, γεγονὼς ἐπὶ Μάρκου καὶ Κομόδου καὶ Περτίνακος τῶν Καισάρων ἐν Ῥώμῃ, υἱὸς Νίκωνος γεωμέτρου καὶ ἀρχιτέκτονος, πολλὰ συντεταχὼς ἰατρικά τε καὶ φιλόσοφα, ἔτι τε γραμματικὰ καὶ ῥητορικά, ἅτινα διὰ τὸ πᾶσιν εἶναι γνώριμα καταλέγειν ἄκαιρον ἡγησάμην ἐν τῷ παρόντι. ἐβίω ἔτη ο'.*

CLXI. *Γενέθλιος Γενεθλίου, Παλαιστῖνος ἐκ Πετρῶν, σοφιστής, μαθητὴς Μινουκιανοῦ καὶ Ἀγαπητοῦ, ἀντιπαιδεύ-*

---

post Holstenium *Bernhardy*; fortasse leg. *ὁ καὶ Δημόκριτος* 1 *συντέθηκε τέχνην ῥητορικήν* om. *ἱστορίαν καὶ Eud.*

CLVI *Eud.* p. 161 3 *ἔγραψε* add. *Eud.* *περὶ τῶν τῆς ἀγα.* om. *ἐκ Eud.* 4 *ἀγαγόντων vulg. Eud.* *ἀγόντων* AV 5 *διμερῆ* pro *δυναμερά* coni. *Reinesius,* susp. *Bernhardyo, ἔτι* pro *ἔχει* coni. *Kusterus*, idem *περὶ* ante *λίθων* addere maluit, quod probatum Müllero ego quoque praetuli; post *λίθων* librorum numerum excidisse putat *Gutschmid*

CLVII *Eud.* p. 171. Cf. v. *Ἀψίνης* 8 *ῥήτωρ καὶ σοφιστής Eud.* 9 *Μαξιμίνου* corr. *Kusterus* *Μαξίμου vulg. Eud.* *ἐσοφίστευσεν ἐν Βηρυτῷ*, quae verba in fine vitae tradita sunt, huc transposui, ut ordo solitus servetur. Cf. quae dixi v. *Ἀνακρέων*

CLVIII om. *Westerm.* De Caesaribus disputavi Mus. Rhen. XXXVI l. c.

CLIX om. *Westerm.*

CLX Cf. quae dixi Mus. Rhen. XXXV p. 208; Diels, Doxogr. p. 233 seq. 20 *καὶ πολλὰ* V mox *τε* om. E 21 *ἅτινα — παρόντι* om. V ideoque suspectissima sunt

CLXI *Eud.* p. 171. Pauca exscripsit Pseudo-Hesych. c. 15 23 *Γενεθλίου* om. *Eud.*

σας κατὰ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διασήμῳ, δεξιὸς τὴν φύσιν, καὶ ὅλην μελέτην ἀπομνημονεύσας ἐν ⟨μιᾷ⟩ ἀκροάσει. τελευτᾷ δὲ νέος ἐτῶν κη'. ἔγραψε δὲ λαλιὰς ἤτοι διαλέξεις καὶ μελέτας, ὧν ἐστιν ὁ ἄπολις ἑαυτὸν ἀποκηρύττων μετὰ τὴν τῶν Θηβῶν κατασκαφήν, προπεμπτικὸν πρὸς τοὺς ἑαυτοῦ ἑταίρους Δᾳδοῦχον καὶ Ἀσκληπιάδην, πανηγυρικούς.

CLXII. Γέσιος, ἰατροσοφιστής, Πετραῖος τὸ γένος, ἐπὶ Ζήνωνος. καθελὼν δὲ Δόμνον τὸν ἑαυτοῦ διδάσκαλον, Ἰουδαῖον ὄντα καὶ τοὺς ἑταίρους εἰς ἑαυτὸν μεταστησάμενος ὀλίγου πάντας, πανταχῇ ἐγνωρίζετο καὶ μέγα κλέος εἶχεν. οὗτος κατώρθωσε τέχνην ἰατρῶν καθ' ἑαυτὸν πάντων.

CLXIII. Γεώργιος διάκονος τῆς μεγάλης ἐκκλησίας καὶ χαρτοφύλαξ, τὸ ἐπίκλην Πισίδης. ἑξαήμερον δι' ἰάμβων εἰς ἔπη τρισχίλια, εἰς Ἡράκλειον τὸν βασιλέα καὶ εἰς τὸν κατὰ Περσῶν πόλεμον, ἔτι τε Ἀβαρικά, καὶ καταλογάδην ἐγκώμιον εἰς τὸν μάρτυρα Ἀναστάσιον.

CLXIV. Γοργίας Χαρμαντίδου Λεοντῖνος ῥήτωρ, μαθητὴς Ἐμπεδοκλέους, διδάσκαλος Πώλου Ἀκραγαντίνου καὶ

2 καὶ ὅλην — ἀκροάσει om. *Eud.* μιᾷ ex Pseudo-Hesych. add. *Meursius*, rec. edd. 3 τελευτᾷ om. δὲ *Eud.* η' καὶ κ' **A** ὀκτὼ πρὸς τοῖς εἴκοσιν *Eud.* 4 ἄπολιν **A** 5 τῶν om. **A** 6 πέντε s. fin. add. *Eud.*, quem numerum nostris in libris Suidanis casu intercidisse suspicatus est *Daub*, inventionem Eudociae esse *Pulch* p. 82

CLXII Vita Gesii accessit ex *Eud.* p. 170 seq. Cf. vita Domnini. V. Unters. p. 69 seq. Suidas excerpta Damascii ex Phot. bibl. p. 352 praebet

CLXIII om. *Westerm.* De hac vita Hesychii dixi Mus. Rhen. XXXV p. 229 seq. Nunc, quod ibi nimis confidenter professus sum, cautius obtineam, Georgii Pisidae vitam non ex Hesychii thesauris manavisse, sed ab epitomatore additam. Cf. v. Παῦλος Αἰγινήτης 14 τρισχίλια vitiosum esse putavit *Kusterus*, quoniam illud carmen, quod adhuc hodie extat, 1880 versus contineat, δισχίλια coni. *Fogginius* in praef. ad Pisidae opera, sed numerum recte se habere, cum additi sint praeter Hexaemerum (1880 vel 1860 vel 1910 versibus constans) etiam versus 262 carminis εἰς τὸν μάταιον βίον, 731 κατὰ δυσσεβοῦς Σευήρου Ἀντιοχείας, 129 εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀνάστασιν (quae carmina silentio praetermisit Suidas) ita ut efficiantur 3002 (vel 2982 vel 3032) versus, mihi persuasit *Gutschmid*, qui et carmen in Heraclium a carmine in bellum Persicum diversum esse recte monuit 15 καταλογάδην *vulg.* καὶ καταλ. **AVE** revocavit *Kusterus* 16 εἰς τὸν μέγαν Ἀθανάσιον **AV**

CLXIV *Eud.* p. 172, quae partim ex Hesychio sua descripsit, partim ex Philostrat. Vit. I, 9

Περικλέους καὶ Ἰσοκράτους καὶ Ἀλκιδάμαντος τοῦ Ἐλαΐτου, ὃς αὐτοῦ καὶ τὴν σχολὴν διεδέξατο. ἀδελφὸς δὲ ἦν τοῦ ἰατροῦ Ἡροδίκου. Πορφύριος δὲ αὐτὸν ἐπὶ τῆς π΄ ὀλυμπιάδος τίθησιν· ἀλλὰ χρὴ νοεῖν πρεσβύτερον αὐτὸν εἶναι. οὗτος πρῶτος τῷ ῥητορικῷ εἴδει τῆς παιδείας δύναμίν τε φραστικὴν καὶ τέχνην ἔδωκε, τροπαῖς τε καὶ μεταφοραῖς καὶ ἀλληγορίαις καὶ ὑπαλλαγαῖς καὶ καταχρήσεσι καὶ ὑπερβάσεσι καὶ ἀναδιπλώσεσι καὶ ἐπαναλήψεσι καὶ ἀποστροφαῖς καὶ παρισώσεσιν ἐχρήσατο. ἔπραττε δὲ τῶν μαθητῶν ἕκαστον μνᾶς ρ΄. ἐβίω δὲ ἔτη ρϑ΄, καὶ συνεγράψατο πολλά.

CLXV. [*Γρηγόριος ὁ καὶ Θεόδωρος, ὁ θαυματουργός, Νεοκαισαρείας τῆς ἐν τῷ Πόντῳ ἐπίσκοπος, νέος κομιδῇ διὰ τὴν παίδευσιν Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν γραμμάτων ἀπὸ τῆς Καππαδοκίας εἰς Βηρυτὸν κἀκεῖθεν εἰς Καισάρειαν τὴν τῆς Παλαιστίνης διέβη, ἅμα Ἀθηνοδώρῳ ἀδελφῷ· οὓς καὶ κατὰ μέρος εἰς τὴν τοῦ Χριστοῦ πίστιν εἰσάγων Ὠριγένης ζηλωτὰς ἰδίους κατέστησεν. ἐπὶ πέντε τοίνυν παρ' αὐτοῦ παιδευθέντες ἐνιαυτοὺς πρὸς τὴν πατρίδα ἀποπέμπονται· ἀφ' οὗ ὁ Γρηγόριος ἀποδημῶν πανηγυρικὸν εὐχαριστίας τῷ Ὠριγένει ἔγραψε λόγον, καὶ συγκαλεσάμενος πάντας τοὺς ἐπιχωρίους, αὐτοῦ τε τοῦ Ὠριγένους παρόντος, τοῦτον ἀνέγνω τὸν λόγον, ὅστις ἄχρι τοῦ παρόντος ὑπάρχει. ἔγραψε δὲ καὶ μετάφρασιν εἰς τὸν ἐκκλησιαστήν, ἐλάχιστον μὲν πάνυ δὲ θαυμαστὸν λόγον. καὶ ἄλλας δὲ πολλὰς καὶ ποικίλας ἐπιστολὰς καὶ λόγους συνεγράψατο, ποιήσας τε σημεῖα καὶ θαύματα ὑπὲρ ἄνθρωπον, ἡνίκα ἐπίσκοπος ἐτύγχανεν, ἐτελεύτησεν ἐπ' Αὐρηλιανοῦ.*]

---

1 *Ἐλαΐτου* corr. *Kusterus* *Ἐλεάτου* **AVE** *Ἐλαιάτου* **B** *Ἐλάτου vulg. Eud.* 2 *ἀδελφὸς — εἶναι* om. **V** 3 cf. schol. Platon. VI p. 298 Herm.: *οὗτος οὐχ ὁ Σηλυμβριανός ἐστιν Ἡρόδικος, ἀλλ' ὁ Λεοντῖνος, Γοργίου ἀδελφός*. Cf. etiam VI p. 339. Ad eundem certe spectat Suidas v. *Ἡρόδικος* 5 de Gorgiae aetate cf. Rohde, Mus. Rhen. XXXIII p. 185 not. 6 *τε* om. **V** 9 *ρ΄* — exit. om. **V**

CLXV *Hieronymus-Sophronius* c. 65, qui Hesychio materiam dedit 11 *Θεόδωρος, ὃς ὕστερον ἐκλήθη Γρηγόριος Sophron.* id. om. *ὁ θαυματουργός* 12 *τὴν* om. *Soph.* 13 *παιδευθέντε Soph.* 15 *ὧν τινων τὴν ἐξαίρετον εὐφυίαν ἑωρακὼς Ὠριγένης τούτους εἰς φιλοσοφίαν προετρέψατο* add. *Soph.* 18 *τὴν μητέρα Soph.* *ἀφ' ὧν Soph.* 23 *λόγον* om. *Soph.* *ὅστις καὶ vulg.* *καὶ* om. **A** *Soph.* 22 *ἔκφρασιν Soph.* 24—27 *δὲ — καὶ ποικίλας — ὑπὲρ ἄνθρωπον — ἐτελεύτησεν ἐπ' Αὐρηλιανοῦ* om. *Soph.* 26 *ἐπὶ Ἰουλιανοῦ vulg.* *ἐπ' Αὐρηλιανοῦ* ex duobus Par. *Kusterus*

CLXVI. *Γρηγόριος* Ναζιανζοῦ ἐπίσκοπος (σταθμὸς δέ ἐστιν οὗτος Καππαδοκίας), ἀνὴρ ἐλλογιμώτατος, ἀναγκαῖος δὲ φίλος Βασιλείου, τοῦ τῆς Καισαρείας ἐπισκόπου τῆς ἐν Καππαδοκίᾳ. οὗτος οὐ μόνον γραμματικὸς καὶ τὰ ἐς τὴν ποίησιν δεξιός, ἀλλὰ πολλῷ πλεῖον καὶ εἰς φιλοσοφίαν ἐξήσκητο καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην πολλά (εἰς γὰρ τρεῖς μυριάδας στίχων τὰ συντάγματα αὐτοῦ συνέθηκεν), ἀφ' ὧν εἰσι τάδε· περὶ τῆς τελευτῆς τοῦ ἀδελφοῦ Καισαρείου, ἐπιτάφιος εἰς τὸν ἑαυτοῦ πατέρα, ἕτερος εἰς τὴν ἀδελφὴν Γοργονίαν, περὶ φιλοπτωχίας, ἐπαίνους τῶν Μακκαβαίων, ἐπαίνους Κυπριανοῦ, ἐπαίνους Ἀθανασίου, ἐπαίνους Ἥρωνος φιλοσόφου, κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως λόγοι β', κατα Εὐνομίου λόγοι β', περὶ θεολογίας α', περὶ υἱοῦ λόγοι β', περὶ τοῦ ἁγίου πνεύματος λόγος α', πανηγυρικοὶ λόγοι ι', καὶ ἕτεροι πλεῖστοι καὶ πᾶσι γνώριμοι. ἠκολούθησε δὲ τῷ Πολέμωνος χαρακτῆρι τοῦ Λαοδικέως τοῦ σοφιστεύσαντος ἐν Σμύρνῃ, ὃς ἐγεγόνει διδάσκαλος Ἀριστείδου τοῦ ῥήτορος. ἐγράφη δὲ αὐτῷ καὶ ἑτέρα βίβλος δι' ἑξαμέτρων, παρθενίας καὶ γάμου καθ' ἑαυτοὺς διαλεγομένων, καὶ εἰς ἑτέρας ὑποθέσεις ἐν παντοίοις καὶ διαφόροις μέτροις, ἅτινα συνάγονται εἰς ἐπῶν μυριάδας τρεῖς.

CLXVII. [*Γρηγόριος* Νύσσης ἐπίσκοπος, ἀδελφὸς Βασιλείου τοῦ Καισαρέως, ἀνὴρ καὶ αὐτὸς ἐλλογιμώτατος καὶ πάσης ὑπάρχων παιδείας ἀνάπλεως, προσκείμενος δὲ μᾶλλον τοῖς τῇ ῥητορικῇ χαίρουσι· καὶ γοῦν εὐδόκιμος ἐν ταύτῃ γεγένηται καὶ λαμπρός, εἴ τις ἄλλος τῶν πάλαι ταύτῃ γεγενημένων. οὗτος συνέταξε κατ' Εὐνομίου λόγον ἐξαίρετον καὶ τεῦχος θαυμάσιον εἰς τὴν τοῦ ἀνθρώπου κατασκευήν, ἄλλας τε πυκνὰς καὶ συνεχεῖς ὁμιλίας, εἴς τε τὰ ᾄσματα τῶν

CLXVI *Hieronymus-Sophronius* c. 117, quem Hesychius a verbis εἰς γὰρ τρεῖς μυρ. ad exit. compilavit 9 ἐπιτάφιος — Γοργονίαν om. *Soph.* 11 ἐπαιν. Μαξίμου φιλοσόφου, μετὰ τὴν ἐξορίαν ἀναζεύξαντος, ὅν τινα ψευδῶς τινες Ἥρωνος ἐπέγραψαν *Soph.* 13 περὶ θεολογίας — περὶ υἱοῦ — πανηγυρικοὶ λόγοι om. *Soph.* 19 κατ' ἑαυτῶν *Soph.* 20 addidit nonnulla Suidas ex Philostorgii historia ecclesiastica

CLXVII *Hieronymus-Sophron.* c. 128, qui pauca Hesychio dedit (cf. οὗτος συνέταξε seq. — et ἄλλα τε πολλὰ γεγραφήκει seq.) 27 seq. Cf. vita Basilii

ᾀσμάτων καὶ εἰς τὸν ἐκκλησιαστήν, καὶ πρὸς τὴν ἀδελφὴν Μακρῖναν μακρόν τινα καὶ περικαλλῆ περὶ ψυχῆς συνέθηκε λόγον. ἄλλα τε πολλὰ γεγραφήκει, καὶ τὸν πολυθαύμαστον ἔπαινον τοῦ πρώτου τῶν μαρτύρων Στεφάνου. καὶ βίον δὲ συνέταξε Γρηγορίου τοῦ ἐν θαύμασι διαλάμψαντος.]

CLXVIII. *Γυμνάσιος Σιδώνιος σοφιστής, ἐπὶ τῶν Κωνσταντίνου τοῦ βασιλέως χρόνων. ἔγραψε μελέτας, καὶ εἰς Δημοσθένην ὑπόμνημα καὶ ἄλλα τινά.*

CLXIX. *Δαμάσκιος Στωικὸς φιλόσοφος, Σύρος, Σιμπλικίου καὶ Εὐλαλίου τῶν Φρυγῶν ὁμιλητής, ἤκμαζεν ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων. γέγραπται αὐτῷ ὑπομνήματα εἰς Πλάτωνα καὶ περὶ ἀρχῶν καὶ φιλόσοφος ἱστορία.*

CLXX. *Δάμασος Ῥώμης ἐπίσκοπος, εἰς ἐποποιίαν εὐφυής, πολλὰ καὶ σύντομα ἡρωικῷ μέτρῳ ἐξέδωκε, καὶ ὀγδοηκοντούτης ἐπὶ Θεοδοσίου βασιλέως ἐτελεύτησεν. ἔγραψε καὶ ἄλλα πολλά.*

CLXXI. *Δαμάστης Σιγειεὺς ἀπὸ Σιγείου τῆς Τρῳάδος, Διωξίππου υἱός, γεγονὼς πρὸ τῶν Πελοποννησιακῶν, σύγχρονος Ἡροδότῳ, τῶν πλουσιωτάτων, ἱστορικός. γέγονε δὲ Ἑλλανίκου μαθητής. γέγραφε περὶ τῶν ἐν Ἑλλάδι γενομένων, περὶ γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον στρατευσαμένων*

CLXVIII Cf. Daub, de Suid. p. 469 6 *ἐπὶ τοῦ* **A**

CLXIX *Eud.* p. 231. Cf. *Zonar.* p. 464 9 *Δαμάσκιος, Σύρος, στωικός Eud.* 10 *Εὐλαλίου* in **A** legit *Kusterus,* quod rectum esse docet Suidas v. *πρέσβεις*, *Ἐλαμίου* **A** (unde corrigas *Bernhard* ad loc), **V** et **Vaticanus Pearsoni** *Ἐλαμίτου* **BE Ald.** *vulg. Eud.* 12 *καὶ ἀλλὰ πολλά* post *ἱστορία* add. *Eud. περὶ τῶν πρώτων ἀρχῶν* in codicibus libelli servati extare videtur

CLXX *Hieronymus-Sophron.* c. 103, unde fortasse in Hesychii Onomatologum migravit 14 prope octogenarius *Hieronymus* 15 *ἔγραψε* seq. om. *Hieron.*

CLXXI *Eud.* p. 220, quae scripsit *Δ. Σιγ. συγχ. Ἡρ. χρονογράφος* om. *ἀπὸ — Πελοποννησιακῶν* et *τῶν — ἱστορικός*. Tractat Müller II p. 64 17 *Σιγιεύς* **AV** *γῆς τῆς Τρ. vulg. γῆς* om. **ABVE Vat Pears.** 18 *γεγονὼς* om. **A** 19 *Ἡροδότου* **Ald.** *Eud.* *παλαιοτάτων* **Bas.** *τῶν πλουσιωτάτων ὄντι* vel *ὢν Daub,* verba *τῶν πλουσιωτάτων, ἱστορικός* post *Διωξίππου υἱός* transponenda, ut certe de Damaste intellegerentur, censet *Gutschmid.* Huc transposui extrema codd. verba *γέγονε — μαθητής*. Itaque *γέγραφε* non nisi librarii errore propter *γέγονε* ortum suspicor loco soliti *ἔγραψε.* 20 *περὶ τῶν ἐν Ἑλλάδι γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον στρατευσαμένων Müller περὶ τῶν ἐν Ἑλλάδι γενομένων γονέων καὶ*

βιβλία β', ἐθνῶν κατάλογον καὶ πόλεων, περὶ ποιητῶν καὶ σοφιστῶν, καὶ ἄλλα συχνά.

CLXXII. *Δαμόκριτος* ἱστορικός. τακτικὰ ἐν βιβλίοις β', περὶ Ἰουδαίων [ἐν ᾧ φησιν, ὅτι χρυσῆν ὄνου κεφαλὴν προσεκύνουν, καὶ κατὰ ἑπταετίαν ξένον ἀγρεύοντες προσέφερον καὶ κατὰ λεπτὰ τὰς σάρκας διέξαινον καὶ οὕτως ἀνῄρουν].

CLXXIII. *Δαμόξενος* Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ Σύντροφοι, ὡς Ἀθήναιος λέγει ἐν γ' Δειπνοσοφιστῶν, καὶ Ἑαυτὸν πενθῶν, ὡς πάλιν ὁ αὐτὸς ἐν τῷ ια'.

CLXXIV. *Δαμόστρατος* ἱστορικός. ἁλιευτικὰ ἐν βιβλίοις κ' καὶ περὶ τῆς ἐνύδρου μαντικῆς καὶ ἕτερα σύμμικτα ἐχόμενα ἱστορίας.

CLXXV. *Δαμόφιλος* φιλόσοφος, σοφιστής, ὃν ἀνεθρέψατο Ἰουλιανὸς ὁ ἐπὶ Μάρκου τοῦ βασιλέως ὕπατος, γράψας πάμπολλα, ἐξ ὧν ταῦτά μοι εὕρηται ἐπὶ ταῖς τῶν βιβλίων θήκαις· Φιλόβιβλος ἢ περὶ ἀξιοκτήτων βιβλίων, πρὸς Λόλλιον Μάξιμον, περὶ βίου ἀρχαίων, καὶ ἕτερα πάμπολλα.

CLXXVI. *Δαφίδας* Τελμισσεὺς γραμματικός, γεγραφὼς περὶ Ὁμήρου καὶ τῆς ποιήσεως αὐτοῦ ὅτι ἐψεύσατο· Ἀθηναῖοι γὰρ οὐκ ἐστράτευσαν ἐπὶ Ἴλιον. [ἦν δὲ οὗτος λοιδορούμενος παντὶ καὶ μέχρις αὐτῶν μὴ φειδόμενος τῶν θεῶν, ⟨ὥστε⟩

προγόνων τῶν — στρατευσάντων *Daub*, quod probat *Egenolff*, περὶ τῶν ἐν Ἑλλάδι γενῶν ἓν coni. *Gutschmid* 2 συχνά om. *Eud.*

CLXXII *Eud.* p. 221. Cf. Müller IV p. 377 4 Verba inclusa om. *Eud.*, itaque expungenda esse dixi Mus. Rhen. XXXV p. 209, eadem add. Αἰθιοπικὴν ἱστορίαν καὶ ἄλλα, quae verba ex pleniore Suidae exemplari manasse putat *Daub*; ex Democriti Abderitae vita, qui scripsit περὶ τῶν ἐν Μερόῃ ἱερῶν γραμμάτων, huc intrusa esse persuasit *Müller*

CLXXIII *Eud.* p. 227, quae voce κωμικός vitam terminavit. Cf. Meineke I p. 484 7 seq. Athen. III p. 101, XI p. 468. Hesychii num vita sit, dubium: cf. Daub, de Suid. p. 484

CLXXIV *Eud.* p. 221 10 γέγραφεν add. *Eud.*

CLXXV *Eud.* p. 232. Cf. Müller III p. 656 13 καὶ σοφιστής *Eud.* ὃν — Φιλόβιβλος ἢ om. *Eud.* pergens γέγραφε περὶ ἀξιοκτήτων βιβλ.; Φιλοβ. πρῶτος libri α' *Toupius* ἢ corr. *Kusterus* τε pro περὶ V

CLXXVI *Eud.* p. 229 18 Τελμισσεύς A *Eud.* Τελμινσεύς E Τελμισεὺς *vulg.* γέγραφε καὶ περὶ Ὁμ. *Eud.* 19 αὐτοῦ ποιήσεως libri, corr. *Daub* 20 ἦν δὲ οὗτος — exit. non ab Hesychio profecta esse docui Mus. Rhen. XXXV p. 209. Excerpsit Pseudo-Hesych. c. 16 21 ἐθνῶν A corr. man. recentior ὥστε καὶ corr. *Hemsterhusius* καί φασιν coni. *Daub*, coll. Suid. v. Δίδυμος et Ζήνων; καὶ *vulg.*

καὶ Ἄτταλον μὲν τὸν βασιλέα Περγάμου διὰ τοῦτο ἔχειν αὐτῷ ἐπιβουλεύοντα, εἰς δὲ τὴν Πυθίαν ἐλθόντα ποτὲ σκώπτειν εἰς τὸ μαντεῖον, καὶ ἐπιγελῶντα ἐρέσθαι, εἰ τὸν ἵππον εὑρήσει. χρησθῆναι δὲ αὐτῷ εὑρήσειν ταχέως. εἶτα ἐκεῖνον διαθρυλῆσαι τοῦτο, ὅτι μηδὲ ἦν αὐτῷ ἵππος, μηδὲ ἀπώλετο. ἀναχωρήσαντα δὲ συλλαβόμενος Ἄτταλος ἐπέταξε κατακρημνισθῆναι· ἐν ᾧ δὲ τόπῳ τοῦτο ἐγένετο, ἐκαλεῖτο Ἵππος ὁ τόπος, καὶ ἔγνω πρὸς τῷ θανάτῳ μὴ ἐψεῦσθαι τὸ λόγιον. οὕτως οὖν ἐνυβρίσας κακῶς ἀπώλετο.]

CLXXVII. *Δείναρχος Κορίνθιος ῥήτωρ, εἷς τῶν μετὰ Δημοσθένους ἐγκριθέντων (υἱὸς τίνος ἐστὶν οὐχ ἱστόρηται), γράψας κατὰ μέν τινας λόγους τοὺς πάντας ρξ', κατὰ δὲ τὸ ἀληθέστερον μόνους ξ', τοὺς πάντας δικανικούς, ὧν οἱ μέν εἰσι δημόσιοι, οἱ δὲ ἰδιωτικοί. [ἐτελεύτησε δὲ οὗτος ἐπιμελητὴς Πελοποννήσου καταστὰς ὑπὸ Ἀντιπάτρου, μετὰ τὸ τελευτῆσαι Ἀντίπατρον Πολυσπέρχοντος αὐτῷ ἐπιβουλεύσαντος.]*

CLXXVIII. *Δεινόλοχος Συρακούσιος ἢ Ἀκραγαντῖνος, κωμικός. ἦν ἐπὶ τῆς ογ' ὀλυμπιάδος, υἱὸς Ἐπιχάρμου, ὡς δέ τινες, μαθητής. ἐδίδαξε δράματα ιδ' Δωρίδι διαλέκτῳ.*

CLXXIX. *Δεξικράτης. οὗτος Ἀθηναῖος κωμικός. δράματα αὐτοῦ εἰσιν Ὑφ' ἑαυτῶν πλανώμενοι, ὡς Ἀθήναιός φησιν ἐν γ' Δειπνοσοφιστῶν . . .*

CLXXX. *Δέξιππος [Δεξίππου] ὁ Ἐρέννιος χρηματίσας, Ἀθηναῖος ῥήτωρ, γεγονὼς ἐπὶ Βαλεριανοῦ καὶ Γαλιή-*

---

4. *εἶτα* in A fere deletum

CLXXVII *Eud.* p. 225 10 *εἷς τῶν* scripsi cum *Eud.* *τῶν — εἷς* *Suid.* 11 *υἱὸς* — exit. om. *Eud.* *υἱὸς — πάντας* om. *Eud.* pergens *συνέθηκε λόγους δικαν.* 14 *ἐτελεύτησε* — exit. om. *Eud.*, ad alterum Dinarchum spectare perspexit *Westerm.* coll. Plut. Phoc. 33

CLXXVIII *Eud.* p. 227, quae om. *ἦν — μαθητής*. Cf. Aelian. Hist. A. VI, 51 *Δεινόλοχος ὁ ἀνταγωνιστὴς Ἐπιχάρμου* et Clinton p. 29 Kr.

CLXXIX Cf. Meineke I p. 492; de vita dixit Daub, de Suid. p. 484, Stud. p. 36 seq. 20 *δρᾶμα αὐτοῦ ἐστιν* corr. *Kusterus* rec. *Westerm.* adversatus est *Meineke* l. c. coll. Suid. v. *Φιλιστίων*, servavi librorum lectionem, cum nonnulla dramatum nomina s. fin. excidisse videantur, quapropter lacunae signum posui; de eodem cf. Athen. III p. 124

CLXXX *Eud.* p. 225. Cf. Eunap. Vit. Soph. I p. 11 Boiss. Tractat Niebuhr p. XXIV, *Δεξίππου* glossam grammaticam esse patet, quae genetivum indicet, cum pater eius Ptolemaeus laudetur Insc. A. III n. 716 (etiam III n. 713). Cf. v. *Ἴστρος*, *Νύμφις*, *Ἀραρώς* in vett. edd. al., Müller III p. 667 23 *χρηματίσας* om. *Eud.* 24 *ῥήτωρ καὶ συγγραφεύς* tit. Atttícus, *Βαλλεριανοῦ* BEM Ald. *Eud.* *Γαλλιηνοῦ* A

νου καὶ Κλαυδίου δευτέρου καὶ Αὐρηλιανοῦ τῶν βασιλέων Ῥωμαίων.

CLXXXI. *Δέξιππος Κῷος ἰατρός, Ἱπποκράτους μαθητής, ὃς μεταπεμφθεὶς ὑπὸ Ἑκατόμνου τοῦ Καρῶν βασιλέως ἰάσασθαι αὐτοῦ τοὺς παῖδας ἀπογνωσθέντας Μαυσωλὸν καὶ Πιξώδαρον, ἐπὶ ὑποσχέσει ἰάσατο τοῦ παῦσαι τὸν πρὸς Κᾶρας τότε αὐτῷ ἐνεστῶτα πόλεμον. ἔγραψεν ἰατρικὸν βιβλίον α′ καὶ περὶ προγνώσεων β′.*

CLXXXII. *Δημάδης Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγὸς πανοῦργος καὶ εὐτυχής, πρότερον ναύτης ὤν. ἔγραψεν ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας, ἱστορίαν περὶ Δήλου καὶ τῆς γενέσεως τῶν Λητοῦς παίδων.* [*οὗτος κατέλυσε τὰ δικαστήρια καὶ τοὺς ῥητορικοὺς ἀγῶνας.*] *τελευτᾷ δὲ ἐπὶ Ἀντιπάτρου.*

CLXXXIII. *Δημάδης Λακιάδης Ἀθηναῖος ῥήτωρ. τοῦτον εἰσεποίησεν ὁ πρότερος Δημάδης ὁ καὶ δημαγωγὸς ἀπὸ αὐλητρίδος τεχθέντα. πατὴρ δὲ καὶ αὐτὸς Δημέα τοῦ ῥήτορος γέγονεν,* ⟨*ὃς*⟩ *καὶ ἀπώλετο ῥιφεὶς εἰς τὴν Ἀμφιπόλεως λίμνην ὑπὸ Κασάνδρου Ἀντιπάτρου τοῦ πατρὸς διαδόχου* [*οὗτος μετ' Ἀντίπατρον βασιλεύσας Θήβας ἀνέστησε*].

---

1 *τῶν βασ. Ῥωμ.* om. *Eud.*

CLXXXI *Eud.* p. 223 3 *Ἱπποκράτου Eud.* 4 *ὃς — πόλεμον* om. *Eud.* 5 *αὐτῶν* **BE** *αὐτῷ* **M** *αὐτοῖς* **A** *vulg.* *συνεστῶτα Kusterus* *ἐνεστηκότα* **E** 7 *ἰατρικῶν Kusterus*

CLXXXII *Eud.* p. 226, quae om. *δημαγωγός — ὤν* et *οὗτος* — exit. Tractat Müller IV p. 377 10 *εὐφυής Ruhnken* *ἀπολογισμὸν τῆς ἑαυτοῦ δωδεκαετίας, ἱστορίαν — παίδων. τελευτᾷ δὲ κατ' Ὀλυμπιάδα ρις′ ἐπὶ Ἀντιπάτρου, ὃς κατέλυσε τὸν δῆμον καὶ τὰ δικ. καὶ τοὺς ῥητορ. ἀγῶνας καὶ μετ' Ἀλέξανδρον βασιλεύσας Θήβας ἀνέστησε Ruhnken* 11 *ἱστορίαν — παίδων* ad Hyperidem rettulit *Bernhardy* *ἱστορίαν περὶ Δήλου* iuniori alicui Demadi dedit *Gutschmid*; idem verba *οὗτος — ἀγῶνας* post *Ἀντιπάτρου* collocanda et tanquam lectoris additamentum secludenda putat

CLXXXIII *Eud.* p. 226, quae incipit *ἔστι δὲ καὶ ἕτερος Δημ.* 15 *τοῦτον* — exit. om. *Eud.* *τοῦτον — τεχθέντα* delet *Pluygers* de Demad. p. 5 seq. aliunde huc involasse perspexit *Daub* 17 *Δημαίου vulg.* *Δημέου* **BE Ald.** *Δημέα* **AV** 18 *ὃς* post *γέγονεν* inserui cum *Bernhard. Westerm.* om. libri 19 *Κασάνδρου Ἀντιπάτρου τοῦ πατρὸς διαδόχου* corr. *Gutschmid*, *Ἀντιπ. τοῦ Κασσ. πατρὸς καὶ διαδ.* **A** *Κασάνδρου τοῦ Ἀντιπάτρου πατ. διαδ. vulg.*; *Gutschmidio* debetur etiam *οὗτος* p. *Δημάδης*, quod habent libri. Verba *οὗτος* — exit. eadem manu addita esse, qua in priore vita *οὗτος — ἀγῶνας*, persuasit *Gutschmid* (coll. verborum ordine cod. **A**) *ὃς μετ' Ἀντίπατρον Pluygers* p. 8 *Westerm.* om. libri,

CLXXXIV. *Δημήτριος Ἰλιεὺς ἱστορικός. ἔγραψε Τρωικὰ ἐν βιβλίοις εἴκοσι.*

CLXXXV. *Δημήτριος ὁ ἐπίκλην Ἰξίων, γραμματικὸς Ἀδραμυττηνός, γεγονὼς κατὰ τοὺς Αὐγούστου τοῦ Καίσαρος χρόνους, ὃς διέτριψεν ἐν Περγάμῳ. ἐπεκλήθη δὲ τοῦτο, ὡς μέν τινες, διότι λεπίδας χρυσᾶς κλέπτων τοῦ ἐν Ἀλεξανδρείᾳ τῆς Ἥρας ἀγάλματος ἐφωράθη, ὡς δὲ ἄλλοι, ὅτι ἀπεσύλησεν Εὐριπίδειον Φιλότιμον τὸ δρᾶμα ἔχον τὸν Ἰξίονα, ἕτεροι δέ, ὅτι τῷ διδασκάλῳ Ἀριστάρχῳ ἀντήρισεν, ὥσπερ ὁ Ἰξίων εὐεργετήσασιν αὐτὸν τοῖς θεοῖς ἀχαριστεῖν ἐπεχείρησεν. ἔγραψε [δὲ πολλὰ] περὶ τῶν εἰς μι ληγόντων ῥημάτων, περὶ ἀντωνυμιῶν, εἰς Ὅμηρον ἐξήγησιν, εἰς Ἡσίοδον ὁμοίως καὶ ἄλλα.*

CLXXXVI. *Δημήτριος Φανοστράτου Φαληρεύς (Φάληρον δὲ λιμὴν τῆς Ἀττικῆς), ὃς τὸ πρῶτον Φανὸς ἐκαλεῖτο φιλόσοφος περιπατητικός. [γέγραφε φιλόσοφά τε καὶ ἱστορικὰ καὶ*

---

lacunam indicaverunt *Bernhardy Bekker*. Ceterum ordinem totius vitae ex A restituit *Gaisford*, vulgo enim *Δημ. Λακιάδης — καὶ διαδόχου* s. fin. proximi Suidae articuli post *ἐπ' Ἀλεξάνδρου* legebantur, reliqua post *Ἀντιπάτρου* sic: *Δημάδης, μετ' Ἀντίπατρον βασιλεύσας. Θήβας ἀνέστησε, Δημαίου — ἐπ' Ἀλεξάνδρου*

CLXXXIV accessit ex *Eud.* p. 221, quam Eustath. p. 1696 compilasse putat *Pulch* p. 80; itaque de fonte dubitandum. Fortasse non diversus est a Demetrio Scepsio, qui triginta voluminibus conscripsit *Τρωικὸν διάκοσμον* (cf. Strabo XII p. 603, Müller IV p. 382). Ab Hesychio vitam non profectam esse putat *Daub*, totam vitam ex Ptolemaei Hephaestionis commenticiis historiis fluxisse putat *Gutschmid*

CLXXXV *Eud.* p. 229. Cf. Diog. V, 84 4 *Ἀτραμυττηνός vulg. Eud. Ἀδραμυττηνός* AV *ἐπὶ Αὐγούστου τοῦ Καίσ. Eud.* 5 *ὃς διέτριψεν — ἐπεχείρησεν* om. *Eud.* post *χρόνους* excidisse verba *καὶ πρότερον* suspicatus est *Rohde*, Mus. Rhen. XXXIII p. 168 not. 6 coll. Suid. v. *Τρύφων*. De aetate, qua vixerit, cf. Scheurleer, de Dem. Magn. p. 58 seq., ineptit *Maass*, Biogr. p. 32 7 *ἐπεκλήθη — ἐφωράθη* descripsit *Pseudo-Hesych.* c. 20 8 *Ἰξίωνα* ABE 9 *ἀντίρησεν* A 11 *δὲ πολλὰ* expunxi cum *Eud.* *πολλὰ* add. A *δὲ* om. V *δὲ πολλά· Daub* 12 verba *καὶ ἄλλα*, quae libri *Suid.* et *Eud.* post *ῥημάτων* praestant, s. fin. articuli rectius transposui *εἰς Ὅμ. καὶ Ἡσ. ἐξήγησιν Eud.* *εἰς — ὁμοίως* om. V

CLXXXVI Cf. Müller II p. 362. Aut tota vita Hesychio abiudicanda est, cum praesertim *Eud.* p. 235 Diogenis Laertii excerpta exhibeat, aut certe nonnulla expungenda videntur, potissimumque verba *γέγραφε — γέγονε*, quae ad verbum ex Diog. V, 80 descripta sunt, et *οὕτω* — exit., quorum pars legitur apud Pseudo-Hesych. c. 15, pars apud Diog. V, 75. Omnino cf. Mus. Rhen. XXXV p. 209 15 *καὶ ῥητορικὰ* ex duobus Par. add. *Kusterus*, om. BE et vett. edd.

ῥητορικὰ καὶ πολιτικὰ καὶ περὶ ποιητῶν. ἠκροάσατο δὲ Θεοφράστου, καὶ δημαγωγὸς Ἀθήνησι γέγονε.] συνέγραψε [δὲ] συχνὰ βιβλία. [οὕτω δὲ ἦν σφόδρα εὐπρεπής, ὡς καὶ διαβολὴν λαβεῖν ὅτι γέγονεν ἐρώμενος Κλέωνος, καὶ προσαγορευθῆναι ὑπό τινων αὐτὸν Λαμπετὼ καὶ Χαριτοβλέφαρον. εἰς μέγα δὲ ἀρθεὶς δόξης καὶ ἐπικρατείας ὑπὸ τοῦ φθόνου κατεστρατηγήθη, καὶ ἐξελαθεὶς ὑπὸ Ἀθηναίων εἰς Αἴγυπτον ἦλθε, καὶ παρὰ τῷ σωτῆρι Πτολεμαίῳ διατρίβων δηχθεὶς ὑπὸ ἀσπίδος ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ Βουσιρίτῃ νομῷ, πλησίον Διοσπόλεως τῆς ἐν τοῖς ἕλεσιν.]

CLXXXVII. *Δημοκήδης Καλλιφῶντος, ἱερέως ἐν Κνίδῳ γενομένου Ἀσκληπιοῦ, Κροτωνιάτης ἰατρός, ὃς ἐν Αἰγίνῃ ἰάτρευσέ τε καὶ ἔγημε, καὶ Πολυκράτην τὸν Σάμου τύραννον ἰάτρευσεν ἐπὶ χρυσίου ταλάντοις δύο, καὶ ὑπὸ Δαρείου τοῦ Πέρσου μετεπέμφθη, καὶ συνεγένετο αὐτῷ χρόνον ἱκανόν. ἔγραψεν ἰατρικὸν βιβλίον.*

CLXXXVIII. *Δημόκριτος Ἡγησιστράτου (οἱ δὲ Ἀθηνοκρίτου ἢ Δαμασίππου), γεγονὼς ὅτε καὶ Σωκράτης ὁ φιλόσοφος, κατὰ τὴν οζ′ ὀλυμπιάδα (οἱ δὲ κατὰ τὴν π′ φασίν), Ἀβδηρίτης ἐκ Θρᾴκης, φιλόσοφος, μαθητὴς κατά τινας Ἀναξαγόρου καὶ Λευκίππου, ὡς δέ τινες, καὶ Μάγων καὶ Χαλδαίων Περσῶν. ἦλθε γὰρ καὶ εἰς Πέρσας καὶ Ἰνδοὺς καὶ Αἰγυπτίους, καὶ τὰ παρ' ἑκάστοις ἐπαιδεύθη σοφά, εἶτα ἐπανῆλθε, καὶ τοῖς ἀδελφοῖς συνῆν Ἡροδότῳ καὶ Δαμάσῳ. ἦρξε δὲ ἐν Ἀβδήροις διὰ τὴν ἑαυτοῦ σοφίαν τιμηθείς. μαθη-*

---

1 *ἠκροάσατο — βιβλία* om. V 3 *οὕτως* A *οὗτος* recte *Daub* 4 *Κλέωνος* scripsi cum Diog. V, 76 *Νέωνος* codd. *Par.* et E *νέος ὢν vulg.* 8 *πτωλεμαίῳ*, ut solet, A 10 *ἕλεσιν* A *ἕλεσι* rel.

CLXXXVII om. *Westerm. Eud.* p. 224, quae om. *Καλλιφῶντος — Ἀσκληπιοῦ* et *ὃς — ἱκανόν*. De eodem agitur Athen. XII p. 522 14 *τοῦ Πέρσου* om. V 16 *ἔγραψεν* — exit. V *ἔγραψεν ἰατρικὰ βιβλία δέκα Eud.*, quod in nostris Suidae exemplaribus casu intercidisse coniecit *Daub* *ἰατρικῶν Daub*. Sequuntur apud Suidam uberiores narrationes haustae ex Herodot. III, 129 et 133

CLXXXVIII Cf. Steph. Byz. v. *Ἄβδηρα*. Cf. Müller II p. 24 19 *κατὰ τὴν — φασίν* om. V 20 *κατά τινας* om. V 21 *καὶ* ante *Περσῶν* inseruit *Bernhardy* *Περσῶν — Δαμάστῃ* om. V *Περσῶν* del. *Daub* 22 *ἦλθε — ἰατρός* fortasse lectori debentur, qui Diog. IX, 7 compilavit 23 *παρ' ἑκάστης* A 24 *Δαμάστῃ* libri *Δαμάσῳ* corr. *Menag.* ad Diog. IX, 39, *Sturz*, Hellan. p. 15 coll. Plin. hist. n. XVIII, 35 25 *ὑπῆρξε Daub* *διὰ τὴν σοφίαν αὐτοῦ, οὗ ἀκροατὴς καὶ μαθητὴς Μητρόδωρος ὁ* V

τῆς δὲ αὐτοῦ διαφανὴς ἐγένετο Μητρόδωρος ὁ Χῖος, οὗ πάλιν ἀκροαταὶ Ἀνάξαρχος καὶ Ἱπποκράτης ὁ ἰατρός. ἐπεκλήθη δὲ Σοφία ὁ Δημόκριτος, καὶ Γελασῖνος [δὲ] διὰ τὸ γελᾶν πρὸς τὸ κενόσπουδον τῶν ἀνθρώπων. γνήσια δὲ αὐτοῦ βιβλία εἰσὶ δύο, ὅ τε μέγας διάκοσμος καὶ τὸ περὶ φύσεως κόσμου. ἔγραψε δὲ καὶ ἐπιστολάς.

CLXXXIX. Δημοσθένης Ἀθηναῖος, υἱὸς Δημοσθένους καὶ Κλεοβούλης, ῥήτωρ, τῶν δήμων Παιανιεύς, ἐπιμελὴς μᾶλλον ἢ εὐφυής, ὡς Ἕρμιππος ἱστορεῖ, καὶ πρὸς τὰς ἡδονὰς ἀκόλαστος, ὡς καὶ τοῦτό φησιν ὁ αὐτός. ὅθεν καὶ νέος μὲν ὢν Βάταλος ἐκλήθη ὡς καὶ γυναικείᾳ ἐσθῆτι πολλάκις χρησάμενος, Ἀργὰς δὲ μετὰ τὸ εἰς ἄνδρας τελέσαι, ὅπερ ἐστὶν ὄνομα ὄφεως. ἐπεθύμησε δὲ ῥητορικῆς Καλλίστρατον θεασάμενος τὸν ῥήτορα ὑπὲρ Ὠρωπίων λέγοντα. διήκουσε δὲ Ἰσαίου τοῦ Ἰσοκράτους μαθητοῦ, καὶ τοῖς λόγοις ἐχρῆτο Ζωίλου τοῦ Ἀμφιπολίτου σοφιστεύοντος ἐν Ἀθήναις, καὶ Πολυκράτους, καὶ Ἀλκιδάμαντος τοῦ Γοργίου μαθητοῦ, καὶ αὐτοῦ μέντοι Ἰσοκράτους. συνεφιλολόγησε δὲ Αἰσίωνι τῷ Ἀθηναίῳ καὶ Θεοπόμπῳ τῷ Χίῳ φιλοσόφῳ, διηκροάσατο δὲ καὶ Εὐβουλίδου τοῦ διαλεκτικοῦ καὶ Πλάτωνος. ἐτελεύτησε δὲ φυγὼν εἰς Καλαυρίαν ἐν τῷ τοῦ Ποσειδῶνος ἱερῷ διὰ τὸν Μακεδόνα Ἀντίπατρον, προσενεγκάμενος φάρμακον τὸ ἐν τῷ δακτυλίῳ, ἔτη βιώσας ξβʹ.

CXC. Δημοσθένης Θρᾷξ. οὗτος ἔγραψε μετάφρασιν Ἰλιάδος πεζῷ λόγῳ, ἐπιτομὴν τῶν Δαμαγήτου τοῦ Ἡρακλεώτου, περὶ διθυραμβοποιῶν, μετάφρασιν εἰς τὴν Ἡσιόδου θεογονίαν.

---

1 τοῦ δὲ om. πάλιν V 2 falsum id esse de Hippocrate Coo narratum monuit *Reinesius*, his adiunxit Suidas excerpta ex Diog. IX, 37 et 42. Ceterum cf. Suidae glossam κρατυντήρια ex Diogene l. c. petitam: ἔγραψε Δημ. ὁ Ἀβδ. βιβλίον, ὅπερ ἐστὶν ἐπικριτικὸν πάντων τῶν γραφέντων αὐτῷ βιβλίων 3 δὲ ex A add. *Gaisf.* 4 δὲ post γνήσια et ἔγραψε om. V

CLXXXIX 8 τὸν δῆμον *vulg.* τῶν δήμων AV 9 de εὐφυής cf. Δημάδης et coni. *Ruhnken.* πρὸς add. AV om. rel. 11 καὶ ante γυν. add. A om. rel. 12 ἄνδρα A 15 ἠσαίου V 17 Γρηγορίου V, qui mox om. καὶ αὐτοῦ — Ἰσοκράτους

CXC Cf. Daub, Stud. p. 85 seq. 24 μεταβολὰς Ὀδυσσείας coni. *Valckenaer*, Op. II p. 116 verba καὶ Ὀδυσσείας post Ἰλιάδος inserenda putavit *Lehrs*, Pindarscholien p. 51 25 τοῦ Δαμ. *vulg.* B τῶν Δαμ. AV de Δαμ. Ἡρ. cf. v. Τιμαγένης 26 de hoc libro cf. meam scholiorum Hesiodeorum editionem p. 141

CXCI. *Διαγόρας Τηλεκλείδου ἢ Τηλεκλύτου Μήλιος, φιλόσοφος καὶ ᾀσμάτων ποιητής, ὃν εὐφυᾶ θεασάμενος Δημόκριτος ὁ Ἀβδηρίτης ὠνήσατο αὐτὸν δοῦλον ὄντα μυρίων δραχμῶν, καὶ μαθητὴν ἐποιήσατο. ὁ δὲ καὶ τῇ λυρικῇ ἐπέθετο, τοῖς χρόνοις ὢν κατὰ Πίνδαρον καὶ Βακχυλίδην, Μελανιππίδου δὲ πρεσβύτερος· ἤκμαζε τοίνυν οη' ὀλυμπιάδι. ἐπεκλήθη δὲ ἄθεος, διότι τοῦτο ἐδόξαζεν ἀφ' οὗ τις ὁμότεχνος, αἰτιαθεὶς ὑπ' αὐτοῦ, ὡς δὴ παιᾶνα ἀφελόμενος ὃν αὐτὸς ἐπεποιήκει, ἐξωμόσατο μὴ κεκλοφέναι τοῦτον, μικρὸν δὲ ὕστερον ἐπιδειξάμενος αὐτὸν εὐημέρησεν. ἐντεῦθεν οὖν ὁ Διαγόρας λυπηθεὶς ἔγραψε τοὺς· καλουμένους ἀποπυργίζοντας λόγους, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης. κατοικήσας δὲ Κόρινθον ὁ Διαγόρας αὐτόθι τὸν βίον κατέστρεψεν.*

CXCII. *Δίδυμος Ἀτήιος [ἢ Ἄττιος] χρηματίσας, φιλόσοφος Ἀκαδημαϊκός. πιθανῶν καὶ σοφισμάτων λύσεις ἐν βιβλίοις β', καὶ ἄλλα πολλά.*

CXCIII. *Δίδυμος Διδύμου ταριχοπώλου, γραμματικὸς Ἀριστάρχειος, Ἀλεξανδρεύς, γεγονὼς ἐπὶ Ἀντωνίου καὶ Κικέρωνος καὶ ἕως Αὐγούστου, Χαλκέντερος κληθεὶς διὰ τὴν περὶ τὰ βιβλία ἐπιμονήν. φασὶ γὰρ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια καὶ πεντακόσια βιβλία.*

CXCI Cf. Steph. Byz. v. *Μῆλος* 1 *Μιλήσιος* **ABVEM** corr. *Gaisford* *σοφιστὴς ἢ φιλ.* **E** *καὶ — ποιητής* om. **V** 2 *ὃν* — exit. exhibet *Pseudo-Hesych.* c. 17; eadem fortasse verba Hesychio adiudicanda sunt 3 *δοῦλον*: *Wachsmuth,* Symb. p. 141 5 *κατὰ* corr. *Kusterus* *μετὰ* **A** *vulg. Bernhardy*; cf. Clinton, p. 41 Kr. 6 *Μελανιππίδου — ὀλυμπιάδι* om. vett. edd. et **BEV** ex **A** add. *Kusterus,* leguntur in **Vat. Pearson.**, sed in **A** dilucide scriptum esse *Μελανιππίδης* recte monuit *Gaisford* 7 *ὃς ἐπεκλ.* **V** *καὶ ἐπεκλ.* **A** *διότι — λυπηθείς*, et *καλουμένους* et *ἀναχώρησιν αὐτοῦ* om. *vulg.* ex **A** et **Vat. Pearson.** revocavit *Kusterus*; eadem etiam *Pseudo-Hesych.* praebet, qui om. *καλουμένους* et *ἀναχώρησιν αὐτοῦ* 12 *ἔκπτυξιν* corr. *Hemsterhusius* 73 *ὁ Διαγ.* solus **A**, ut videtur, *ὁ* om. rel. 14 *κατέτρεψε* **V** *κατέστρεψεν* **A**

· CXCII *Eud.* p. 234, quae incipit *Διδ. Ἀτήϊος, φιλ. Ἀκαδ.* om. *ἢ Ἄττιος*. Cf. Unters. p. 51, Diels, Doxogr. p. 86 seq., qui post *πιθανῶν* numerum excidisse putat 15 *Ἄρειος* pro *Ἄττιος* ex *Euseb.* pr. ev. XV, 15 coni. Ionsius, hist. scr. ph. III, 1 laudatus *Reinesio* *Αἴτιος* vel *Ἀέτιος* *Toupius*, *ἢ Ἄττιος* correcturam lectoris esse vidit *Bernhardy* 16 *περὶ πιθανῶν* vel *πιθανά* *Daub*

CXCIII *Eud.* p. 230 19 *Ἀντωνίνου vulg.* corr. *Kusterus* 20 *Χαλκέντερος* seq. descripsit *Pseudo-Hesych.* c. 21 22 *καὶ* om. **A**

CXCIV. *Δίδυμος νέος Ἀλεξανδρεύς, γραμματικός, ὃς ἐσοφίσευσεν ἐν Ῥώμῃ. ἔγραψε πιθανά, περὶ ὀρθογραφίας, καὶ ἄλλα πλεῖστα καὶ ἄριστα.*

CXCV. *Δίδυμος ὁ Κλαύδιος χρηματίσας, γραμματικός. περὶ τῶν ἡμαρτημένων παρὰ τὴν ἀναλογίαν Θουκυδίδῃ, περὶ τῆς παρὰ Ῥωμαίοις ἀναλογίας, ἐπιτομὴν τῶν Ἡρακλέωνος, καὶ ἄλλα τινά.*

CXCVI. *Δίδυμος ὁ τοῦ Ἡρακλείδου, γραμματικός, ὃς διέτριψε παρὰ Νέρωνι καὶ ἐχρηματίσατο, μουσικός τε ἦν λίαν καὶ πρὸς μέλη ἐπιτήδειος.*

CXCVII. *Δίδυμος Ἀλεξανδρεύς. γεωργικὰ ἐν βιβλίοις ιε΄.*

CXCVIII. *Δικαίαρχος Λακεδαιμόνιος, γραμματικός, ἀκροατὴς Ἀριστάρχου.*

CXCIX. *Δικαίαρχος Φειδίου, Σικελιώτης ἐκ πόλεως Μεσσήνης, Ἀριστοτέλους ἀκουστής, φιλόσοφος καὶ ῥήτωρ καὶ γεωμέτρης. καταμετρήσεις τῶν ἐν Πελοποννήσῳ ὀρῶν, Ἑλλά-*

CCXXXVIII. *Ἑκαταῖος* Ἀβδηρίτης φιλόσοφος, ὃς ἐπεκλήθη καὶ κριτικὸς γραμματικός, οἷα γραμματικὴν ἔχων παρασκευήν. γέγονε δὲ ἐπὶ τῶν διαδόχων. βιβλία αὐτοῦ ταῦτα· περὶ τῆς ποιήσεως Ὁμήρου καὶ Ἡσιόδου.....

CCXXXIX. *Ἑκαταῖος* Ἡγησάνδρου Μιλήσιος, γέγονε κατὰ τοὺς Δαρείου χρόνους τοῦ μετὰ Καμβύσην βασιλεύσαντος, ὅτε καὶ Διονύσιος ἦν ὁ Μιλήσιος, ἐπὶ τῆς ξε' ὀλυμ-

---

CCXXXV *Suidae* glossa forte ad poetam spectat (cf. Anthol. Pal. XV, 25 et 26)

CCXXXVI haec glossa forte ad mathematicum referenda est, cuius mentionem fecit scriptor vitae Arati p. 58, 24 *Westerm.* (corr. Meineke, qui Anal. p. 10 *Σωσίβιος δὲ ὁ Ἐπιλυτικὸς* vel *ὁ Λυτικὸς* coniecerat)

CCXXXVII *Eud.* p. 294. Cf. v. *Πάκατος*. Cf. Haupt, Op. II p. 434 seq.; Rohde, Gr. Roman p. 327 not.; Daub, Stud. p. 121. Utramque vitam Hesychio dedi, qui duos descripsit indices ad eundem auctorem eos spectare ignorans. Eiusdem Irenaei mentionem fecerunt Socrates, hist. eccl. III, 7; schol. ad Ar. Vesp. 895, Eur. Med. 222, Apoll. Rhod. pluribus locis 3 *γρ. Ἀλ.* post *Εἰρηναῖος* *Eud.* *γραμμ. Ἀλ. ὀνόματα* A 4 *Ἡλιοδ. μετρικοῦ γραμματικοῦ* *Eud.* *ἔγραψε* add. *Eud.* 7 *Ἀττικὴν συνήθειαν* non diversam esse ab *τῷ κατὰ στοιχεῖον Ἀττικιστῇ*, quem alii laudant, putabat *Bernhardy* (Meier op. II, 42) coll. Etym. M. v. *Κομψός*. *Εἰρηναῖος ὁ Ἀττ. ἐν τῷ κ στοιχείῳ* et Socrat. hist. eccl. III, 7; cui adversatus est Rohde, de Polluc. font. p. 14 not. 2, *Ἀττικιστής* a libro infra laudato *περὶ ἀττικισμοῦ* non diversum fuisse ratus 9 *βίος* pro altero *βιβλίον* V

CCXXXVIII *Eud.* p. 294. Cf. Müller II p. 384 seq. Eundem esse atque Hec. Teium apud Strabon. XIV p. 644 monuit *Meineke*, Vind. Strab. p. 221. Cf. Rohde, Gr. Roman p. 208 not. 4 11 *κρητικὸς* *Eud.* *καὶ κριτ.* ABVE *vulg.* *κριτικὸς καὶ γρ.* tacite mutavit *Kusterus*, haud feliciter 12 *φέρεται αὐτοῦ βιβλία* *Eud.* 13 lacunam indicavi coll. v. *Μίμνερμος*; nempe plura scripsisse constat

CCXXXIX *Eud.* p. 284. Cf. Müller I p. 1. Vitam ex Porphyrii historia philosophica fluxisse docuit Rohde, Mus. Rhen. XXXIII p. 171 not. coll. Suid. v. *Φερεκύδης Ἀθ.* 16 *ὅτε — ὀλυμπιάδος* om. *Eud.* *ἐπὶ — Ὀλ.* om. V

πιάδος, ἱστοριογράφος. Ἡρόδοτος δὲ ὁ Ἁλικαρνασεὺς ὠφέληται ⟨ὑπὸ⟩ τούτου νεώτερος ὢν ⟨γέγονε γὰρ μετ' αὐτόν⟩. καὶ ἦν ἀκουστὴς Πρωταγόρου [ὁ Ἑκαταῖος]. πρῶτος δὲ ἱστορίαν πεζῶς ἐξήνεγκε, συγγραφὴν δὲ Φερεκύδης· τὰ γὰρ Ἀκουσιλάου νοθεύεται.

CCXL. *Ἑλικώνιος ἀστρονόμος. ἀποτελεσματικά, περὶ διοσημείων καὶ ἄλλα πολλά.*

CCXLI. *Ἑλικώνιος σοφιστὴς Βυζάντιος, ἔγραψε χρονικὴν ἐπιτομὴν ἀπὸ τοῦ Ἀδὰμ μέχρι Θεοδοσίου τοῦ μεγάλου ἐν βιβλίοις ι'.*

CCXLII. *Ἑλλάδιος Ἀλεξανδρεὺς γραμματικός, γεγονὼς κατὰ Θεοδόσιον τὸν βασιλέα τὸν νέον. λέξεως παντοίας χρῆσιν κατὰ στοιχεῖον, ἔκφρασιν φιλοτιμίας, Διόνυσον ἢ μοῦσαν, ἔκφρασιν τῶν λουτρῶν Κωνσταντίνου, ἔπαινον Θεοδοσίου τοῦ βασιλέως.*

CCXLIII. [*Ἑλλάνικος Μιλήσιος ἱστορικός. περίοδον γῆς καὶ ἱττορίας*].

CCXLIV. *Ἑλλάνικος Μιτυληναῖος ἱστορικός, υἱὸς Ἀν-*

---

1 *ἱστορικός Eud.* *ὑφ' οὗ καὶ ὁ Ἁλ. Ἡροδ. ὠφέληται Eud.*, unde Suidae textum correxi add. *ὑπό*, quibus de verbis cf. Unters. p. 46 not. 1, Daub, de Viol. p. 11, qui contulit Hermogen. *περὶ ἰδεῶν* II p. 399 *Ἑκ. — παρ' οὗ ὠφέληται Ἡρόδ.* (cf. etiam vit. Platon. p. 383, 45 et 384, 64 West.); Eudociam emendasse textum putat *Pulch* p. 91 3 *Πρωταγόρου* ineptum, nec rem expedit, si cum Sevino corrigimus *Πυθαγόρου*. Cf. Creuzer, fr. hist. p. 4. Sed *ὁ Ἑκαταῖος* expungendum et *νεώτερος ὢν· γέγονε γὰρ μετ' αὐτὸν* (*γέγονε — αὐτὸν* solus **A** servavit) *καὶ ἦν ἀκουστὴς Πρωταγόρου* corrigendum argute coni. *Gutschmid* 4 *πεζοὶ* **V** *Ἀγησιλάου libri Ἀγεσιλάου Eud. Ἀκουσιλάου* corr. *Voss.* hist. Gr. p. 13 West.

CCXL Cf. Fabricius, Bibl. Graec. IV p. 164. Hic Heliconem Cyzicenum, Eudoxi discipulum, cum Heliconio confusum esse opinatur *Gutschmid* 7 *διοσημιῶν Bekker*

CCXLI *Eud.* p. 287. Usus est Hesychius Heliconii libris chronicis v. *Ἀπίων* et *Ἀρριανός*. Cf. Unters. p. 58, Daub, de Suid. p. 469 8 *ἔγραψε* om. **V**, qui mox *μέχρι τῶν χρόνων Θεοδ.* Utramque vitam om. **A**, in quo desunt glossae *ἐληλεγμένον — ἐμφαντικῶς* nulla lacuna relicta

CCXLII *Eud.* p. 293. Cf. Haupt, Opusc. III p. 494 13 *στοιχείων* **A** hoc lexicon in Suidae fontibus laudatur 14 *τῶν λουτροῦ Κωνσταντιανῶν vulg. Eud. τῶν λούτρων Kusterus*; veram lectionem ex al. *Λοῦτρον* (in edd. vett. et **A** marg. servata) elicuit *Bernhardy*

CCXLIII *Eud.* p. 285. Ad Hecataeum hanc glossam spectare vidit Sturz, de Hell. p. 27 seq. Expunxit *Westerm.*

CCXLIV *Eud.* p. 285. Cf. Müller I p. XXIII; v. Wilamowitz-M. in Herm. XI p. 291 seq.; Bass, Wiener Studien I, 2 p. 161 seq.; Daub, Stud. p. 2

δρομένους, οἱ δὲ Ἀριστομένους, οἱ δὲ Σκάμωνος, οὗ ὁμώνυμον ἔσχεν υἱόν. διέτριψε δὲ Ἑλλάνικος σὺν Ἡροδότῳ παρὰ Ἀλεξάνδρῳ τῷ Μακεδόνων βασιλεῖ κατὰ τοὺς χρόνους Εὐριπίδου καὶ Σοφοκλέους, καὶ Ἑκαταίῳ τῷ Μιλησίῳ ἐπέβαλε γεγονότι· κατὰ τὰ Περσικὰ καὶ μικρῷ πρόσθεν. ἐξέτεινε δὲ καὶ μέχρι τῶν Ἀρχελάου χρόνων, καὶ ἐτελεύτησεν ἐν Περπερίνῃ τῇ καταντικρὺ Λέσβου. συνεγράψατο δὲ πλεῖστα πεζῶς τε καὶ ποιητικῶς.

CCXLV. *Ἐμπεδοκλῆς Μέτωνος, οἱ δὲ Ἀρχινόμου, οἱ δὲ Ξενέτου, Ἀκραγαντῖνος* [*δὲ*], *φιλόσοφος φυσικὸς καὶ ἐποποιός. καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην. ἠκροάσατο δὲ πρῶτον Παρμενίδου, οὗ τινος, ὥς φησι Πορφύριος ἐν φιλοσόφῳ ἱστορίᾳ, ἐγένετο παιδικά. οἱ δὲ ἔφρασαν μαθητὴν Τηλαύγους τοῦ Πυθαγόρου υἱοῦ τὸν Ἐμπεδοκλέα γενέσθαι.* [*οὗτος ὁ Ἐμπεδοκλῆς στέμμα ἔχων ἐπὶ τῆς κεφαλῆς χρυσοῦν καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσὶν ἐπῄει τὰς πόλεις, δόξαν περὶ αὐτοῦ κατασχεῖν ὡς περὶ θεοῦ βουλόμενος. ἐπεὶ δὲ γηραιὸς ἐγένετο, νύκτωρ ἔρριψεν ἑαυτὸν εἰς κρατῆρα πυρός, ὥστε μὴ φανῆναι αὐτοῦ τὸ σῶμα. καὶ οὕτως ἀπώλετο, τοῦ σανδαλίου αὐτοῦ ἐκβρασθέντος ὑπὸ τοῦ πυρός. ἐπεκλήθη δὲ καὶ Κωλυσανέμας διὰ τὸ ἀνέμου πολλοῦ ἐπιθεμένου τῇ Ἀκράγαντι ἐξελάσαι αὐτόν, δορὰς ὄνων περιθέντα τῇ πόλει.*] *γέγονε δὲ τούτου μαθητὴς Γοργίας ὁ ῥήτωρ ὁ Λεοντῖνος. καὶ ἔγραψε δι' ἐπῶν περὶ*

---

1 *οἱ δὲ — υἱὸν καὶ Ἑκαταίῳ — Λέσβου* om. *Eud.* Cf. v. *Σάνδων* 3 *Ἀλεξάνδρῳ* pro *Ἀμύντᾳ* infra *Ἀρχελάου* pro *Περδίκκου* corrigendum esse monuit *Gutschmid* (*Ἀρχελάου* suasit etiam *Clinton*), *Περδίκκᾳ* pro *Ἀμύντᾳ Clinton*, fast. p. 383 Kr. 4 *Αἰκαταίῳ* **A** 5 *ἢ καὶ Daub* *πρὸς* libri, *πρὸ* cum Porto *Kusterus*, *πρότερον Dobraeus*, *πρόσθεν Rohde*, Mus. Rhen. XXXIII p. 165 coll. Suid. v. *Πλούταρχος*, quod recepi 6 *Προδίκου Suidas* v. *ἐπέβαλεν*, ubi ex Paris. corr. *Kusterus* *Περπερήνῃ vulg.* *Περπερίνῃ* **AV** 8 *ποιητικῶς Paris. Kusteri*, *ἐπικῶς vulg. Eud.*, neutrum recte se habere putavit *Bernhardy*; sed *ποιητικῶς* ad pleniorem tabulam spectare, qua contineretur etiam catalogus Carneonicorum versu heroico compositus, perspexit *Gutschmid*

CCXLV om. **A.** De hac vita egi Mus. Rhen. XXXV p. 209, ubi verba *οὗτος — πόλει* a Suida ex Porphyrii historia adiecta esse docui 10 *Ξενέτου* libri, *Ἐξαινέτου* ex Diog. VIII, 53 rec. *Bekker*; his verbis adiunxi *Ἀκραγαν. — ἐποποιός*, quae in libris post *γενέσθαι* leguntur 12 *ἐν φιλοσ. ἱστορ.* ex uno Par. add. *Kusterus* 15 *ἐποποιόν* **V**

φύσεως τῶν ὄντων βιβλία γ' (καὶ ἔστιν ἔπη ὡς δισχίλια), ἰατρικὰ καταλογάδην καὶ ἄλλα πολλά.

CCXLVI. Ἐμπεδοκλῆς θυγατριδοῦς τοῦ προτέρου, τραγικός. τραγῳδίαι αὐτοῦ κδ'.

CCXLVII. Ἐμπεδότιμος. οὗτος ἔγραψε περὶ φυσικῆς ἀκροάσεως. [περὶ οὗ λέγει ὁ παραβάτης ἐν τοῖς ἐπιγραφομένοις Κρονίοις "ἡμεῖς δὲ Ἐμπεδοτίμῳ καὶ Πυθαγόρᾳ πιστεύοντες, οἷς τε ἐκεῖθεν λαβὼν Ἡρακλείδης ὁ Ποντικὸς ἔφη, καὶ μικρῷ πρότερον καὶ ὁ κλεινὸς ἡμῖν ἔδειξεν ἱεροφάντης Ἰάμβλιχος."]

CCXLVIII. Ἐπαφρόδιτος Χαιρωνεὺς γραμματικός, Ἀρχι<βί>ου τοῦ Ἀλεξανδρέως γραμματικοῦ θρεπτός, παρ' ᾧ παιδευθεὶς ὠνήθη ὑπὸ Μοδέστου, ἐπάρχου Αἰγύπτου, καὶ παιδεύσας τὸν υἱὸν αὐτοῦ Πετηλῖνον ἐν Ῥώμῃ διέπρεψεν ἐπὶ Νέρωνος καὶ μέχρι Νέρβα, καθ' ὃν χρόνον καὶ Πτολεμαῖος ὁ Ἡφαιστίωνος ἦν καὶ ἄλλοι συχνοὶ τῶν ὀνομαστῶν ἐν παιδείᾳ. ὠνούμενος δὲ ἀεὶ βιβλία ἐκτήσατο μυριάδας τρεῖς, καὶ τούτων σπουδαίων καὶ ἀνακεχωρηκότων. τὸ δὲ σῶμα ἦν μέγας τε καὶ μέλας ὡς ἐλεφαντώδης. ᾤκει τε ἐν τοῖς καλουμένοις Φαινιανοκορίοις, δύο οἰκίας αὐτόθι κτησάμενος. ὁ δὲ καὶ

---

2 *βιβλ. τρία vulg. βιβλ. δύο* **BEV**

CCXLVI om. **A.** Cf. Welcker, Gr. trag. p. 1228

CCXLVII om. **A.** Cf. *Eud.* p. 299, quae add. *φιλόσοφος* 6 *περὶ οὗ* seq. ex glossa *Ἰουλιανός* (cf. ed. Hertlen. p. 609) repetita Hesychio abiudicanda esse exposui Mus. Rhen. XXXV p. 210; fortasse tota glossa expungenda. Rem ipsam, de qua agitur, enucleavit Rohde, Mus. Rhen. XXXII p. 331 not. 1, qui verba orbem lacteum spectare vidit 8 *ὁ λαβὼν Ἡρακλ.* libri Suidae et *Eud.** 9 *ἔδοξε καὶ vulg. ἔδοξε* om. *καὶ Eud. ἔδειξε καὶ* ex uno Par. *Kusterus καὶ* delendum esse vidit *Bernhardy*; idem *ἱεροφάντης* pro vulg. *ἱεροφάντωρ* correxit

CCXLVIII *Eud.* p. 292. Cf. Daub, Stud. p. 106 12 *Ἀρχιβίου* corr. *Bernhardy* laudatus *Wachsmuth.* Symb. p. 141 *Ἀρχίου* libri Suidae *Eud.*, quod laudat *Daub* 13 *θρεπτὸς ἐπὶ Νέρωνος Eud.,* quae sequentia om., s. fin. pergens *ἔγραψε περὶ γραμματικῆς κάλλιστα καὶ εἰς Ὅμηρον καὶ Πίνδαρον ἐξήγησιν*, quae verba Eudociam ipsam addidisse, cum horum librorum memoriam a cognitione scholiorum Homericorum et Pindaricorum repeteret, non probavit *Daub. Πιτηλῖνον vulg. Πετηλῖνον* **ABV** 14 *διέτριψεν* coni. *Westerm.* *ἐπὶ Νέρωνος*: hinc corrigendum Steph. Byz. p. 170, 7 *Βιθύνιον — Ἐπαφροδίτου τοῦ Νέρωνος ὢν ἐξελεύθερος* in *Ἐπαφρ. ἐπὶ τοῦ Νέρωνος ὢν ἐξ.* persuasit *Rohde*, Mus. Rhen. XXXIV p. 570; idem de lexico *κατὰ στοιχεῖον* Epaphr. disputavit in libello de Polluc. font. p. 14 not. 19 *ᾤκει δὲ vulg. ᾤκει τε* **AV** recte scripsit *Bernhardy*

ε' ἔτος ἄγων ἐτελεύτησεν ὑδέρῳ περιπεσών. συγγράμματα δὲ κατέλιπεν ἱκανά.

CCXLIX. *Ἐπιγένης* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἡρωίνη καὶ Μνημάτιον καὶ Βακχεῖαι, ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφισταῖς.

CCL. *Ἐπίκουρος* Νεοκλέους Ἀθηναῖος, Γαργήττιος τῶν δήμων, μητρὸς Χαιρεστράτης. ἀδελφοὶ δὲ αὐτοῦ Νεοκλῆς, Χαιρέδημος, Ἀριστόβουλος ἢ Ἀριστόδημος. φιλοσοφίας δὲ ἤρξατο ἀπὸ ἐνιαυτῶν ιβ', καὶ οἰκείαν αἵρεσιν εἰσηγήσατο, πρῶτον μὲν ἐν Σάμῳ διατρίψας σὺν τοῖς γονεῦσιν, εἶτα σχολαρχήσας ἐν Μιτυλήνῃ ἐνιαυτῶν ὢν ... [ἦν], εἶτα ἐν Λαμψάκῳ, καὶ οὕτως ἐν Ἀθήναις ἐν ἰδίῳ κήπῳ, ἀκούσας δὲ Ναυσιφάνους τοῦ Δημοκριτείου καὶ Παμφίλου τοῦ Πλάτωνος μαθητοῦ. γέγονε δὲ ἐπὶ τῆς ρθ' ὀλυμπιάδος, μετὰ ζ' ἐνιαυτοὺς τῆς Πλάτωνος τελευτῆς, καὶ παρέτεινεν ἐπὶ τῶν διαδόχων καὶ Ἀντιγόνου τοῦ Γονατᾶ <κληθέντος>. καὶ διέμεινεν ἡ αὐτοῦ σχολὴ ἕως Καίσαρος τοῦ πρώτου ἔτη σκζ', ἐν οἷς διάδοχοι αὐτῆς ἐγένοντο ιδ'. συγγράμματα δὲ αὐτοῦ πλεῖστα.

CCLI. *Ἐπικράτης* κωμικός. τῶν δραμάτων αὐτοῦ Ἔμπορος καὶ Ἀντιλαΐς.

CCXLIX *Eud.* p. 290. Cf. Meineke I p. 354. De vita cf. Daub, de Suid. p. 483 4 ἡ ῥαΐνη *Eud.* ἡραΐνη **M Ald. Bas.** Βακχεῖα *libri* et *Eud.*, quod corr. Meineke coll. Athen. XI p. 498 Βάκχαι *Athen.* IX p. 38. Cf. Athen. XI p. 469, 474, 502 XI p. 472, 480, 486 II p. 75 XI p. 498 ὡς Ἀθην. seq. om. *Eud.* pro his addens ἔστι δὲ τῶν ἀρχαιοτάτων, quae inepta esse videntur, sed Eudociam confudisse Epigenem comicum et tragicum, poetam antiquissimam, cuius mentio fiat apud Suidam v. Θέσπις, vidit *Meineke*

CCL Cf. Steph. Byz. v. Γαργηττός. Diog. X, 1 seq. 6 Γαργήττειος **A** 7 τὸν δῆμον *vulg.* τῶν δ. **ABV** Χαριστράτης **V** 8 Ἀριστόβουλος ἢ Ἀριστ. ex uno Paris. add. *Kusterus*, om. *vulg.* ἢ Ἀρ. ignorat Diogenes X, 3 del. *Daub* 10 σὺν τοῖς γονεῦσιν om. **V** 11 ὢν ἦν *libri* et **M Ald.** ἐνιαυτὸν ἦν **Bas.** ὢν ex emendat. *Gaisford.* rec. *Westerm.*, qui post hanc vocem numerum excidisse putavit, qui latet in librorum scriptura ἦν, ubi aut ex Diog. X, 15 λβ' aut cum *Gaisford.* κη' reponendum sit, ἐνιαυτὸν ἕνα cum *Porto* mavult *Kusterus* 12 οὕτως susp. *Daubio* 14 ρθ' **A** οθ' *rel. codd.* Cf. Rohde, Mus. Rhen. XXXIII p. 189 15 ἕως τῶν *Daub* 16 τὰ γόνατα κληθέντος **A** 17 σλζ' *vulg.* σκζ' **ABVEM** revocavit *Gaisfordus* 19 πολλὰ *vulg.* πλεῖστα **A**

CCLI *Eud.* p. 240. Cf. Meineke I p. 414. De vita v. Daub, de Suid. p. 484 21 Cf. *Athen.* XIV p. 665 et XIII p. 605

CCLII. *Ἐπίκτητος* Ἱεραπόλεως τῆς Φρυγίας, φιλόσοφος, δοῦλος Ἐπαφροδίτου τῶν σωματοφυλάκων τοῦ βασιλέως Νέρωνος. πηρωθεὶς δὲ τὸ σκέλος ὑπὸ ῥεύματος ἐν Νικοπόλει τῆς νέας Ἠπείρου ᾤκησε, καὶ διατείνας μέχρι Μάρκου Ἀντωνίνου. ἔγραψε πολλά.

CCLIII. *Ἐπίλυκος* κωμικὸς ποιητής. τῶν δραμάτων αὐτοῦ ἐστι Κωραλίσκος, ὡς Ἀθήναιος.

CCLIV. *Ἐπιμενίδης* Φαίστου ἢ Δοσιάδου ἢ Ἀγησάρχου υἱός, καὶ μητρὸς Βλάστας, Κρὴς ἀπὸ Κνωσσοῦ, ἐποποιός [οὗ λόγος ὡς ἐξίοι ἡ ψυχὴ ὁπόσον ἤθελε καιρόν, καὶ πάλιν εἰσῄει ἐν τῷ σώματι· τελευτήσαντος δὲ αὐτοῦ πόρρω χρόνων τὸ δέρμα εὑρῆσθαι γράμμασι κατάστικτον]. γέγονε δὲ ἐπὶ τῆς λ' ὀλυμπιάδος, ὡς προτερεύειν καὶ τῶν ζ' κληθέντων σοφῶν ἢ καὶ ἐπ' αὐτῶν γενέσθαι. οὗτος ἔζησεν ρν' ἔτη, τὰ δὲ ξ' ἐκαθεύδησεν. ἐκάθηρε γοῦν τὰς Ἀθήνας τοῦ Κυλωνείου ἄγους κατὰ τὴν μδ' ὀλυμπιάδα, γηραιὸς ὤν. ἔγραψε δὲ πολλὰ ἐπικῶς, καὶ καταλογάδην μυστήριά τινα καὶ καθαρμοὺς καὶ ἄλλα αἰνιγματώδη. [πρὸς τοῦτον γράφει Σόλων

CCLII *Eud.* p. 299, quae post Ἐπαφροδ. add. ἔγραψε πολλὰ ἠθικῆς (sic corr. R. Nitzsche pro ἠθικὰ) φιλοσοφίας ἀνάμεστα, quae verba correxit *Daub*, de Viol. p. 5 ἠθικὰ καὶ φιλοσ. ἀναμ. 2 δοῦλος δὲ om. **AE**; de re cf. Wachsmuth, Symb. p. 141 3 Νεικοπόλει **A** 4 νέας errorem esse monet *Gutschmid* an διέτεινε? 5 Plura add. *Suidas* ex Damascio

CCLIII Meineke I p. 269 7 Κωραλίσκος corr. *Meineke* coll. Phot. lex. p. 198, 15 κωραλίσκος: τὸ μειράκιον, Κρῆτες; Κοραλίσκος omnes *libri*. Cf. Athen. IV p. 133 et 140, XIV p. 650, XV p. 691

CCLIV *Eud.* p. 260 et 290, cod. **Par.** 2600 8 ἢ Δοσ. — μητρός et οὗ λόγος — κατάστικτον om. *Eud.* Φαιστίου e Diog. I, 109 *Bernhardy* Δωσιάδου *Diogenes* Δοσιάδης **BE** Δοσιάδος **M** Ἀγησάρχου *Bernhardy* Ἀγησιάρχου *Diog.* Ἀγιασάρχου *vulg.* 9 Βλαίστης *Eud.* Βάλτης *Plut.* Sol. 12 Βλάστας *vulg.* 10 haec a lectore addita docui Mus. Rhen. XXXV p. 210, habet etiam Pseudo-Hesych. c. 25 11 πόρρω χρόνων om. **V** *Pseudo-Hesych.*, seclusit *Westerm.* 12 γέγονε — ὤν om. *Eud.* 14 αὐτῆς **A** οὗτος — ἐκαθεύδησεν huc transposui, cum in libris infra post κάθαρσιν exstent; ceterum ϛ **A** ἓξ *vulg.* ξ' cum *Wolfio* et *Menagio Kusterus* 16 μϛ' ex Diog. I, 110 corr. *Bernhardy*, quod probavit *Rohde*, Mus. Rhen. XXXIII p. 208, μδ' libri με' vel μζ' *Bentley*, Phal. p. 58 17 ἐπικῶς μυστήρια, καὶ καθαρὰ δὲ καὶ ἄλλα αἰνιγματώδη *vulg.* **BE** πολλὰ — κατ. om. **V** ex **A** supplevit *Kusterus* καταλογάδην om. *Eud.* καθαρτικά *Eud.*, ceterum καθαρμοί carmen fuisse docet Strabo X p. 479: cf. Hiller, Mus. Rhen. XXXIII p. 572 18 πρὸς τοῦτον — exit. ab Hesychii ingenio aliena sunt (cf. Diog. I, 112); πρὸς τοῦτον — κάθαρσιν om. **BVEM** Ald. Alia denique scripta ex Diogene

ὁ νομοθέτης μεμφόμενος τῆς πόλεως κάθαρσιν. καὶ παροιμία 'τὸ Ἐπιμενίδειον δέρμα' ἐπὶ τῶν ἀποθέτων].

CCLV. Ἐπίνικος καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ὑποβαλλόμεναι, ὡς Ἀθήναιος.

CCLVI. Ἐπιφάνιος Οὐλπιανοῦ Πετραῖος σοφιστής, παιδεύσας ἔν τε αὐτῇ καὶ ἐν Ἀθήναις. ἔγραψε περὶ κοινωνίας καὶ διαφορᾶς τῶν στάσεων, προγυμνάσματα, μελέτας, δημάρχους, πολεμαρχικόν, λόγους ἐπιδεικτικοὺς καί τινα σύμμικτα θεωρήματα.

CCLVII. Ἐπιφάνιος Κωνσταντείας τῆς Κύπρου ἐπίσκοπος, τῆς πρότερον Σαλαμίνης. ἔγραψε κατὰ πασῶν τῶν αἱρέσεων λόγους, ἃ πανάρια λέγονται, καὶ ἕτερα πολλά, ἅτινα παρὰ μὲν τῶν πεπαιδευμένων διὰ τὰ πράγματα, παρὰ δὲ τῶν ἰδιωτῶν διὰ τὰ ῥήματα ἀναγινώσκεται. τελευτᾷ ἐσχατογήρως.

CCLVIII. Ἐπίχαρμος Τιτύρου ἢ Χιμάρου καὶ Σηκίδος, Συρακούσιος ἢ ἐκ πόλεως Κραστοῦ τῶν Σικανῶν, ὃς εὗρε τὴν κωμῳδίαν ἐν Συρακούσαις ἅμα Φόρμῳ. ἐδίδαξε δὲ δράματα νβ', ὡς δὲ Λύκων φησί, λε'. τινὲς δὲ αὐτὸν Κῷον ἀνέγραψαν τῶν μετὰ Κάδμου εἰς Σικελίαν μετοικησάντων, ἄλλοι Σάμιον, ἄλλοι Μεγάρων τῶν ἐν Σικελίᾳ. ἦν δὲ πρὸ τῶν Περσικῶν ἔτη ϛ' διδάσκων ἐν Συρακούσαις· ἐν δὲ Ἀθήναις Εὐέτης καὶ Εὐξενίδης καὶ Μύλλος ἐπεδείκνυντο.

---

enumeravit Eud. p. 261 seq. et cod. Par. 2600 l. c.; de quibus v. Müller IV p. 404

CCLV *Eud.* p. 290. Meineke I p. 481. De Hesychio dubitat *Daub*, de Suid. l. c. 4 ὡς — exit. om. *Eud.* Cf. Athen. XI p. 469, 479, 500

CCLVI *Eud.* p. 287, quae om. παιδεύσας — Ἀθήναις 7 δημαρχικὸν vel δημαρχικοὺς mavult *Kusterus* 8 πολεμαρχικῶν A

CCLVII *Hieronymus-Sophron.* c. 114. Hesychii vitam esse docui Mus. Rhen. XXXV p. 200 10 Σαλαμίνης A Σαλαμῖνος *vulg.* Κύπρου Σαλαμίνης ἐπισκ. *Soph.* 14 περίεστιν ἄχρι τοῦδε καὶ ἐν ἐσχάτῳ γήρᾳ ποικίλα συντάττει συγγράμματα *Soph.*

CCLVIII *Eud.* p. 290 15 Τιτύρρου A Χιμάρου *Bernhardy* χειμάρρου A χειμάρου al. Σηκίδος coni. *Bernhardy* σικίδος libri ἢ Χιμάρου — Σηκίδος om. *Eud.* Cf. Steph. Byz. v. Κραστός 16 Κραστοῦ scripsi cum Steph. Byz. p. 382, 13, quo de loco cf. Rohde, Mus. Rhen. XXXIV p. 569 Κράστου *vulg.* κανῶν pro Σικ. M Ald. *Eud.* 18 ηβ' V μβ' corr. *Bergk.* rell. com. att. p. 149 νβ' *vulg.* δ' Ἑλικώνιος pro δὲ Λύκων coni. *Rohde*, quod improbavit *Daub*, de Suid. p. 470 not. 55 ὡς δὲ Λύκων — exit. om. *Eud.* 20 ἦν δὲ τῶν πρὸ τῶν Π. A 22 Μύλλος corr. *Meineke* I p. 26 Μῦλος A Μύλος *vulg.* Euetem et Euxenidem praeter Suidam neminem commemorasse vidit *Meineke* l. c.

CCLIX. *Ἐρασίστρατος* Ἰουλιήτης ἀπὸ Ἰουλίδος, πόλεως Κέω τῆς νήσου. χρηματίζει οὖν Κήϊος, υἱὸς Κρητοξένης, τῆς Μηδίου τοῦ ἰατροῦ ἀδελφῆς, καὶ Κλεομβρότου. [οὗτος Ἀντίοχον τὸν βασιλέα νοσοῦντα ὑπὸ τοῦ τῆς μητρυιᾶς Στρατονίκης πόθου ἰάσατο, εὑρὼν τὸ πάθος ἐκ τοῦ σχεῖν τὴν χεῖρα ἐπὶ τὴν καρδίαν αὐτοῦ καὶ τὸν παλμὸν συνεικάσαι· ὁσάκις γὰρ ἔβλεπεν ὁ Ἀντίοχος τὴν μητρυιὰν αὐτοῦ τυχὸν διερχομένην, ἐπάλλετο τὴν καρδίαν μάλιστα τῷ ταύτης ἔρωτι.] τέθαπται δὲ πρὸς τῷ ὄρει τῇ Μυκάλῃ, καταντικρὺ Σάμου. ἔγραψεν ἰατρικὰ βιβλία θ'.

CCLX. *Ἐρατοσθένης* Ἀγλαοῦ (οἱ δὲ Ἀμβροσίου) Κυρηναῖος, μαθητὴς φιλοσόφου Ἀρίστωνος ⟨τοῦ⟩ Χίου, γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου καὶ Καλλιμάχου τοῦ ποιητοῦ. μετεπέμφθη δὲ ἐξ Ἀθηνῶν ὑπὸ τοῦ τρίτου Πτολεμαίου, καὶ διέτριψε μέχρι τοῦ πέμπτου, διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίσας βῆτα ἐπεκλήθη· οἱ δὲ καὶ δεύτερον ἢ νέον Πλάτωνα, ἄλλοι πένταθλον ἐκάλεσαν. ἐτέχθη δὲ ρκϛ' ὀλυμπιάδι, καὶ ἐτελεύτησεν π' ἐτῶν γεγονώς, ἀποσχόμενος τροφῆς διὰ τὸ ἀμβλυώττειν, μαθητὴν ἐπίσημον καταλιπὼν Ἀριστοφάνην τὸν Βυζάντιον, οὗ πάλιν Ἀρίσταρχος μαθητής. μαθηταὶ δὲ αὐτοῦ Μνασέας καὶ Μένανδρος καὶ Ἄριστις. ἔγραψε δὲ φιλόσοφα καὶ ποιήματα καὶ ἱστορίας, ἀστρονομίαν ἢ καταστερισμούς, περὶ

CCLIX Errasse constat Steph. Byz v. *Κῶς*, qui hunc Erasistratum Coum fecit, sibi ipsi adversatus v. *Ἰουλίς* 1 *Ἰουλιάδος vulg.* corr. *Menagius*, rec. Westerm. 2 *Κέως* **A** 3 *οὗτος — ἔρωτι* non ab Hesychio perfecta sunt, sed ipsius Suidae sollertia addita ex Plut. Dem. p. 907 vel Appian. de bellis Syr. p. 204 vel Val. Max. V, 7 vel al. Cf. Mus. Rhen. XXXV p. 210 7 *ὁσάκις — ἔρωτι* om. **A**

CCLX *Eud.* p. 300. Cf. Steph. Byz. v. *Κυρήνη*. Tractant Bernhardy, Eratosthen. p. VII seq., Daub, Stud. p. 83 11 *οἱ δὲ Ἀμβροσίου* om. *Eud.* nemo praeter Suidam commemoravit 12 *Κυρηναῖος* om. *Eud.* *οὗτος ἤκουσεν Eud.* *Ἀριστοχίου* **V** *τοῦ Χίου* proposuit *Bernhardy*, *Χίου vulg.* 14 *μετεπέμφθη — Ἄριστις* om. *Eud.* 15 *διέπρεψε Daub* *διὰ — ἐπεκλήθη* descripsit *Pseudo-Hesych.* c. 27 16 *ἐγγίσασι vulg.* *ἐγγίζων Hes.* *ἐγγίσας* corr. *Toupius*, qui et *ἐγγίσαντα* laudavit *βήματα* libri *βῆτα Hes.* 18 *ἐτέχθη — καὶ* om. **V**, quorum loco legit *οὗτος* 19 *ἀποσχισόμενος* **A** 20 *μαθητὴς δὲ* **A** 21 *οὗ πάλιν — Ἄριστις* om. V 22 *Ἄριστις* defendit *Meineke*, ad Theocrit. VII, 100 *Ἀριστοφάνης* inepte flagitat *Bernhardy* 23 *καταστηριγμούς* **A** *Eud. vulg.* *καταστερισμούς Portus*

τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, περὶ ἀλυπίας, διαλόγους πολλοὺς καὶ γραμματικὰ συχνά.

CCLXI. [*Ἐρέννιος* ὁ Φίλων ὁ Βύβλιος, ὁ Ἐρέννιος χρηματίσας, ὡς αὐτός φησιν.]

CCLXII. *Ἔριφος* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Αἴολος, Πελταστής, Μελίβοια, ὥς φησιν Ἀθήναιος ἐν τῷ ιδ' τῶν Δειπνοσοφιστῶν.

CCLXIII. *Ἑρμαγόρας* Ἀμφιπολίτης φιλόσοφος, μαθητὴς Περσαίου. διάλογοι αὐτοῦ μισοκύων ἢ περὶ ἀτυχημάτων, ἔκχυτον (ἔστι δὲ ᾠοσκοπία), περὶ σοφιστείας πρὸς τοὺς ἀκαδημαϊκούς.

CCLXIV. *Ἑρμαγόρας* ⟨ἐκ⟩ Τήμνου τῆς Αἰολίδος, ὁ ἐπικληθεὶς Καρίων, ῥήτωρ. τέχνας ῥητορικὰς ἐν βιβλίοις ϛ', περὶ ἐξεργασίας, περὶ πρέποντος, περὶ φράσεως, περὶ σχημάτων. ἐπαίδευσε δὲ οὗτος μετὰ Κεκιλίου ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Αὐγούστου καὶ τελευτᾷ πόρρω τῆς ἡλικίας.

CCLXV. *Ἑρμείας* φιλόσοφος, Ἀμμωνίου καὶ Ἡλιοδώρου, τῶν διδασκάλων Δαμασκίου, πατήρ. [ἦν δὲ ὁ Ἑρμείας φίλος ἐς τὰ μάλιστα Αἰγύπτῳ ἀδελφῷ Θεοδότης, μητρὸς Ἰσιδώρου φιλοσόφου· ὁ δὲ Αἴγυπτος ἦν φιλομαθής.]

---

1 διαλόγους πλείστους καὶ ἄλλα τινά *Eud.*

CCLXI om. *Westerm.* Certe tota glossa ex vita Philonis deprompta, ubi ad calcem adiuncta erat (ὅτι ὕπατος γέγονεν ὁ Φίλων Ἐρέννιος χρηματίσας, ὡς αὐτός φησιν) 3 Φιλ. ὁ Β. *vulg.* ὁ Φ. ὁ Βίβλιος **AM**

CCLXII *Eud* p. 291. Meineke I p. 420 et Daub, de Suid. p. 483 5 ἐστὶν om. *Eud.* 6 ὡς — exit. om. *Eud.* pro ιδ' corr. δ' *Westerm.* coll. Athen. IV p. 134 et 137, ιε' proposuit *Daub* coll. Athen. XV p. 693. De Meliboea v. Athen. III p. 84, VII p. 302, XV p. 693

CCLXIII *Eud.* p. 302 9 φέρονται αὐτοῦ διάλογοι *Eud.*, quae ἔκχυτον extremo loco laudavit ἢ περὶ *Eud.* scripsit *Westerm.* α' περὶ *vulg.* α' om. **BE**

CCLXIV *Eud.* p. 286. De Temno v. Strabo XIII p. 621 12 ἐκ *T.* corr. *Reinesius* ἐκ om. libri 13 Καρίων. ῥητορικὰ *vulg.* Καρίων. ῥητορικὰς **Ald.** ῥήτωρ. τέχνας ῥητορικὰς e codd. Par. *Kusterus* ἔγραψε μελέτας ῥητορικὰς *Eud.* 14 post πρέποντος add. *Eud.* περὶ κώλων καὶ περιόδων quae verba nil nisi interpretationem libri περὶ σχημάτων continere non persuadet *Daub,* περὶ κώλου καὶ κόμματος καὶ περιόδου scripsit Lachares (cf. v. Λαχάρης) σχημάτων ῥητορικῶν καὶ ἄλλα πολλά *Eud.* ceteris omissis 15 Κεκιλίου **AV** *Westerm.* Καικιλίου *vulg.*

CCLXV Cf. Diels, Dox. p. 259 seq. 18 ἦν δὲ seq. om. **V** itaque ex Damascio accessisse probabile est. Verum vidit *Bernhardy.* φιλόσοφος **BE.** 20 Addidit nonnulla Suidas ex Damascio Phot. p. 341 decerpta

CCLXVI. Ἑ**ρμίας** [ὁ εὐνοῦχος] <φιλόσοφος,> Ἀταρνεύς (χώρα δέ ἐστι Μυσίας τῆς ἐν Ἀσίᾳ τῆς πρὸς τῷ Ἑλλησπόντῳ), ἧς καὶ ἦρχε βασιλέως τοῦ Περσῶν ὑπήκοος, εὐνοῦχος καὶ δοῦλος γενόμενος Εὐβούλου Βιθυνοῦ δυνάστου καὶ φιλοσόφου, ἀσκηθεὶς παιδείαν παρὰ Ἀριστοτέλει. ἔγραψε περὶ ψυχῆς ὅτι ἀθάνατος.

CCLXVII. Ἕ**ρμιππος** Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ἑτερόφθαλμος, ἀδελφὸς δὲ Μυρτίλου τοῦ κωμικοῦ, δράματα διδάξας μ΄.

CCLXVIII. Ἕ**ρμιππος** Βηρύτιος ἀπὸ κώμης μεσογαίου, μαθητὴς Φίλωνος τοῦ Βυβλίου, ὑφ' οὗ ᾠκειώθη Ἐρεννίῳ Σεβήρῳ, ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, ἔκδουλος ὢν γένος, λόγιος σφόδρα. καὶ ἔγραψε πολλά.

CCLXIX. Ἑ**ρμογένης** Ταρσεύς, ὁ ἐπίκλην ξυστήρ, σοφιστής, οὗ διήκουσε καὶ Μουσώνιος ὁ φιλόσοφος. γέγονε δὲ ἐπὶ Μάρκου τοῦ βασιλέως εὐφυέστατος, καὶ τῆς ἡλικίας αὐτοῦ ἐνδεεστέρας ὑπαρχούσης μᾶλλον ἡ φρόνησις ὑπερεῖχεν. ἀλλ' οὐκ εἰς μακρὸν ταύτης ἀπήλαυσε· γενόμενος γὰρ περὶ τὰ κδ΄ ἔτη ἐξέστη τῶν φρενῶν καὶ ἦν ἀλλοῖος αὐτοῦ, μηδεμιᾶς ἀφορμῆς γενομένης ἢ ἀρρωστίας τοῦ σώματος, ὥστε καί τινας ἀποσκώπτειν εἰς τουτονὶ τὸν τρισάθλιον τόδε τὸ λόγιον Ἑρμογένης ὁ ἐν παισὶ γέρων, ἐν δὲ γέρουσι παῖς'. πλὴν περὶ τὸν ιη΄ ἢ κ΄ χρόνον γενόμενος γράφει ταῦτα τὰ βιβλία τα

CCLXVI om. *Westerm.* *Eud.* p. 303. Cf. Diog. V, 1; Athen. XV p. 696 1 Ἑρμείας *Eud.* ὁ εὐνοῦχος om. φιλόσοφος add. *Eud.*, quam secutus sum Ἀταρνείτης mavult *Bernhardy* 2 τῆς ἐν Ἀσίᾳ om. *vulg.* *Eud.* add. **ABVE** τὰ Ἑλλ. **A** 3 ἧς — φιλοσόφου om. *Eud.* 4 δοῦλος: *Wachsmuth*, Symb. p. 131 5 παρ' Ἀριστοτέλους *Eud.* 6 De additamento Suidae egi Mus. Rhen. XXXV l. c. Cf. v. Wilamowitz-M. Anal. Eurip. p. 133 not.

CCLXVII *Eud.* p. 291. Cf. Meineke I p. 494 et quae dixi ad v. Μένιππος 7 καὶ αὐτὸς κωμικός *Eud.* 8 Cf. v. Μυρτίλος 9 φέρεται αὐτοῦ δράματα *Eud.*

CCLXVIII Cf. Wachsmuth, Symb. p. 139 seq. 11 τοῦ Βυβλίου om. **A** spatio relicto 13 De λόγιος cf. v. Διογεν., Πάξαμος al. ἔγραψε καὶ περὶ ὀνείρων **A** in marg. man. I

CCLXIX *Eud.* p. 288, quae vitas Hesychii et Philostrat. Vit. II, 7 commiscuit. Cf. Müller III p. 523, Daub, Stud. p. 45 14 ὁ σοφ. **A** 15 post φιλόσοφος plur. libr. praebent verba καὶ Μάρκος ὁ βασιλεύς, quae om. **A** itaque expunxit *Gaisford* 16 εὐφυέστατος — Συρίας β΄ om. **V** 18 εἰς μακρόν cf. v. Φίλων Βυβ. 19 αὐτοῦ **A**

γέμοντα θαυμάτων· τέχνην ῥητορικήν, ἣν μετὰ χεῖρας ἔχουσιν ἅπαντες, περὶ στάσεων βιβλίον ἕν, περὶ ἰδεῶν λόγου βιβλία β', | περὶ κοίλης Συρίας β' |.

CCLXX. Ἑρμόλαος γραμματικὸς Κωνσταντινουπόλεως, γράψας τὴν ἐπιτομὴν τῶν Ἐθνικῶν Στεφάνου γραμματικοῦ, προσφωνηθεῖσαν Ἰουστινιανῷ τῷ βασιλεῖ.

CCLXXI. Εὐάγγελος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἀνακαλυπτόμενος, ὡς Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς.

CCLXXII. Εὐαγόρας Λίνδιος ἱστορικός. ἔγραψε βίον Τιμαγένους καὶ ἑτέρων λογίων, ζητήσεις κατὰ στοιχεῖον Θουκυδίδου, τέχνην ῥητορικὴν ἐν βιβλίοις ε', τῶν παρὰ Θουκυδίδῃ ζητουμένων κατὰ λέξιν, ἱστορίαν τε περιέχουσαν τὰς Αἰγυπτίων βασιλείας.

CCLXXIII. Εὐάγριος. οὗτος ἔγραψε διάφορα, καὶ ὑπόμνημα εἰς τὰς παροιμίας Σολομῶντος.

---

1 de τέχνῃ cf. v. Μένανδρος Λαοδικεύς et Μητροφάνης σοφιστής; sequentia, quamquam recte se habent, fortasse ab ipso librario addita sunt 3 quae seclusi ad alterum Hermogenem spectant, quem laudat, tanquam scriptorem de rebus Iud., Iosephus c. Apion. I, 23. Nonnulla add. Suidas ex Philostrat. l. c. alteroque fonte descripta. Cf. *Eud.* p. 289 not.

CCLXIX[b] Non absonum fuerit, hic inserere quae titulo Smyrnaeo C. I. Gr. II, 1 n. 3311 de Hermogene Smyrnaeo dicta sunt, quamquam ad Hesychii fontes haec non spectare plane dignoscitur: συνέγραψε δὲ βυβλία ἰατρικὰ μὲν οζ', ἱστορικὰ δὲ περὶ Σμύρνης α' β', περὶ τῆς Ὁμήρου σοφίας α', καὶ πατρίδος α', Ἀσίας κτίσεων α', Εὐρώπης κτίσεων α' β' γ' δ', νήσσων α', Ἀσίας σταδιασμῶν α', καὶ Εὐρώπης α', στρατηγημάτων α' β', πίναξ Ῥωμαίων καὶ Σμυρναίων διαδοχὴ κατὰ χρόνους. De quibus cf. Müller III p. 523

CCLXX *Eud.* p. 293 5 ἔγραψε *Eud.* 6 inde ipsum Stephanum Byzantium ineunte saeculo sexto Ἐθνικά conscripsisse merito conclusit Rohde, Mus. Rhen. XXXIV p. 563 not. 6 τῷ accessit ex **ABVE**

CCLXXI Cf. Meineke I p. 492. De Hesychio dubitat *Daub* 8 Ἀνακαλυπτομένη Athen. XIV p. 644, quod probat *Meineke* rec. *Westerm.* Ἀνακαλυπτόμενος libri

CCLXXII *Eud.* p. 285. Dubiae fidei memoriam eius extare apud Mos. Choren. II, 13 monet *Gutschmid* 9 ἔγραψε — βιβλίοις ε' om. **ABV** expunxit *Gaisford.*, habet etiam *Eud.*, nullam suspicionis causam inesse censet *Gutschmid* 10 λογίων ἀνδρῶν *Eud.* ζητήσεις κατὰ στοιχεῖον Θουκυδίδου miro errore om. *Bekker* non diversum esse a libro infra memorato vidit *Gaisford*; an Θουκυδίδου cum *Eud.* delendum? Θουκ. κατὰ στοιχ. *Daub* 12 ἱστορίαν περὶ τῆς Αἰγυπτίων βασιλείας om. τε *Eud.*

CCLXXIII om. *Westerm.* Cf. Apostol. I, 34 b. Fabricius, bibl. Gr. VII, 434

CCLXXIV. *Εὔβουλος Κήττιος Ἀθηναῖος, υἱὸς Εὐφράνορος, κωμικός. ἐδίδαξε δράματα ρδ', ἦν δὲ κατὰ τὴν ρα' ὀλυμπιάδα, μεθόριος τῆς μέσης κωμῳδίας καὶ τῆς παλαιᾶς.*

CCLXXV. *Εὐγαίων* [ὄνομα κύριον]...

CCLXXVI. *Εὐγένιος Τροφίμου, Αὐγουστοπόλεως τῆς ἐν Φρυγίᾳ, γραμματικός. οὗτος ἐδίδαξεν ἐν Κωνσταντίνου πόλει καὶ ⟨ἐς⟩ τὰ μάλιστα διαφανὴς ἦν, πρεσβύτης ἤδη ὢν ἐπ' Ἀναστασίου βασιλέως. ἔγραψε κωλομετρίαν τῶν μελικῶν Αἰσχύλου, Σοφοκλέους, [καὶ] Εὐριπίδου ἀπὸ δραμάτων ιε', περὶ τοῦ τί τὸ παιωνικὸν παλιμβάκχειον, περὶ τῶν τεμενικῶν, ὅπως προφέρεται, οἷον Διονύσιον, Ἀσκληπιεῖον, παμμιγῆ λέξιν κατὰ στοιχεῖον (ἔχει δὲ καὶ τὰ παράδοξα ἢ περὶ τόνον ἢ πνεῦμα ἢ γραφὴν ἢ μῦθον ἢ παροιμίαν ἑπόμενα αὐτῇ), περὶ τῶν εἰς ια ληγόντων ὀνομάτων (οἷον ἔνδεια ἢ ἐνδία), καὶ πότε διφορεῖται, καὶ ἄλλα τινὰ τρίμετρα ἰαμβικά.*

CCLXXVII. *Εὐδαίμων Πηλουσιώτης γραμματικός, σύγχρονος Λιβανίου τοῦ σοφιστοῦ, πρὸς ὃν καὶ διαφόρως φαίνεται γράφων. οὗτος ἔγραψε ⟨εἰς⟩ ποιήματα διάφορα, τέχνην γραμματικήν, ὀνοματικὴν ὀρθογραφίαν.*

CCLXXVIII. *Εὔδημος ῥήτωρ. ἔγραψε διάφορα, καὶ κατὰ στοιχεῖον περὶ λέξεων, αἷς κέχρηνται ⟨οἱ⟩ ῥήτορές τε καὶ τῶν συγγραφέων οἱ λογιώτατοι, πάνυ ὠφέλιμον.*

CCLXXIX. *Εὔδοξος Αἰσχίνου, Κνίδιος, φιλόσοφος,*

CCLXXIV Cf. Meineke I p. 355 1 *Σφήττιος Menagius* ad Diog. II, 60, quod improbavit *Meineke*; *Εὐφράνονος* **BV** 2 *ρδ'* ex Par. *Kusterus κδ' vulg.*

CCLXXV fortasse ad Eugeonem Samium spectat, de quo v. Müller II p. 16, et Meineke, Anal. p. 61 (cf. *Αἴσωπος*)

CCLXXVI *Eud.* p. 293. Cf. Daub, Stud. p. 108 7 *ἐς* add. *Daub* *ἐπὶ* **A** 8 *ἔγραψε* — exit. om. **BVE** 9 *καὶ* ante *Εὐρ.* om. **AM** *Eud.* *Εὐρ.* **A** 10 sic **A** *παλιμβάκχιον vulg. Eud.* 11 hoc lexicon inter Suidae fontes laudatur 12 primum *ἢ* accessit ex **A** om. rel. 13 *καὶ τὰ ἑπόμενα αὐτοῖς* flagitare sententiam monuit *Bernhardy* 15 post *τινὰ* interpungit *Daub*

CCLXXVII *Eud.* p. 294 17 *διάφορα Kusterus ἀδιαφόρως Toupius διαφόρως γράφει Eud.* mox *οὕτως* **A** 18 *εἰς* add. *Daub* 19 post *ὀνοματικήν* interpunxit **A**. Ceterum *ἐν τῇ ὀρθογραφίᾳ* laudat Etym. M. p. 457, 12

CCLXXVIII *Eud.* p. 289 21 *οἱ* add. *Daub* 22 *πάνυ δὲ ὠφέλιμον τὸ λεξικὸν τοῦτο Eud.* Idem est lexicon, quod inter Suidae fontes enumeratur. Laudavit Suidas v. *εὐγενέστερος Κόδρου*

CCLXXIX *Eud.* p. 393, quae postquam Diog. VIII, 8 descripsit, verba *ἔγραψε* — exit. ex Hesychio desumpsit nec minus *ἐγένοντο δὲ αὐτῷ — Φιλτίς.* Cf. Unters. p. 43. Eadem s. fin. add. *τῷ πατρὶ σχε-*

Πλάτωνος ἡλικιώτης, ᾧ τρεῖς ἐγένοντο θυγατέρες, Ἀκτίς, Δελφίς, Φιλτίς. καὶ ἔσχε πρὸς ἀστρολογίαν ὑπερφυῶς, ἔγραψέ τε πλεῖστα τοῦ εἴδους τούτου, καὶ ὀκταετηρίδα, ἔτι δὲ δι' ἐπῶν ἀστρονομίαν.

CCLXXX. *Εὐθυκλῆς. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἄσωτοι ἢ Ἐπιστολή, ὥς φησιν Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς.*

CCLXXXI. *Εὐκλείδης Μεγαρεύς (Μεγάρων δὲ τῶν ἐν τῷ Ἰσθμῷ), φιλόσοφος, γέγονε δὲ μαθητὴς Σωκράτους,* [ὃς] *καὶ τὴν ἐξ αὐτοῦ κληθεῖσαν Μεγαρικὴν αἵρεσιν εἰσήγαγεν, ἣν δὴ καὶ διαλεκτικὴν καὶ ἐριστικὴν προσηγόρευσαν. μεθ' ὃν Ἰχθύας, εἶτα Στίλπων ἔσχον τὴν σχολήν. συνέγραψε διαλόγους, Ἀλκιβιάδην, Αἰσχίνην, Κρίτωνα, Φοίνικα, Λαμπρίαν, Ἐρωτικὸν καὶ ἄλλα τινά.*

CCLXXXII. *Εὔμολπος Ἐλευσίνιος ἤτοι Ἀθηναῖος, υἱὸς Μουσαίου τοῦ ποιητοῦ, ὡς δέ τινες, μαθητὴς Ὀρφέως, ἐποποιὸς τῶν πρὸ Ὁμήρου. γέγονε δὲ καὶ Πυθιονίκης· πρὸς λύραν γὰρ ἐπεδείκνυντο οἱ ποιηταί. οὗτος ἔγραψε τελετὰς Δήμητρος καὶ τὴν εἰς Κελεὸν ἄφιξιν καὶ τὴν τῶν μυστηρίων παράδοσιν τὴν ταῖς θυγατράσιν αὐτοῦ γενομένην, ἔπη τὰ πάντα τρισχίλια, χειροσκοπικὰ πεζῶς βιβλίον ἕν.*

δὸν παρόμοιοι, quae verba de suo illam addidisse putat *Daub* 1 Cf. Cic. Divin. II, 42

CCLXXX *Eud.* p. 291. Cf. Meineke I p. 269. De vita v. Daub, de Suid. l. c. 6 *ἢ Ἐπιστ.* A duas fabulas distinguere mavult *Daub* *ὡς* — exit. om. *Eud.* (cf. Athen. III p. 124), quae add. *ἔστι δὲ καὶ οὗτος τῆς ἀρχαίας κωμῳδίας* quod ex vita Hermippi translatum esse sine causa idonea suspicatus est *Daub.* Ceterum cf. Suidas v. *βοῦς ἕβδομος* ubi Atalante eiusdem poëtae laudatur

CCLXXXI Cf. Diog. II, 106, 108, 112 9 verba *γέγονε — Σωκράτους* huc transposui, cum post *προσηγόρευσαν* male exhibeant libri. Inde ὃς, quod inseruerunt editores ante *καί*, supervacaneum fieri patet 10 ὃς *καὶ τὴν Bernhardy* ὃς *τὴν Kusterus καὶ τὴν* **ABVE** *vett. edd.* 11 *ἣν δὴ* seq. om. **V** *ἤδη καὶ διαλεκτικὴν — προσαγορευθεῖσαν Bernhardy* (nam *ἣν δὴ — προσαγορευθεῖσαν* **AB**) *Daub*, qui tamen *τὴν καὶ* rec. *προσηγόρευσεν edd. vett.* 13 *Ἀλβιάδην* **A** *Φοίνικα* **BE** ex Diog. II, 108 restituit *Westerm. Φοίνικας vulg.*

CCLXXXII *Eud.* p. 291 15 *ἐποποιός* post *Ἀθηναῖος* habet *Eud.* 16 *ὡς δέ τινες* om. **V** 19 carminum tabulam commenticiam esse vidit Hiller, Mus. Rhen. XXXIII p. 522 seq. *καὶ — ἄφιξιν* ex libris Par. add. *Kusterus*, om. vett. edd. et *Eud.* 20 *ἔπη — τρισχίλια* om. *Eud.* 21 locum ex **A** sanavit *Kusterus*; antea enim legebatur *χειροσκοπικά. πεζὰ δὲ βιβλίον ἕν*; — *χειροσκοπικὰ ἐν δυσὶ βιβλίοις Eud.*

CCLXXXIII. *Εὐοδιανὸς* ὁ ῥήτωρ, Σμυρναῖος τὸ γένος, ἀκουστὴς Ἀριστοκλέους ἐγένετο, οἱ δὲ καὶ Πολέμωνος. ἔγραψε πανηγυρικὰ πλεῖστα ἐν Ῥώμῃ.

CCLXXXIV. *Εὔοδος* Ῥόδιος ἐποποιός, γεγονὼς ἐπὶ Νέρωνος, ὁ θαυμαζόμενος εἰς Ῥωμαϊκὴν ποίησιν. τούτου τὰ βιβλία οὐ φαίνεται.

CCLXXXV. *Εὔπολις* Σωσιπόλιδος Ἀθηναῖος κωμικός, ὃς ιζ' ἔτη γεγονὼς ἤρξατο ἐπιδείκνυσθαι, καὶ ἐδίδαξε ⟨μὲν⟩ δράματα ιζ', ἐνίκησε δὲ ζ'. καὶ ἀπέθανε ναυαγήσας κατὰ τὸν Ἑλλήσποντον ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ· καὶ ἐκ τούτου ἐκωλύθη στρατεύεσθαι ποιητήν. τὰ δὲ δράματα αὐτοῦ Αἶγες, Ἀστράτευτοι ἢ Ἀνδρόγυνοι καὶ ἄλλα.

CCLXXXVI. *Εὐριπίδης* Ἀθηναῖος τραγικός, πρεσβύτερος τοῦ ἐνδόξου γενομένου. ἐδίδαξε δράματα ιβ', εἷλε δὲ νίκας β'.

CCLXXXVII. *Εὐριπίδης* τραγικός, τοῦ προτέρου ἀδελφιδοῦς, ὡς Διονύσιος ἐν τοῖς Χρονικοῖς. ἔγραψε δὲ Ὁμηρι-

---

CCLXXXIII Accessit ex *Eud.* p. 287; suppeditabat Damascius. *Εὐοδιανός, ὄνομα κύριον Suidas.* Cf. Unters. p. 60

CCLXXXIV *Eud.* p. 291. De Euodo dixi Mus. Rhen. XXXVI p. 319 6 *φαίνονται* **E** *φέρεται* coni. *Gaisford*; in marg. **A** legitur *ὢ ὅσα ὁ χρόνος τῷ τῆς λήθης βυθῷ παραδίδωσι, τοῦτο μὲν ἐξ ἀπροσεξίας, τοῦτο δὲ φθόνου βολαῖς ἀϊστωθέντα*

CCLXXXV *Eud.* p. 292. Cf. Meineke I p. 104 seq. 7 *Σωσιπόλιδος* corr. *Meineke* p. 106 not. 53 *ὡς Σωσίπολις* vel *Σωσιπόλεως Kusterus Σωσίπολις* libri et *Eud.* *Σωσῖλις* **V** 8 *οὗτος* **BE'** *Eud.* *καὶ οὗτος vulg.* *ὃς* **A** qui dilucide *ἔτη*, quod fugit editores, *ἐτῶν vulg.* *μὲν* post *ἐδ.* add. **A** 9 *γράμματα* **V** *ιδ'* pro *ιζ'* corr. *Fritzschius*, d. Arist. Daet. p 21; numerum corruptum esse vidit *Kusterus* 10 Cf. Meineke p. 105 not. 50: 'de hac lege, inepta sane, si ita ut Suidas narrat, concepta fuit, qui praeterea tradiderit, scio neminem' 12 *Ἀστράτευτοι* **E** quod rectum esse constat (cf. Meineke p. 116) *Ἀστράτευτος vulg. Eud.*

CCLXXXVI Commentum vanissimum *Bernhardyo*, sed cf. Welcker, Gr. Trag. p. 936

CCLXXXVII 17 de hoc Dionysii (Halicarn. vel Chalcidensis) scripto alii aliud obtinuerunt: Müller IV p. 396; Rohde, Mus. Rhen. XXXIII p. 195 not. 1; Mommsen, Röm. Chron. p. 11; Volkmann, Quaest. nov. p. XVII et n. 27, qui proposuit *Δ. ἐν τοῖς κριτικοῖς* coll. Diog. I, 38 *οὐ μνημονεύει Διον. ἐν κριτικοῖς* (quod tamen *Δ. ὁ κριτικός* corr. *Daub*, de Suid. p. 472 not. coll. Isaei vita ap. *Westerm.* Biogr. p. 261, 5) idem

κὴν ἔκδοσιν, εἰ μὴ ἄρα ἑτέρου ἐστί. δράματα αὐτοῦ ταῦτα· Ὀρέστης, Μήδεια, Πολυξένη.

CCLXXXVIII. Εὐριπίδης Μνησάρχου ἢ Μνησαρχίδου καὶ Κλειτοῦς, οἳ φεύγοντες εἰς Βοιωτίαν μετῴκησαν, εἶτα ἐν τῇ Ἀττικῇ. οὐκ ἀληθὲς δὲ ὡς λαχανόπωλις ἦν ἡ μήτηρ αὐτοῦ· καὶ γὰρ τῶν σφόδρα εὐγενῶν ἐτύγχανεν, ὡς ἀποδείκνυσι Φιλόχορος. [ἐν δὲ τῇ διαβάσει Ξέρξου ἐκυοφορεῖτο ὑπὸ τῆς μητρός, καὶ ἐτέχθη καθ' ἣν ἡμέραν Ἕλληνες ἐτρέψαντο τοὺς Πέρσας. γέγονε δὲ τὰ πρῶτα ζωγράφος, εἶτα μαθητὴς Προδίκου μὲν ἐν τοῖς ῥητορικοῖς, Σωκράτους δὲ ἐν τοῖς ἠθικοῖς καὶ φιλοσόφοις. διήκουσε δὲ καὶ Ἀναξαγόρου τοῦ Κλαζομενίου. ἐπὶ τραγῳδίαν δὲ ἐτράπη τὸν Ἀναξαγόραν ἰδὼν ὑποστάντα κινδύνους δι' ἅπερ εἰσῆξε δόγματα. σκυθρωπὸς δὲ ἦν τὸ ἦθος καὶ ἀμειδὴς καὶ φεύγων τὰς συνουσίας, ὅθεν καὶ μισογύνης ἐδοξάσθη. ἔγημε δὲ ὅμως πρώτην μὲν Χοιρίνην θυγατέρα Μνησιλόχου, ἐξ ἧς ἔσχε Μνησίλοχον καὶ Μνησαρχίδην καὶ Εὐριπίδην, ἀπωσάμενος δὲ ταύτην ἔσχε καὶ δευτέραν, καὶ ταύτης ὁμοίως ἀκολάστου πειραθείς. ἀπάρας δὲ ἀπ' Ἀθηνῶν ἦλθε πρὸς Ἀρχέλαον τὸν βασιλέα τῶν Μακεδόνων, παρ' ᾧ διῆγε τῆς ἄκρας ἀπολαύων τιμῆς. ἐτελεύτησε δὲ ὑπὸ ἐπιβουλῆς Ἀρριβαίου τοῦ Μακεδόνος καὶ Κρατεύα τοῦ Θετταλοῦ, ποιητῶν ὄντων καὶ φθονησάντων αὐτῷ, πεισάντων τε τὸν βασιλέως οἰκέτην τοὔνομα Λυσίμαχον, ι' μνῶν ἀγορασθέντα, τοὺς βασιλέως οὓς αὐτὸς ἔτρεφε κύνας

---

nostro loco Διον. (i. e. musicae historiae auctor) ⟨καὶ Ἐρατοσθένης⟩ ἐν τοῖς χρονικοῖς tentavit; librorum lectionem tenendam esse puto

CCLXXXVIII Descripsit etiam Manuel Moschopulus. De hac vita disputavi Mus. Rhen. XXXV p. 210, quo loco verba ἐν δὲ τῇ διαβάσει — τὸν βασιλέα (vel τοῦ Ἀρεθουσίου) ab Hesychio aliena duxi. Priorem narrationem praestat etiam *Pseudo-Hesych.* c. 28 paulo mutato ordine verborum 6 Siebelis, Philoch. fr. p. 87, Müller I p. 412 ὡς Φιλόχ. ἀποδείκνυσιν *Mosch.* 8 ἐτέχθη δὲ *Mos.* ἐτέθη **V** 9 ἐγένετο *Mos.* 10 μὲν om. *Mos.* 13 κίνδυνον *Mos.* σκυθρωπός τε **V** 14 ἦν τὸ ἦθος *Mos.* τὸ ἦθος om. **BVEM** 15 μισόγυνις **BVE** πρῶτον *vulg.* πρώτην **ABVE** 18 πειρασθεὶς **V** μεταναστὰς δὲ ἀπ' *Mos.* 19 τὸν om. *Mos.* ubi add. *Westerm.* τῶν om. **V** 20 διῆγεν ἄκρας *Mos.* 21 ἐξ ἐπιβ. *Mos.* Ἀρριβαίου **ABV** *Mos. Westerm.* Ἀρριδαίου *vulg.* (quia Ἀρριδαῖος, filius Philippi, occurrit Plut. Alex. 10) 23 καὶ πεισάντων *Mos.* φθονευσάντων, ut videtur, **A**; totum locum ex **A** restituit *Kusterus* πεισάντων τε τὸν βασιλέως οἰκέτην κύνας ἐπαφεῖναι *vulg.* τοὔνομα — βασιλέως solus add. **A**, ὄνομα *Westerm.* 24 κύνας in lacuna om. **V**

ἐπαφεῖναι αὐτῷ. οἱ δὲ ἱστόρησαν οὐχ ὑπὸ κυνῶν, ἀλλ' ὑπὸ γυναικῶν νύκτωρ διασπασθῆναι, πορευόμενον ἀωρὶ πρὸς Κρατερὸν τὸν ἐρώμενον Ἀρχελάου· καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας. οἱ δὲ πρὸς τὴν γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου. ἔτη δὲ βιῶναί ⟨φασιν⟩ αὐτὸν οε', καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ μετακομίσαι τὸν βασιλέα] δράματα δὲ αὐτοῦ κατὰ μέν τινας οε', κατὰ δὲ ἄλλους ϙβ', σώζονται δὲ οζ'. νίκας δὲ ἀνείλετο ε', τὰς μὲν δ' περιών, τὴν δὲ μίαν μετὰ τὴν τελευτήν, ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ αὐτοῦ Εὐριπίδου. ἐπεδείξατο δὲ ὅλους ἐνιαυτοὺς μβ'. καὶ τελευτᾷ ἐπὶ τῆς ϙγ' ὀλυμπιάδος.

CCLXXXIX. *Εὐσέβιος* Ἀράβιος σοφιστής, ἀντισοφιστεύσας καὶ αὐτὸς Οὐλπιανῷ.

CCXC. [*Εὐσέβιος* ὁ Παμφίλου, προσκείμενος τῇ Ἀρειανικῇ αἱρέσει, ἐπίσκοπος Καισαρείας τῆς Παλαιστίνης, σπουδαῖος ἐν ταῖς θείαις γραφαῖς, καὶ τῆς θείας βιβλιοθήκης ἅμα Παμφίλῳ τῷ μάρτυρι ἐπιμελέστατος ἀνιχνευτής. ἐξέδωκε πολλὰ τεύχη, ὧν εἰσι τάδε· εὐαγγελικῆς ἀποδείξεως λόγοι κ', εὐαγγελικῆς προπαρασκευῆς λόγοι ιε', θεοφανείας λόγοι ε', ἐκκλησιαστικῆς ἱστορίας λόγοι ι', χρονικῶν κανόνων παντοδαπῆς ἱστορίας, καὶ τούτων ἐπιτομή. καὶ περὶ τῆς τῶν εὐαγγελίων διαφωνίας, εἰς τὸν προφήτην Ἡσαΐαν λόγοι ι', κατὰ Πορφυρίου τοῦ τότε συγγράφοντος ἐν Σικελίᾳ, ὥς τινες οἴονται, λόγοι λ', τοπικῶν λόγος α', ἀπολογίας ὑπὲρ Ὠριγένους λόγοι ϛ', περὶ τοῦ βίου Παμφίλου λόγοι γ', περὶ μαρτύρων ἕτερα συγγράμματα, καὶ εἰς τοὺς ρν' ψαλμοὺς δεδοκιμασμένα

---

1 τῷ *Εὐριπίδῃ* pro *αὐτῷ Mos.* ἕτεροι *Mos.* ἱστορήσαντες **V** 4 Νικοδίκου **AVE** *Νικοδήμου* vel *Νικοδημοῦ vulg.* 5 βεβιωκέναι φασίν *Mos.* βιῶναι om. φασιν *Suid.* φασιν inserui (cf. v. *Δαφίδας*) ρε' pro οε' Dobraeus Advers. 2 p. 125 καὶ τὰ ὀστᾶ — οε' om. **A** 7 σώζονται δὲ οζ' om. **V** 9 ἐπιδειξαμένου — μβ' om. *Mos.* 10 ἀδελφιδοῦς omissis *αὐτοῦ Εὐρ.* **V** 11 κβ' **AV** κϛ' rel. μϛ' *Hartung.* Eur. restit. 1 p. 4 μβ' *Bernhardy Westerm.* καὶ τελεύτα **A** τελευτᾷ δ' *Mos.* ἀπέθανε ἐπὶ plur. *Suidae* libri

CCLXXXIX *Eud.* p. 289. Cf. Daub, de Suid. p. 407 12 ὃς ἀντεσοφίστευσεν *Οὐλπ. Eud.* 13 *Οὐαπιανῷ* **E**

CCXC fluxit ex *Hieron.-Sophron.* c. 81 14 *Ἀριανικῇ* **A** ἀφ' ὧν εἰς ἐμὲ λόγοι εἴκοσι μόνον περιῆλθον post *Παλ.* add. *Soph.* 22 τὸν προφήτην om. *Soph.* 25 τοῦ *Π. vulg.* τοῦ om. **ABE**

ὑπομνήματα, καὶ ἕτερα πολλά. ἤνθησε μάλιστα ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως καὶ Κωνσταντίου, καὶ διὰ τὴν φιλίαν τὴν πρὸς Πάμφιλον τὸν μάρτυρα τῆς ἐπωνυμίας αὐτοῦ ἠξιώθη.]

CCXCI. *Εὐστάθιος* Ἐπιφανεύς. χρονικὴν ἐπιτομὴν τῶν ἀπὸ Αἰνείου μέχρις Ἀναστασίου βασιλέως ἐν τόμοις θ' καὶ ἄλλα τινά.

CCXCII. *Εὐστέφιος* Ἀφροδισιεὺς σοφιστὴς ... ἐπιφανίων τῶν ἐν Ἀδρόττοις τῷ εὐκτηρίῳ, ὃ κεῖται ἐν Λυδίᾳ. ἔγραψε μελέτας.

CCXCIII. *Εὐστόχιος* Καππαδόκης σοφιστής. ἔγραψε τὰ κατὰ Κώνσταντα τὸν βασιλέα καὶ ἀρχαιολογίαν Καππαδοκίας καὶ λοιπῶν ἐθνῶν.

CCXCIV. [*Εὔσχημος* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἐμπολή, ὡς Ἀθήναιος λέγει.]

CCXCV. *Εὐτρόπιος* Ἰταλὸς σοφιστής. τὴν Ῥωμαϊκὴν ἱστορίαν ἐπιτομικῶς τῇ Ἰταλῶν φωνῇ. ἔγραψε καὶ ἄλλα.

CCXCVI. *Εὐφορίων* υἱὸς Αἰσχύλου τοῦ τραγικοῦ, Ἀθη-

---

1 ἤνθισε A 3 τὸν om. AB

CCXCI *Eud.* p. 286. Cf. Müller IV p. 138. 5 συνήθροισε χρονικὴν ἐπιτομὴν ὡραιοτάτην τῶν ἀπὸ — *Eud.*, qua de forma v. Daub, de Viol. p. 8 6 τοῦ Τρωός add. *Eud.* μέχρι A ἐν om. V ἐν τόμοις β' coni. *Kusterus* propter Euagrii hist. Eccl. V, 24, quo quidem loco (ἐν δύο τεύχεσιν) nil probari recte perspexit *Bernhardy* ἐν τόμοις εἴκοσι rectius, ut videtur, *Eud.*, quae pergit καὶ ἄλλα τινὰ χρονικὰ συνεγράψατο. Huic vitae Suidas adscripsit glossam repetitam ex Βασίλειος Ἀγκυρανός, ubi compilavit *Sophron.* c. 89

CCXCII om. *Westerm.* *Eud.* p. 289. Cf. v. Λαχάρης 9 ἐναδρόττοις A locum mendosum sanare tentavit *Berkel*, coni. σοφιστὴς ἐπιφανῶν τῶν ἐν Ἀδρόττοις οἰκητόρων, ἃ κεῖται, Eustephium edidisse laudationem ἐπιφανειῶν τῶν ἐν Ἀδρόττοις putabat *Bernhardy*, quod eo minus probabile videtur, quod infra demum legitur ἔγραψε seq., ὁ γράψας περὶ supplet *Daub*. Satius est lacunae signum ponere τῷ εὐκτ. AE τῶν εὐκτηρίων vulg. *Eud.* 10 ἔγραψε λόγους πανηγυρικοὺς καὶ μελ. *Eud.*

CCXCIII *Eud.* p. 289. Tractat Müller IV p. 3 12 archaeologiam fortasse laudat Steph. Byz. v. Παντικάπαιον 13 λοιπῶν suspect. *Westerm.*

CCXCIV Vitam Euschemi Suidae deberi verisimile decepto libris deterioribus Athen. XIII p. 571, ubi de poëta Ephippo agitur. Correxit Casaubonus ad Athen. VIII p. 363

CCXCV om. *Westerm.* Tractavi Mus. Rhen. XXXVI l. c. 17 ἐπιτίμως vett. edd. ex Par. corr. *Kusterus* ἔγραψε καὶ ἄλλα A post ἔγρ. interpunxerunt edd. καὶ ἄλλα om. V, cf. quae dixit Teuffel, Lit. R.[3] § 415, 3 coll. Priscian. I, 8

CCXCVI *Eud.* p. 292. Welcker, Gr. Trag. p. 967 18 Ἀθ. om. *Eud.*

ναῖος, τραγικὸς καὶ αὐτός, ὃς καὶ τοῖς Αἰσχύλου τοῦ πατρός, οἷς μήπω ἦν ἐπιδειξάμενος, τετράκις ἐνίκησεν. ἔγραψε δὲ καὶ οἰκεῖα.

CCXCVII. *Εὐφορίων Πολυμνήστου, Χαλκιδεὺς ἀπὸ Εὐβοίας, μαθητὴς ἐν τοῖς φιλοσόφοις Λακύδου καὶ Πρυτάνιδος καὶ ἐν τοῖς ποιητικοῖς Ἀρχεβούλου τοῦ Θηραίου ποιητοῦ, οὗ καὶ ἐρώμενος λέγεται γενέσθαι. ἐγεννήθη δὲ ἐν τῇ ρκϛʹ ὀλυμπιάδι, ὅτε καὶ Πύρρος ἡττήθη ὑπὸ Ῥωμαίων, καὶ ἐγένετο τὴν ἰδέαν μελίχρους, πολύσαρκος, κακοσκελής. τῆς Ἀλεξάνδρου τοῦ βασιλεύσαντος Εὐβοίας, υἱοῦ δὲ Κρατεροῦ, γυναικὸς Νικαίας στερξάσης αὐτόν, εὔπορος σφόδρα γεγονὼς ἦλθε πρὸς Ἀντίοχον τὸν μέγαν ἐν Συρίᾳ βασιλεύοντα, καὶ προέστη ὑπ' αὐτοῦ τῆς ἐκεῖσε δημοσίας βιβλιοθήκης. καὶ τελευτήσας ἐκεῖ⟨σε⟩ τέθαπται ἐν Ἀπαμείᾳ, ὡς δέ τινες ἐν Ἀντιοχείᾳ. βιβλία δὲ αὐτοῦ ἐπικὰ ταῦτα· Ἡσίοδος, Μοψοπία ἢ Ἄτακτα (ἔχει γὰρ συμμιγεῖς ἱστορίας, Μοψοπία δὲ ὅτι ἡ Ἀττικὴ τὸ πρὶν Μοψοπία ἐκαλεῖτο ἀπὸ τῆς Ὠκεανοῦ θυγατρὸς Μοψοπίας, καὶ ὁ λόγος τοῦ ποιήματος ἀποτείνεται εἰς τὴν Ἀττικὴν) χιλιάδες (ἔχει δὲ ὑπόθεσιν εἰς τοὺς ἀποστερήσαντας αὐτὸν χρήματα ἃ παρέθετο [ὡς δίκην δοῖεν κἂν εἰς μακράν,] εἶτα συνάγει διὰ χιλίων ἐπῶν χρησμοὺς ἀποτελεσθέντας), εἰσὶ δὲ βιβλία εʹ. ἐπιγράφεται δὲ ἡ πέμπτη χιλιὰς περὶ χρησμῶν [ὡς διὰ χιλίων ἐπῶν ἀποτελοῦνται].*

---

1 *καὶ αὐτὸς τραγικὸς Eud.* reliquis omissis 2 *οὔπω Daub* CCXCVII *Eud.* p. 292, quae om. *Πολυμνήστου, μαθ. — Ἀντιοχείᾳ* pergens: *φέρεται αὐτοῦ συγγράμματα ἐπικὰ Ἡσίοδος, Μοψοπία, Ἀττικὴ χιλιάς, περὶ χρησμῶν* rel. omissis. Cf. Meineke, Anal. p. 5 seq. 4 *Πολυμνήτου* edd. vett. ex Par. corr. *Kusterus* 6 *καὶ* add. **AV** *θυραίου* **BM** om. **E** *Θηβαίου* praetulit *Bernhardy* coll. Hephaest. p. 49 7 *τούτου δὲ καὶ ἐρ.* **A** 8 *ρκʹ* A 9 *κακοσχελής* **A** 11 *Νικαίας* corr. *Bernhardy* *Νικίας* libri• 13 *ἐκεῖσε* **AV** *ἐκεῖ vulg.* 15 *Ἀντιοχείᾳ* **E** *Ἀντιοχίᾳ vulg.* de tabula carminum v. Schneider, Callim. II p. 32, Daub, de Suid. p. 414. *Ἡσίοδος* suspectum erat *Bernhardyo*, sed cf. Bergk, Anal. Alex. (Marb. 1846) p. 19, Nietzsche, Mus. Rhen. XXV p. 538, XXVIII p. 236 19 *τὸν Ἀντίοχον* pro *τὴν Ἀττ.* coni. *Ruhnken.* *χιλιάδες* interpunctione a praecedentibus distinxit Toup. Eum. II p. 602 *ἀττικὴν χιλιάδες* pars libr., *ἀττικὴν χιλιάδι εʹ* **V** *ἀττικὴν χιλιάδα* rel. *Ἀττικὴ χιλιάς, πέμπτη χιλιάς Eud.* 20 *ὡς — μακράν* om. **BVE** uncis seclusit *Bernhardy* *μακρὸν Daub* 21 *ἐπῶν* pro *ἐτῶν* corr. *Heyne*, cf. Niebuhr, ad Strabon. III p. 139 22 *ἐπιγράφεται* — exit. incluserunt *Bernhardy*, *Westerm.* om. *Bekker* 23 *περὶ* — exit. **A** in marg. man. I *δισχιλίων* **A** *ὡς* — exit. seclusit *Daub*

CCXCVIII. *Εὔφρων κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Αἴσχρα, Μοῦσαι, Συνέφηβοι, Θεωροί, ὡς Ἀθήναιος γράφει ἐν τοῖς Δειπνοσοφισταῖς.*

CCXCIX. *Ἔφιππος Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας.*

CCC. *Ἔφορος Κυμαῖος, υἱὸς Δημοφίλου, οἱ δὲ Ἀντιόχου, Ἰσοκράτους ἀκουστὴς τοῦ ῥήτορος, ἱστορικός· ἔσχε δὲ υἱὸν Δημόφιλον τὸν ἱστορικόν. ἦν δὲ ἐπὶ τῆς ϙγʹ. ὀλυμπιάδος, ὡς καὶ πρὸ τῆς Φιλίππου βασιλείας εἶναι τοῦ Μακεδόνος. ἔγραψε ⟨τὰ⟩ ἀπὸ τῆς Ἰλίου πορθήσεως καὶ τῶν Τρωικῶν μέχρι τῶν αὐτοῦ χρόνων βιβλία λʹ, περὶ ἀγαθῶν καὶ κακῶν βιβλία κδʹ, παραδόξων τῶν ἑκασταχοῦ βιβλία ιεʹ, εὑρημάτων ὧν ἕκαστος εὗρε βιβλία βʹ, καὶ ⟨τὰ⟩ λοιπά.*

CCCI. *Ἔφορος Κυμαῖος ἱστορικός, ὁ νεώτερος. ἔγραψε τὰς Γαληνοῦ ἱστορίας ἐν βιβλίοις κζʹ, | Κορινθιακά, περὶ τῶν Ἀλευαδῶν καὶ ἄλλα.* |

CCCII. *Ζηνόβιος σοφιστής, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ Καίσαρος. ἔγραψεν ἐπιτομὴν τῶν παροιμιῶν Διδύ-*

CCXCVIII *Eud.* p. 292. De vita cf. Meineke I p. 477, Daub, de Suid. p. 484   1 *Εὔφρος* **AB** vett. edd. (praeter **Ald.**) *Εὔφορος* **V**   *κωμ. Ἀθηναῖος Eud.* infra *ἐστιν* om. *Eud.*   2 *Αἴσχρα* corr. *Meineke Αἰσχρά* libri *Θεωρός Eud.* (sed in meo apparatu non inveni), quod improbavit *Meineke ὡς* — exit. om. *Eud.* Ceterum cf. Athen. VIII p. 307 et 343, IX p. 377 et 399

CCXCIX De Ephippo docte disputavit Meineke I p. 351 seq. Ceterum cf. ad v. *Εὐσχημος*

CCC *Eud.* p. 285. Cf. Steph. Byz. v. *Κύμη*. Tractant Marx, Eph. fr. p. 3 seq. Müller I p. LVII seq.   6 *Ἔφορος* corr. *Kusterus Ἔφιππος* miro errore (nisi forte duo auctores confusi sunt), libri *Suid.* et *Eud.*, nomen ex glossa antecedenti iteratum putavit Voss. hist. Gr. p. 68 West.   9 *ὡς γὰρ* **V**, qui mox om. *εἶναι*   10 *τὰ ἀπὸ τ. Ἰλ.* coni. *Daub*, qui mox coni. *ἢ τῶν Τρ.* et infra *τὰ λοιπά*   11 *αὐτοῦ* **A**   *περὶ ἀγ.* — *βιβλία ιεʹ* in dubitationem vocavit *Marx* p. 32 (cf. Müller p. LXI, Westerm. Parad. p. X, XXX, LII), quem impugnat *Daub*, qui locum extremorum duorum librorum mutari vult, de excerptis talis generis ex Ephori historiis cogitat *Marx*, quod probat *Gutschmid*   12 *εὑρημάτων* una *Eud.* *εὑρεμάτων* **ABEVM** Ald.   13 *καὶ ἄλλα vulg.* *λοιπά* **ABVE** om. *Eud.*

CCCI *Eud.* p. 286. Cf. Müller III p. 664. Vitam commenticiam esse putant Marx p. 7; Meineke, An. p. 27; Daub, de Suid. p. 472   15 *Γαλιηνοῦ* **M** corr. *Kusterus*, quod nescio an deterius sit, *Γαλήνου Eud.*, *Γαληνοῦ* libri *Suid.*, praefert *Gutschmid*, qui de fabula erotica cogitat; idem quae sequuntur cum Müllero Euphorioni vindicavit (*Κορινθιακά* non div. a *περὶ Ἰσθμίων*)   16 *καὶ ἄλλα* **ABVE** *Eud.* *καὶ ἄλλα τινά vulg.*

CCCII *Eud.* p. 321   1 *βιβλία γʹ* **V**   *ἑλληνικῶς vulg.* *Ἑλληνικῶν* **V**

μου καὶ Ταρραίου ἐν βιβλίοις γ', μετάφρασιν Ἑλληνικῶς τῶν ἱστοριῶν Σαλουστίου τοῦ Ῥωμαϊκοῦ ἱστορικοῦ καὶ τῶν καλουμένων αὐτοῦ Βέλλων, γενεθλιακὸν εἰς Ἀδριανὸν Καίσαρα, καὶ ἄλλα.

CCCIII. *Ζηνόδοτος Ἐφέσιος, ἐποποιὸς καὶ γραμματικός, μαθητὴς τοῦ Φιλητᾶ, ἐπὶ Πτολεμαίου γεγονὼς τοῦ πρώτου, ὃς καὶ πρῶτος τῶν Ὁμήρου διορθωτὴς ἐγένετο καὶ τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν προύστη καὶ τοὺς παῖδας Πτολεμαίου ἐπαίδευσεν.*

CCCIV. *Ζηνόδοτος Ἀλεξανδρεὺς γραμματικός, ὁ ἐν ἄστει κληθείς. πρὸς τὰ ὑπ' Ἀριστάρχου ἀθετούμενα τοῦ ποιητοῦ* [*ἔγραψε*], *πρὸς Πλάτωνα περὶ θεῶν, περὶ τῆς Ὁμηρικῆς συνηθείας, λύσεις Ὁμηρικῶν ἀπορημάτων, εἰς τὴν Ἡσιόδου θεογονίαν καὶ ἄλλα συχνά.*

CCCV. *Ζήνων Τελευταγόρου Ἐλεάτης, φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόρᾳ καὶ Δημοκρίτῳ κατὰ τοὺς χρόνους (ἦν γὰρ ἐπὶ τῆς οη' ὀλυμπιάδος), μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου. ἔγραψεν ἔριδας, ἐξήγησιν τῶν Ἐμπεδοκλέους, πρὸς τοὺς φιλοσόφους περὶ φύσεως.* [*τοῦτόν φασιν εὑρετὴν*

ἑλληνιστί Eud. Bekker. De hac metaphrasi cf. Teuffel, Lit. R. § 205, 7 3 *βελῶν* libri *βέλλων* corr. Anon. apud Voss. hist. Graec. p. 262 West., laudavit *Reinesius* et *Daub*, Stud. p. 47

CCCIII *Eud.* p. 322. Cf. Daub, Stud. p. 80 seq. 6 *Φιλητοῦ Eud.*, quae pergit *ἔγραψε περὶ αὐθυποτάκτων καὶ ἀνυποτάκτων* rel. omissis, quae scripta inter subditicia Herodiani redeuntia (Lentz, Herodian. I p. XV) temeritati lectoris alicuius deberi putat *Daub*, aliunde illata esse *Pulch* p. 85 aut *δευτέρου* corr. videtur aut *γεγονότος* legendum, sed cf. Rohde, Mus. Rhen. XXXIII p. 173, qui nil corrigendum esse docuit coll. v. *Φιλητᾶς Κῶος*; *τοῦ πρώτου* om. *Eud.* 7 *τῶν* delevit *Bernhardy*

CCCIV *Eud.* p. 322. Cf. *Zonar.* p. 956 12 *ἔγραψε.* transposuit *Bekker,* ante *ἔγραψε* interpunxit **A**, *ὃς* post *κληθείς* add. *Daub,* verbum removi 13 *ἀπορρημάτων* **A** *Eud.* 14 *ἄλλα πολλά vulg. Eud.* *συχνά* **ABV** *τινα* **E**

CCCV *Eud.* p. 323. Schol. Platon. VI p. 279 Herm. quod describere libet: *Ζήνων ὁ Ἐλεάτης, Παρμενίδου μαθητής, φυσικὸς φιλόσοφος καὶ πολιτικὸς ὡς ἀληθῶς· διὸ καὶ πρὸς Περικλέα παραβάλλεται φαινομένως ὄντα πολιτικόν* (de Pericle cf. v. *Μέλισσος*). *τούτου Πυθόδωρος ἀκροατής, ὃς καὶ ἐν Παρμενίδῃ μνήμης ἠξίωται ὡς Ἀντιφῶντι τῆς συνουσίας ἐκείνης μεταδούς, παρ' οὗ Κέφαλος ὁ Κλαζομένιος μαθὼν διδάσκαλος γέγονε,* quode cf. Mettauer p. 59, qui de Hesychio dubitavit 17 *οθ'* ex Diog. IX, 29 corrigendum esse pro *οη'* censuit *Reinesius*; post eum *Diels*, Mus. Rhen. XXXI p. 35: cf. Rohde, ib. XXXIII p. 205 not. 18 Cf. Stallbaum, Proleg. in Parm. p. 28 19 seq. ab Hesychio aliena esse suspicor

εἶναι τῆς διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς. καθελεῖν δὲ θελήσας Νέαρχον (οἱ δὲ Διομέδοντα) τὸν Ἐλέας τύραννον ἑάλω, καὶ ἐρωτώμενος ὑπ' αὐτοῦ τὴν γλῶτταν αὑτοῦ ἐνδακὼν καὶ ἀποτεμὼν προσέπτυσε τῷ τυράννῳ, καὶ ἐν ὅλμῳ βληθεὶς συνετρίβη πτισσόμενος. διαφέρει δὲ Ἐλεάτης καὶ Ἐλαΐτης.]

CCCVI. *Ζήνων Μουσαίου Σιδώνιος*, φιλόσοφος Στωικός, μαθητὴς Διοδώρου τοῦ κληθέντος Κρόνου, διδάσκαλος δὲ καὶ αὐτὸς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν ἀπολογίαν ὑπὲρ Σωκράτους καὶ Σιδωνιακά.

CCCVII. *Ζήνων Μνασέου ἢ Δημέου*, Κιτιεύς (πόλις δέ ἐστι Κύπρου τὸ Κίτιον), φιλόσοφος, ὃς ἦρξε τῆς Στωικῆς αἱρέσεως. ἐπεκλήθη δὲ καὶ πρῶτος Στωικὸς διὰ τὸ ἐν τῇ στοᾷ τῇ ἐν Ἀθήναις διδάξαι αὐτόν, ἥτις πρώην μὲν Πεισιανάκτειος, ὕστερον δὲ ζωγραφηθεῖσα ποικίλη ἐκλήθη. μαθητὴς δὲ ἦν Κράτητος τοῦ κυνικοῦ, εἶτα Πολέμωνος τοῦ Ἀθηναίου. ἐτελεύτησε δὲ ἐτῶν ϙ, ἀφελὼν ἑκάστοτε τῆς τροφῆς, ἕως ἀτονίᾳ διεφθάρη. [ἐχρήσθη δὲ αὐτῷ πυνθανομένῳ περὶ βίου συγχρωτίζεσθαι τοῖς νεκροῖς, ὅπερ ἦν τοῖς ἀρχαίοις διὰ τῶν βιβλίων.] Φοῖνιξ δ' ἐπεκλήθη, ὅτι Φοίνικες ἔποικοι τοῦ πολιχνίου ἐγένοντο. ἤκμαζεν ἐπὶ Ἀντιγόνου τοῦ Γονατᾶ, ἐπὶ τῆς ρκε' ὀλυμπιάδος. [καὶ παροιμία 'Ζήνωνος ἐγκρατέστερος'· οὗτος γὰρ ἄκραν εἶχε δίαιταν καὶ λιτήν, ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι. 'φιλοσοφίαν καινὴν γὰρ οὗτος ἐφιλοσόφει'· τῷ γὰρ ὄντι πάντας ὑπερεβάλετο τῷ τε εἴδει καὶ σεμνότητι καὶ νὴ Δία μακαριότητι. κατέστρεψε δὲ τὸν βίον ἄνοσος καὶ ὑγιὴς διατελέσας.]

---

1 καθὰ καὶ Ἀριστοτέλης ἐν τῷ Σοφιστῇ post ῥητορικῆς add. *Eud.* eadem leguntur Diog. IX, 5; cf. Daub, de Viol. p. 8 3 αὐτοῦ **A** 5 συνετρίβη **ABVEM Ald.** *Eud.* συνετρίφθη antea legebatur

CCCVI *Eud.* p. 324. Cf. Müller III p. 174 6 Ἐριστικὸς coni. *Menagius* 8 δὲ — αὐτός om. *Eud.* καὶ αὐτοῦ *Volkmann* Κιτέως **A**

CCCVII *Eud.* p. 324, quae om. Μνασ. ἢ Δημ. omniaque, quae post Στωικὸς leguntur, Δημέου **BVE** Δημαίου **A** Δημίου *vulg.* 12 καὶ πρῶτος Στωικὸς corr. *Volkmann*, Quaest. nov. p. VI not. 2 καὶ αὐτὸς στ. libri 13 αὐτὸν ex codd. corr. *Kusterus*, antea legebatur αὐτούς; πρώην **A** πρῶτον rel. 15 Πολέμωνος *Bernhardy* Πολέμονος libri 16 ϙη' ex Diog. VII, 28 corr. *Kusterus* 17 ἐχρήσθη — βιβλίων additum ex glossa συγχρωτίζεσθαι et καὶ παροιμία — exit. partim ex Diog. VII, 28 docui Mus. Rhen. XXXV p. 211 21 ρκε' dedit *Gaisford* cum Clinton. (p. 171 Kr.) κ' καὶ ρ' *vulg.* ρ' καὶ ε' **V** λ' καὶ ρ' praefert *Reinesius*. De proverbio v. Prov. 2, 98a p. 414 Corp. Par.

CCCVIII. *Ζήνων Διοσκορίδου Ταρσεύς, ὡς δέ τινες Σιδώνιος, φιλόσοφος, μαθητὴς Χρυσίππου τοῦ Ταρσέως, φιλοσόφου Στωικοῦ, καὶ διάδοχος.*

CCCIX. *Ζήνων* [*Κιτιεύς*]. *εἰ δὲ ῥήτωρ τις ἦν ἢ φιλόσοφος, ἄδηλον. ἔγραψε περὶ στάσεων, περὶ σχημάτων, ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Λυσίαν, εἰς Δημοσθένην, περὶ ἐπιχειρημάτων.*

CCCX. *Ζωίλος Ἀμφιπολίτης (πόλις δ' ἐστὶ Μακεδονίας Ἀμφίπολις, ἥτις πρότερον ἐκαλεῖτο Ἐννέα ὁδοί), ὃς ἐπεκλήθη Ὁμηρομάστιξ, ὅτι ἐπέσκωπτεν Ὅμηρον· διὸ αὐτὸν διώξαντες οἱ ἐν τῇ Ὀλυμπίᾳ κατὰ τῶν Σκιρωνίδων πετρῶν ἔρριψαν. ῥήτωρ δὲ ἦν καὶ φιλόσοφος. ἔγραψε μέντοι τινὰ καὶ γραμματικά, κατὰ τῆς Ὁμήρου ποιήσεως λόγους θ', ἱστορίαν ἀπὸ θεογονίας ἕως τῆς Φιλίππου τελευτῆς βιβλία γ', περὶ Ἀμφιπόλεως καὶ κατὰ Ἰσοκράτους τοῦ ῥήτορος καὶ ἄλλα πλεῖστα* [*ἐν οἷς καὶ ψόγος Ὁμήρου.*]

CCCXI. *Ζωναῖος. ἔγραψεν ἐρωτικὰς ἐπιστολὰς καὶ περὶ τοῦ σφαιρίζειν. φέρονται δὲ αὐτοῦ καὶ ἕτεραι ἐπιστολαὶ ἀγροικικαί, ἀλλ' ἀποπίπτουσι τοῦ χαρακτῆρος.*

CCCXII. *Ζωροάστρης Περσόμηδος σοφός, ὃς καὶ*

CCCVIII *Eud.* l. c. 3 *καὶ διάδοχος* om. *Eud.*

CCCIX *Eud.* l. c., quae incipit *Ζήνων ἔτ. Κιτ.* 4 *Κιτιεύς* merito suspect. *Bernhardyo* et *Westerm.* Fortasse de Zenone Myndio sermo est, quo utitur Zenob. II, 30 ὁ pro ἢ **A** 5 *στάσεως Eud.*

CCCX *Eud.* p. 321. Cf. Steph. Byz. v. *Ἀμφίπολις* et Rohde, Mus. Rhen. XXXIV p. 571. De eo v. Müller II p. 85 8 *πόλις Μακ.* sequentibus om. *Eud.* 9 *πρῶτον* **V** 10 post *Ὅμηρον* add. *Eud.* *ῥήτωρ ἦν καὶ φιλόσοφος. ἔγραψέ τινα γραμματικά* rel. omissis 11 *ἔρριψαν* **AV** *ὤθησαν* rel. 12 *ἔγραψα* **A** 13 *ἀπὸ Θεογ.* om. *Eud.* 14 *τελ. βιβλία δέκα Eud.* *περὶ Ἀμφ. βιβλία τρία Eud.*, quod magis mihi arridet 15 *καὶ ἄλλα πλεῖστα*, add. *Eud.* *καὶ ἄλλα πλεῖστα, ἐν οἷς καὶ ψόγος Ὁμήρου* Suidae libri praeter **V**, qui om. *καὶ ἄλλα — οἷς.* Iniuria Bernhardy et Bekker omnia expunxerunt

CCCXI *Eud.* p. 323. Cf. Rohde, Gr. Roman p. 343 not. Idem est qui sophista, ad quem quarta Aeneae Gazensis epistola scripta (p. 25 Hercher), et fortasse idem, qui *περὶ σχημάτων τῶν κατὰ λόγον* composuit (Spengel, Rhet. III p. 116 — 170) 19 *ἀγροιγικαὶ καὶ ἄλλα γραμματικά τε καὶ ῥητορικά Eud.* reliquis om., quae verba ex Zoili vita translata esse sine causa suspicatus est *Daub*, de Viol. p. 5 qui totam Suidae vitam Hesychio abiudicare studuit (not. 1)

CCCXII *Eud.* p. 325. Cf. schol. Platon. VI p. 281 20 *Περσομῆδος* **AB** *Περσόμηδος* **E** *Περσομήδης vulg. Eud.* *σοφὸς ἐν τῇ ἀστρο-*

πρῶτος ἦρξε τοῦ παρ' αὐτοῖς πολιτευομένου ὀνόματος τῶν Μάγων. ἐγένετο δὲ πρὸ τῶν Τρωικῶν ἔτεσι φ'. φέρεται δὲ αὐτοῦ περὶ φύσεως βιβλία δ', περὶ λίθων τιμίων ἕν, ἀστεροσκοπικά, ἀποτελεσματικὰ βιβλία ε'.

CCCXIII. *Ζωρομάσδρης* Χαλδαῖος σοφός. ἔγραψε μαθηματικὰ καὶ φυσικά.

CCCXIV. *Ζώσιμος* Ἀλεξανδρεὺς φιλόσοφος. Χημευτικὰ πρὸς Θεοσεβίαν τὴν ἀδελφήν (ἔστι δὲ κατὰ στοιχεῖον ἐν βιβλίοις κη', ἐπιγράφεται δὲ ὑπό τινων Χειρόκμητα), καὶ ὁ Πλάτωνος βίος.

CCCXV. *Ζώσιμος* Γαζαῖος ἢ Ἀσκαλωνίτης, σοφιστής, κατὰ τοὺς χρόνους Ἀναστασίου τοῦ βασιλέως. ἔγραψε λέξιν ῥητορικὴν κατὰ στοιχεῖον καὶ ὑπόμνημα εἰς τὸν Δημοσθένην καὶ εἰς Λυσίαν.

CCCXVI. *Ἡγήμων* ὁ Θάσιος, ὁ ἐπικληθεὶς Φακῆ. τῶν δραμάτων αὐτοῦ ἐστι Φίλιννα, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

CCCXVII. *Ἡγήσιππος*. [οὗτός ἐστιν ὁ Κρωβύλος ἐπικαλούμενος, οὗ δοκεῖ τισιν εἶναι ὁ ζ' Φιλιππικὸς Δημοσθένους ἐπιγραφόμενος] τῶν δραμάτων αὐτοῦ ἐστι Φιλέταιρος, ὡς Ἀθήναιος.

CCCXVIII. *Ἡνίοχος* Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. ἔστι τῶν δραμάτων αὐτοῦ τάδε· Τροχίλος, Ἐπί-

---

νομίᾳ *Eud.* ὃς καὶ — ἔτεσι φ' om. *Eud.* pergens ἔγραψε περὶ φυσ. κ. τ. λ., φ' vitiosum esse probatur Diog. I, 2

CCCXIII *Eud.* p. 325, quae verba μαθ. et φυσ. invertit 5 Ζωρομάδης BE Ζωροβάσδης V

CCCXIV *Eud.* p. 325 8 ἔγραψε χυμευτικά *Eud.* χυμευτικά *vulg.* χειμευτικά AB sequentia om. V 9 ὑπογράφεται BE *Eud.* ὁ om. *Eud.*

CCCXV *Eud.* p. 322 12 idem lexicon, quod etiam Suidas adhibuisse traditur

CCCXVI De vita cf. Daub, de Suid. p. 484. Tractat Meineke I p. 214 16 δραμόντων V sequentia verba Suidae libri post insequentem vitam exhibent: fortasse corr. Φιλίνη: cf. Athen. XV p. 699, Φίλλινα E

CCCXVII Hesychii vitam poetae comici inquinatam esse altera vita rhetoris, quae extet apud Harpocrationem (cf. Phot. lex. et Etym. M.), iam vidit Ruhnken. hist. crit. or. p. LXXIX: cf. Meineke I p. 475 seq. et quae dixi Mus. Rhen. l. c. p. 211 18 ὁ ἀρώβυλος V 19 Iniuria verba τῶν — exit. seclusit *Westerm.* 21 Athen. VII p. 279. Φιλαίτερος M Ald. V

CCCXVIII Cf. v. *Πολύευκτος*. De eo disputavit Meineke I p. 422 seq.

κληρος, Γοργόνες, Πολυπράγμων, Θωρυκίων, Πολύευκτος, Φιλέταιρος, Δὶς ἐξαπατώμενος.

CCCXIX. *Ἡρακλείδης Εὐ⟨θύ⟩φρονος φιλόσοφος, Ἡρακλείας τῆς Πόντου, τὸ δὲ γένος ἄνωθεν ἀπὸ Δάμιδος, ἑνὸς τῶν ἡγησαμένων τῆς εἰς Ἡράκλειαν ἐκ Θηβῶν ἀποικίας, Πλάτωνος γνώριμος. ἐκδημήσαντος δὲ Πλάτωνος εἰς Σικελίαν προεστάναι τῆς σχολῆς κατελείφθη ὑπ' αὐτοῦ. οὗτος καὶ δράκοντα ἔθρεψε καὶ ἡμέρωσε, καὶ εἶχε συνδιαιτώμενον αὐτῷ καὶ συγκαθεύδοντα, ὃς καὶ μόνος ἐπὶ τῆς κλίνης εὑρέθη τοῦ Ἡρακλείδου κατακλιθέντος μὲν ὑγιοῦς, οὐχ εὑρεθέντος δέ. καὶ ἄλλοι μὲν αὐτὸν ἀπηθανατίσθαι ἐνόμισαν, ἄλλοι δὲ ἐν φρέατι αὐτὸν ἐμβεβληκέναι, ὡς ἂν δόξῃ τοῖς ἀνθρώποις ἀπηθανατίσθαι. ἔγραψε πολλά.*

CCCXX. *Ἡρακλείδης Ὀξυρυγχίτης φιλόσοφος, ὁ τοῦ Σαραπίωνος, ὃς ἐπεκλήθη Λέμβος, γεγονὼς ἐπὶ Πτολεμαίου τοῦ ἕκτου, ὃς τὰς πρὸς Ἀντίοχον ἔθετο συνθήκας. ἔγραψε φιλόσοφα καὶ ἄλλα.*

CCCXXI. *Ἡρακλείδης Ποντικός, ἀπὸ Ἡρακλείας τῆς Πόντου, γραμματικός, ὅστις Διδύμῳ τῷ πάνυ κατὰ τὴν Ἀλεξανδρέων ἐφοίτησεν. οὗτος ἐπειδὴ ἤκουσεν Ἄπερος τοῦ Ἀριστάρχου μαθητοῦ εὐδοκιμοῦντος κατὰ τὴν Ῥώμην πολλά τε τὸν Δίδυμον διασύροντος, ἔγραψε μέτρῳ Σαπφικῷ ἤτοι Φαλαικείῳ βιβλία γ' δυσερμήνευτα καὶ πολλὴν τὴν ἀπορίαν*

---

1 *Θωρύκιον vulg. Θωρυκίων* corr. *Meineke* coll. Aristoph. Ran. 365 et 383, idem vel *Θορίκιοι* proposuit (a pago Attico vocatum) coll. Elmsley. ad Arist. Acharn. 177

CCCXIX Diog. V, 86 seq. 3 *Εὐθύφρονος Diogenes*; Suidae lectio compendio orta 4 *τῆς Πόντου* **ABVE** *τῆς ἐν Πόντῳ* pars codd. 7 verba *οὗτος — εὑρεθέντος δὲ* fortasse lectoris manu ex Diog. V, 89 adscripta 9 *μόνον* **V** 10 *κατακληθέντος* **AM** corr. Portus 11 *ἀπηθανατεῖσθαι* A *ἀπηθανατίσασθαι* **E** *ἀπηθανατεῖσθαι αὐτὸν* **V** 12 *ἑαυτὸν* **A** 13 *ἔγραψε πολλά* om. **A**

CCCXX Cf. Müller III p. 167, Diels, Dox. p. 148 not. 2. Apud Diog. V, 94 quintus est 14 *Ὁ ἐξυρυχίτης* **V** 15 Cf. Phot. bibl. p. 171 a. Ptolemaeum Philometorem esse monuit *Kusterus* 16 *ἔθετο* **AV** *ἔγραψε vulg.*

CCCXXI Tractant Meineke, Anal. p. 377, Daub, Stud. p. 91 seq. 18 *τῆς* **V** *τοῦ* rel. 20 *Ἀλεξανδρέων* **ABE** *Ἀλεξανδρείων Kusterus* *ἄπερως* **ABE** *ἅπερ ὡς* **V** nomen suspectum *Bernhardyo*, *Ἀντέρωτος* proposuit *Westerm.* coll. v. *Ἀντέρως*, *Ἄσπερος Bergk*, *Ἄπερος* tuetur *Meineke*; Aristarchi quoque nomen mendosum esse probabile, *Ἀρισταρχείου* om. *μαθ. Gutschmid*; an *Ἀπίωνος*? 21 *πολλοὺς — διασύροντας* **AE** *τοὺς Δ. διασύροντας* **BV** unde *πολλούς τε ἄλλους καὶ τ. Διδ. διασύροντος* coni. *Bernhardy* 23 *φαλαικίῳ* **A**

ἔχοντα προβαλλομένων ζητημάτων, ἅτινα Λέσχας ἐκάλεσεν, εἰς Ῥώμην δὲ κομίσας καὶ τοῦ Ἄπερος καταφανεὶς κατέμεινε σχολαρχῶν ἐν αὐτῇ ἐπὶ Κλαυδίου καὶ Νέρωνος. ἔγραψε δὲ καὶ ποιήματα ἐπικὰ πολλά.

CCCXXII. *Ἡράκλειτος Βλύσωνος ἢ Βάκτωρος, οἱ δὲ Ὡρακίνου, Ἐφέσιος, φιλόσοφος φυσικός, ὃς ἐπεκλήθη σκοτεινός. οὗτος ἐμαθήτευσεν οὐδενὶ τῶν φιλοσόφων, φύσει δὲ καὶ ἐπιμελείᾳ ἠσκήθη. οὗτος ὑδρωπιάσας οὐκ ἐνεδίδου τοῖς ἰατροῖς ᾗπερ ἐβούλοντο θεραπεύειν αὐτόν, ἀλλ' αὐτὸς βολβίτῳ χρίσας ὅλον ἑαυτὸν εἴασε ξηρανθῆναι τοῦτο ὑπὸ τοῦ ἡλίου, καὶ κείμενον αὐτὸν κύνες προσελθοῦσαι διέσπασαν. οἱ δὲ ἄμμῳ χωσθέντα φασὶν ἀποθανεῖν. τινὲς δὲ αὐτὸν ἔφασαν διακοῦσαι Ξενοφάνους καὶ Ἱππάσου τοῦ Πυθαγορείου. ἦν δὲ ἐπὶ τῆς ξθ' ὀλυμπιάδος, ἐπὶ Δαρείου τοῦ Ὑστάσπου, καὶ ἔγραψε πολλὰ ποιητικῶς.*

CCCXXIII. *Ἡρακλέων Αἰγύπτιος, ἀπὸ κώμης Τιλώτεως οὔσης ὑπὸ τῇ Ἡρακλέους πόλει, γραμματικός. ἐπαίδευσε δὲ ἐν Ῥώμῃ. ἔγραψεν ὑπόμνημα εἰς Ὅμηρον κατὰ ῥαψῳδίαν, καὶ εἰς τοὺς λυρικούς, περὶ τῶν παρ' Ὁμήρῳ προστακτικῶν ῥημάτων.*

CCCXXIV. *Ἤριννα Τηνία ἢ Λεσβία, ὡς δὲ ἄλλοι, Τηλία (Τῆλος δέ ἐστι νησίδιον ἐγγὺς Κνίδου), τινὲς δὲ καὶ Ῥοδίαν*

---

2 error latere videtur, *ἄπερως* **ABE**

CCCXXII Cf. schol. Platon. VI p. 347 Herm. quod apponere iuvat: *Ἡράκλειτος Βαθέωνος, Ἐφέσιος, μεγαλόφρων γεγονὼς καὶ ὑπερόπτης παρ' ὁντινοῦν. οὗτος τὸ τοῦ ἡλίου ἔλεγεν εἶναι σχῆμα σκαφοειδὲς καὶ ὑπόκυρτον καὶ τὴν ἔκλειψιν αὐτοῦ συμβαίνειν κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφήν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίγνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν. ἀλλὰ μὴν καὶ Ξενοφάνη τὸν Κολοφώνιον κατα σβέσιν τὴν ἡλιακὴν ἔκλειψιν λέγειν γίγνεσθαί φασιν καὶ πάλιν πρὸς ταῖς ἀνατολαῖς ἀνίσχειν αὐτόν.* Omnino haec manasse ex Plutarch. Plac. Phil. II, 22, 2 et 24, 3, 4 persuasit Mettauer, de schol. Platon. font. p. 59 5 *Βλύσωνος* e Diog. IX, 1 corr. *Bernhardy* qui praeterea *Βρύσωνος* proposuit, *Βλόσωνος* libri *Βαθέωνος schol. Platon.* *βράκτωρος* **A** *βλαύτωρος* **BE** *βαύτωρος* **V** *βλεύτωνος* rel. 6 *Ἡρακίοντος Diog.* *ὁρακῖνος* **B** *ἡρακῖνος* **V** *ἡρακῖνος* supra *ου* addito **E** *ἡ* et deinde spatio relicto **A** fortasse corr. *Ἡρακῶντος* 10 *τῷ ἡλίῳ* **AV** 14 *ξε'* **A**, quod laudat *Gutschmid*, sed cf. Clinton p. 21 Kr. 15 nonnulla hic add. *Suidas* ex Byzantino historico desumpta (cf. Cedren. I p. 276)

CCCXXIII Cf. v. *Δίδυμος ὁ Κλαύδιος* 16 *Τιλιώτεως* **V** 17 *γραμματικός* om. **A** 18 *ὃς ἐπαίδευσεν ἐν* rectius tentavit *Bernhardy*

CCCXXIV Vitam descripsit *Eustath.* ad Il. II p. 326 seq. 21 *Τεΐα* detortum esse ex *Τηλία* suspicatus est *Bernhardy*, sed ex Steph. Byz.

αὐτὴν ἐδόξασαν. ἦν δὲ ἐποποιός. ἔγραψεν Ἠλακάτην (ποίημα δέ ἐστιν Αἰολικῇ καὶ Δωρίδι διαλέκτῳ, ἐπῶν τ'). ἐποίησε δὲ καὶ ἐπιγράμματα. τελευτᾷ παρθένος ἐννεακαιδεκέτις. οἱ δὲ στίχοι αὐτῆς ἐκρίθησαν ἴσοι Ὁμήρῳ. ἦν δὲ ἑταίρα Σαπφοῦς καὶ ὁμόχρονος.

CCCXXV. *Ἡρόδοτος Λύξου καὶ Δρυοῦς Ἁλικαρνασσεὺς τῶν ἐπιφανῶν, καὶ ἀδελφὸν ἐσχηκὼς Θεόδωρον. μετέστη δ' ἐν Σάμῳ διὰ Λύγδαμιν τὸν ἀπὸ Ἀρτεμισίας τρίτον τύραννον γενόμενον Ἁλικαρνασσοῦ. Πισίνδηλις γὰρ ἦν υἱὸς Ἀρτεμισίας, τοῦ δὲ Πισινδήλιδος Λύγδαμις. [ἐν οὖν τῇ Σάμῳ καὶ τὴν ἰάδα ἠσκήθη διάλεκτον, καὶ ἔγραψεν ἱστορίαν ἐν βιβλίοις θ', ἀρξάμενος ἀπὸ Κύρου τοῦ Πέρσου καὶ Κανδαύλου τοῦ Λυδῶν βασιλέως.] ἐλθὼν δὲ εἰς Ἁλικαρνασσὸν καὶ τὸν τύραννον ἐξελάσας, ἐπειδὴ ὕστερον εἶδεν ἑαυτὸν φθονούμενον ὑπὸ τῶν πολιτῶν, εἰς τὸ Θούριον ἀποικιζόμενον ὑπὸ Ἀθηναίων ἐθελοντὴς ἦλθε, κἀκεῖ τελευτήσας ἐπὶ τῆς ἀγορᾶς τέθαπται. τινὲς δὲ ἐν Πέλλαις αὐτὸν τελευτῆσαί φασιν. ἐπιγράφονται δὲ οἱ λόγοι αὐτοῦ Μοῦσαι.*

CCCXXVI. *Ἡροφίλα ἡ καὶ Σίβυλλα Ἐρυθραία, Θεοδώρου θυγάτηρ. ἔγραψε βιβλία γ', μαντικὰ ἐπικῶς, καὶ ἦλθεν εἰς Ῥώμην ἐν τοῖς χρόνοις τῶν ὑπάτων, ἄλλοι δὲ Ταρκυνίου, δοκοῦσα χρηματισθήσεσθαι δι' αὐτῶν. ὡς δὲ κατεφρονήθη, τὰς β' κατέκαυσε βίβλους, ἃς καὶ ἔτυχεν ἐπιφερομένη. περιεσώθη δὲ ἡ λοιπὴ μία, ἥτις καὶ παρὰ τῶν Ῥωμαίων ἐξωνήθη πολλοῦ τιμήματος.*

v. *Τῆνος* restit. *Τηνία* vidit Rohde, Mus. Rhen. XXXIV p. 569; cf. Bergk, Poet. Lyr. p. 928   3 *δὲ* om. **ABV** *ἐποίησε* seq. recentius orta esse non probavit *Daub*, qui etiam extrema verba *τελευτᾷ* seq. ex Anthol. I p. 135 serius efficta putat. Cf. Bergk, l. c. p. 926   4 *Ὁμήρῳ* **BV** *τοῖς Ὁμήρου vulg. Westerm.*

CCCXXV Phot. bibl. p. 19. Cf. Daub, Stud. p. 36   6 v. *Πανύασις* Herodoti mater *Ῥοιώ* vocatur   8 *Ἀρτεμασίας* **V** *Ἀρτεμίας* **B**   9 *Πισίνδηλος* **V**   10 seq. Suidae deberi putat *Gutschmid*   12 *τοῦ Περσῶν* (sc. *βασιλέως*) coni. *Daub*, sed cf. (v. *Δημοκήδης*) *Δαρείου τοῦ Πέρσου* al.   15 *ὑπὸ* om. **A**   18 *ἐπεγράφοντο* **V**. Cf. v. *Θεόπομπος ῥητ.*

CCCXXVI om. *Westerm.* Cf. v. *Σίβυλλα Ἀπόλλωνος* et Maass, de Sibyllarum ind. p. 28 not. 66   19 *Σίλλα Ἐρυθραίου* **V**   22 *χρηματισθήσεσθαι* **A** *vulg.* *χρηματίσεσθαι Bekker*   23 *τὰς μὲν vulg.* *μὲν* om. **ABVE**   *κατέκαυσε* **A** *κατέφλεξε vulg.* hic in marg. **V** legitur:

οἷον συμβαίνει ἐξ ἀπροσεξίας τῶν χ̊ κακὰ ἀποβλεπόντων τῶν κρατούντων πρὸς τὰ καλά

CCCXXVII. *Ἡρώδης Ἰούλιος χρηματίσας, υἱὸς Ἀττικοῦ τοῦ Πλουτάρχου, γένος Αἰακίδης, Ἀθηναῖος, τῶν δήμων Μαραθώνιος, σοφιστής, πλούσιος ἐκ θησαυροῦ γενόμενος σφόδρα, ὥστε καὶ στάδιον κατεσκευάσατο Ἀθηναίοις καὶ θέατρον ὑπωρόφιον. ἦρξε τῆς Ἀσίας ὁ αὐτοῦ πατήρ, καὶ τοῖς δισυπάτοις συγκατελέχθη. ἦν δὲ ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ καὶ Μάρκου Ἀντωνίνου τῶν αὐτοκρατόρων, διδαχθεὶς ὑπὸ Φαβωρίνῳ καὶ Πολέμωνι, καὶ ἔγραψεν ἐφημερίδας, σύγγραμμα πολυμαθὲς καὶ ἐπιστολὰς καὶ λόγους αὐτοσχεδίους, ὧν μέμνηται Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν. διεδέξατο δὲ αὐτοῦ τὴν σχολὴν Ἀδριανὸς ὁ σοφιστής. σύγχρονος δὲ ἦν Ἡρώδης Ἀριστείδῃ τῷ σοφιστῇ. φέρονται δὲ αὐτοῦ καὶ ἄλλα πλεῖστα, ἐν οἷς τὸ μεγαλοφυὲς καὶ ὑψίνουν τοῦδε τοῦ ἀνδρὸς κατανοεῖται καὶ διαδείκνυται. [τελευτᾷ δὲ ἀμφὶ τὰ ϛ' καὶ ο' ἔτη, ξυντακὴς γενόμενος.]*

CCCXXVIII. *Ἡρωδιανὸς Ἀλεξανδρεὺς γραμματικός, υἱὸς Ἀπολλωνίου τοῦ γραμματικοῦ τοῦ ἐπικληθέντος Δυσκόλου. γέγονε κατὰ τὸν Καίσαρα Ἀντωνῖνον τὸν καὶ Μάρκον, ὡς νεώτερον εἶναι καὶ Διονυσίου τοῦ τὴν μουσικὴν ἱστορίαν γράψαντος καὶ Φίλωνος τοῦ Βυβλίου. ἔγραψε πολλά.*

CCCXXIX. *Ἥρων Κότυος Ἀθηναῖος, ῥήτωρ, τὰς ἐν Ἀθήναις δίκας γεγραφώς, εἶτα ἐξήγησιν Δεινάρχου, ὑπομνήματα εἰς Ἡρόδοτον, Ξενοφῶντα, Θουκυδίδην, κεκριμένων*

CCCXXVII Cf. Ins. A. III, 667 seq. 2 *Ἱππάρχου* filius est Philostrat. Vit. II, 1 *Πλουτάρχου* vitiose libri *τὸν δῆμον vulg. τῶν δήμων* **ABV** 4 De stadio cf. Pausan. I, 19 5 *δὲ* post *ἦρξε* deesse miratur *Bernhardy* 8 Scopelianum magistrum add. Philostratus 9 verbis *ὧν μέμνηται* seq. alludi ad Philostr. l. c. p. 244 Kays. dixi Mus. Rhen. XXXV p. 197. Pars quoque verborum *καὶ ἔγραψεν — αὐτοσχεδίους* eodem de fonte descendit (cf. p. 244, 13 seq.). Sed verba *διεδέξατο δὲ αὐτοῦ — σοφιστής* et *σύγχρονος — σοφιστῇ* Hesychium quam maxime decent, quapropter genuino de loco vitae Hesychianae mota atque sic olim collocata conicias: *καὶ διδαχθεὶς Πολέμωνι σύγχρονος ἦν — σοφιστῇ· διεδέξατο δὲ αὐτοῦ — σοφιστής. ἔγραψε — αὐτοσχεδίους. φέρονται δὲ — διαδείκνυται* 12 Cf. v. *Ἀριστείδης* 13 *θεωρεῖται καὶ κατ. vulg. θεωρ. καὶ* om. **ABVE**

CCCXXVIII Cf. *Ἀπολλώνιος Ἀλεξανδρεύς* et *Φίλιππος σοφ.* Proleg. c. 2 § 3. De hac vita docte disputavit Rohde, Mus. Rhen. XXXIV p. 574 18 *τὸν* om. **A** *καὶ* om. **BE** mox *M.* *τὸν νεώτερον, ὡς εἶναι νεώτερον* **E** 20 *συγγράψαντος vulg. γράψαντος* **A** *συγγραψαμένου* **E**

CCCXXIX Cf. Müller IV p. 428

ὀνομάτων βιβλία γ', ἐπιτομὴν τῶν Ἡρακλείδου ἱστοριῶν, περὶ τῶν ἀρχαίων ῥητόρων καὶ τῶν λόγων, οἷς ἐνίκησαν πρὸς ἀλλήλους ἀγωνιζόμενοι.

[ὅτι Ἥρωνι ἐπέτρεψεν ἑαυτὸν ὁ Πρόκλος, ἀνδρὶ θεοσεβεῖ καὶ τελείαν παρασκευὴν ἐσχηκότι τῶν κατὰ τὴν παίδευσιν ὁδῶν, Ἀλεξανδρεῖ.]

CCCXXX. Ἡσίοδος Κυμαῖος, νέος δὲ κομισθεὶς ὑπὸ τοῦ πατρὸς Δίου καὶ μητρὸς Πυκιμήδης ἐν Ἄσκρῃ τῆς Βοιωτίας. γενεαλογεῖται δὲ εἶναι τοῦ Δίου τοῦ Ἀπέλλιδος τοῦ Μελανώπου, ὅν φασί τινες τοῦ Ὁμήρου προπάτορος εἶναι πάππον, ὡς ἀνεψιαδοῦν εἶναι Ἡσιόδου τὸν Ὅμηρον, ἑκάτερον δὲ ἀπὸ τοῦ Ἄτλαντος κατάγεσθαι. ποιήματα δὲ αὐτοῦ ταῦτα· Θεογονία, Ἔργα καὶ Ἡμέραι, Ἀσπίς, Γυναικῶν ἡρωινῶν κατάλογος ἐν βιβλίοις ε', ἐπικήδειον εἰς Βάτραχόν τινα ἐρώμενον αὐτοῦ, περὶ τῶν Ἰδαίων Δακτύλων καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ ἐπιξενωθεὶς παρ' Ἀντίφῳ καὶ Κτιμένῳ, οἳ νύκτωρ δόξαντες ἀναιρεῖν φθορέα ἀδελφῆς αὐτῶν ἀνεῖλον τὸν Ἡσίοδον ἄκοντες. ἦν δὲ Ὁμήρου κατά τινας πρεσβύτερος, κατὰ δὲ ἄλλους σύγχρονος. Πορφύριος ⟨δὲ⟩ καὶ ἄλλοι πλεῖστοι νεώτερον ρ' ἐνιαυτοῖς ὁρίζουσιν, ὡς λβ' μόνους ἐνιαυτοὺς συμπροτερεῖν τῆς πρώτης ὀλυμπιάδος.

CCCXXXI. Ἡσύχιος Μιλήσιος, υἱὸς Ἡσυχίου δικηγόρου καὶ Φιλοσοφίας, γεγονὼς ἐπὶ Ἀναστασίου βασιλέως.

---

1 Heraclidis Lembi esse suspicatur *Müller* 4 Haec ad alterum Her. spectantia perverse Suidas add. ex Marin. vit. Procli c. 9

CCCXXX Cf. Steph. Byz. v. Ἄσκρη. Ἡσίοδος, Κυμαῖος, πατρὸς δὲ Δίου καὶ μητρὸς Πυκιμήδης. νέος δὲ κομισθεὶς ὑπὸ τοῦ πατρὸς ἐν Ἄσκρῃ olim dictum fuisse probabiliter suspicatus est *Bernhardy* 8 μητρὸς om. **A** Βιωτίας **A** 9 Διὸς **ABVE** Δίου *vulg.* Ἀπελλίδος **AV** ἀμπελίδου *vulg.* ἀμπέλιδος **E** 11 ἀνεψιάδην *vulg.* ἀνεψιαδοῦν **BV** 12 ἀπὸ τοῦ Ἀπόλλωνος coni. *Westerm.* memoriam Hellanici Ἀτλαντιάδος subesse monet *Gutschmid* 13 mutilum esse indicem perspexit *Bernhardy* 14 ἐπικήδειος *vulg.* ἐπικήδειον **ABV** 16 κεκτημένῳ **V** 17 αὐτῶν **A** ἑαυτῶν *vulg.* αὐτῶν **E** 19 Πορφ. δὲ καὶ scripsi *Westerm.* secutus Πορφ. καὶ libri. De Porphyrio v. Mus. Rhen. XXXV p. 197

CCCXXXI Vitam Hesychii ab epitomatore additam esse constat. Cf. Unters. p. 96 not. 2. Ceterum cf. Müller, fr. hist. IV p. 154, Daub, Stud. p. 3 23 Σοφίας e coni. *vulg.*, Φιλοσοφίας **ABVE** doctrinae genus in hoc vocabulo latere putavit *Bernhardy* φιλοσοφίας γέμοντος haud probabiliter *Daub*, δικηγόρου καὶ φιλοσόφου ipse tentavi Mus. Rhen. XXXV p. 231 not. 2, quo loco uberius de Hesychii aetate disputavi. Addere poteram v. Γαληνός: ἅτινα διὰ τὸ πᾶσιν εἶναι γνώριμα κατα-

ἔγραψεν Ὀνοματολόγον ἢ πίνακα τῶν ἐν παιδείᾳ ὀνομαστῶν, οὗ ἐπιτομή ἐστι τοῦτο τὸ βιβλίον, καὶ χρονικὴν ἱστορίαν, ἥντινα διεῖλεν εἰς ἓξ διαστήματα (οὕτω γὰρ καλεῖ ἕκαστον βιβλίον), ἐν οἷς ἐμφέρονται αἱ κατὰ καιροὺς πράξεις τῶν Ῥωμαίων βασιλέων καὶ αἱ δυναστεῖαι τῶν κατὰ ἔθνος κρατησάντων τυράννων καὶ τὰ κατὰ τὸ Βυζάντιον πραχθέντα ἕως τῆς βασιλείας Ἀναστασίου τοῦ ἐπονομαζομένου Δικόρου. [εἰς δὲ τὸν πίνακα τῶν ἐν παιδείᾳ λαμψάντων ἐκκλησιαστικῶν διδασκάλων οὐδενὸς μνημονεύει, ὡς ἐκ τούτου ὑπόνοιαν παρέχειν μὴ εἶναι αὐτὸν χριστιανόν, ἀλλὰ τῆς Ἑλληνικῆς ματαιότητος ἀνάπλεων.]

CCCXXXII. Ἡφαιστίων Ἀλεξανδρεὺς γραμματικός. ἔγραψεν ἐγχειρίδιον περὶ μέτρων καὶ μετρικὰ διάφορα, περὶ τῶν ἐν ποιήμασι ταραχῶν, κωμικῶν ἀπορημάτων λύσεις, τραγικῶν λύσεων καὶ ἄλλα πλεῖστα [καὶ τῶν μέτρων τοὺς ποδισμούς.]

CCCXXXIII. Θαλῆς Ἐξαμύου καὶ Κλεοβουλίνης, Μιλή-

λέγειν ἄκαιρον ἡγησάμην ἐν τῷ παρόντι 1 καὶ Ἰουστινιανοῦ post βασ. addere maluit *Kusterus* ὀνοματολόγιον **A** Διογένην τὸν Λαέρτιον μιμησάμενος post ὀνομαστῶν inepte addi iussit *Meursius* (cf. Naeke, Choeril. p. 34 seq.) ad libellum, qui Hesychii nomine hodie gloriatur, referens. Erraverunt etiam Kusterus, Bernhardy, Gaisfordus, Westerm. Verum vidit *Lehrsius*, Pindarschol. p. 159 seq. 2 χρονικήν τινα *vulg.* τινα om. **ABVE** 8 De ineptiis huius additamenti dixi Mus. Rhen. XXXV p. 199, ubi Christianum fuisse Hesychium docui. Idem sagaciter perspexerat Rohde, Gr. Roman p. 475 not. 1. Hariolatus est *Maass*, de Sib. ind. p. 55 not. 117 11 ματαιοπονίας *vulg.* ματαιότητος **A**

CCCXXXII Cf. *Zonar.* p. 1015 13 ἐγχειρίδια *vulg.* praeter **AV** διὰ μέτρων libri περὶ μέτρων *Kusterus* rec. *Westerm.* περὶ del. *Gaisford* 14 ταραχῶν merito suspect. *Bernhardyo* ταρχῶν **V** 15 verba inclusa scholasticis ingeniis deberi recte vidit *Bernhardy*

CCCXXXIII *Eud.* p. 368, quae Hesychii articulo inseruit narratiunculam schol. Ar. Nub. 181. Cf. Diog. I, 23 seq. schol. Platon. VI p. 360, quod comparare iuvat: Θάλης Ἐξαμύου, Μιλήσιος, Φοῖνιξ δὲ καθ' Ἡρόδοτον. οὗτος πρῶτος ὠνομάσθη σοφός· εὗρε γὰρ τὸν ἥλιον ἐκλείπειν ἐξ ὑποδρομῆς σελήνης, καὶ μικρὰν ἄρκτον αὐτὸς ἔγνω καὶ τὰς τροπὰς πρῶτος Ἑλλήνων καὶ περὶ μεγέθους ἡλίου καὶ φύσεως, ἄλλα καὶ ἄψυχα ψυχὴν ἔχειν ὁπωσοῦν ἐκ τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. ἀρχὴν δὲ τῶν στοιχείων τὸ ὕδωρ, τὸν δὲ κόσμον ἔμψυχον ἔφη καὶ δαιμόνων πλήρη. ἐπαιδεύθη ἐν Αἰγύπτῳ ὑπὸ τῶν ἱερέων. τούτου τὸ γνῶθι σαυτόν. ἐτελεύτησε δὲ μονήρης, γηραιός, γυμνικὸν ἀγῶνα θεώμενος, ὑπὸ καύματος ἐκλυθείς 17 Ἐξαμίου *vulg.* Ἐξαμύου **AVBE** Θαλῆς τῶν ἑπτὰ φιλοσόφων εἷς γέγονεν om. Ἐξ. καὶ Κλ. *Eud.*

σιος, ὡς δὲ Ἡρόδοτος, Φοῖνιξ, γεγονὼς πρὸ Κροίσου ἐπὶ τῆς λε´ ὀλυμπιάδος, κατὰ δὲ Φλέγοντα γνωριζόμενος ἤδη ἐπὶ τῆς ζ´. ἔγραψε περὶ μετεώρων ἐν ἔπεσι, περὶ ἰσημερίας καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ γηραιὸς θεώμενος γυμνικὸν ἀγῶνα, πιληθεὶς δὲ ὑπὸ τοῦ ὄχλου καὶ ἐκλυθεὶς ὑπὸ τοῦ καύματος. [πρῶτος δὲ Θαλῆς τὸ τοῦ σοφοῦ ἔσχεν ὄνομα, καὶ πρῶτος την ψυχὴν εἶπεν ἀθάνατον, ἐκλείψεις τε καὶ ἰσημερίας κατείληφεν. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα, καὶ τὸ θρυλούμενον 'γνῶθι σαυτόν·' τὸ γὰρ 'ἐγγύα, πάρα δ' ἄτα' Χίλωνός ἐστι μᾶλλον, ἰδιοποιησαμένου αὐτὸ καὶ τὸ 'μηδὲν ἄγαν.']

CCCXXXIV. *Θαλήτας Κρὴς Ἐλύριος, λυρικός, γεγονὼς πρὸ Ὁμήρου. μέλη.*

CCCXXXV. *Θαλήτας Κνώσσιος, ῥαψῳδός. ποιήματά τινα μυθικά.*

CCCXXXVI. *Θάμυρις ἢ Θαμύρας, Θρᾷξ ἐξ Ἠδωνῶν τῆς ἐν Βρίγοις πόλεως, οἱ δὲ ἀπὸ Ὀδρύσης, υἱὸς Φιλάμμωνος καὶ Ἀρσινόης, ἐποποιὸς ὄγδοος πρὸ Ὁμήρου, κατὰ δὲ ἄλλους πέμπτος. οὗτος ὁ Θάμυρις, ἐπειδὴ εἰς τὰς μούσας ὕβρισεν, ἐπηρώθη. φέρεται δὲ αὐτοῦ θεολογία εἰς ἔπη ͵γ. [καὶ*

---

1 sic **ABVE** *Ἡροδότῳ δοκεῖ vulg.* cf. Herod. I, 170 3 post *τῆς* nonnulla excidisse et quod superest *ζ´* frustulum esse membri huiusce *εἷς τῶν ζ´ σοφῶν* suspicatus est *Bernhardy*; sed cf. quae de Phlegontis errore disputavit Rohde, Mus. Rhen. XXXIII p. 211; fragm. Phlegontis om. Müller 4 *ἐτελεύτησε* — exit. om. *Eud.* quae tamen descripsit *πρῶτος — ἀθάνατον* 6 *πρῶτος* — exit. addidisse Suidam ex historico Byzantino docet Cedren. I p. 275 (cf. Mus. Rhen. XXXV p. 212). Fortasse *ἐτελεύτησε* — exit. ipsi Suidae debentur. Inter Thaletis scripta *Eud.* refert *περὶ ἐκλείψεως*. Cf. Unters. p. 43 et 88; Daub, de Viol. p. 24

CCCXXXIV *Eud.* p. 374. Cf. Strabo X p. 482 qui eum *Θάλης* vocat, quod hic restituendum putavit *Bernhardy*. Ceterum v. Menag. ad Diog. I, 38 11 *ἢ Ἐλύριος* corr. *Meursius* Cret. I, 9 coll. Steph. Byz. v. *Ἔλυρος, ἢ Ἰλλυριός* libri et *Eud., ἢ* expungendum esse vidit *Bernhardy* 12 *ἔγραψε μέλη* Eud.

CCCXXXV *Eud.* l. c. Utraque in glossa de eodem poeta agi patet 13 *καὶ ἕτερος Κνώσ.* et *συνέθηκε π. Eud.*

CCCXXXVI om. *Westerm.* 16 *Βρίγοις* ex Steph. Byz. v. *Βρίγες* revocavit *Bernhardy Βρίγης* **A** *Βρίγκοις vulg.* verba *οἱ δὲ ἀπὸ Ὀδρ.* quae libri post *πέμπτος* praebent, rectius post *πόλεως* collocavi, *Ὀδρύσης* corr. *Kusterus, Ὀδρύσσης vulg. Δρύσσης* **BE** 17 *Ἀργιόπης* ex Apollodoro et Pausan. IV, 33 corrigendum monuit *Kusterus, Ἀρσίου* praebet *Eud.* p. 364 (ex schol. Ven. Il. II, 595), ubi in margine additum *γρ. Ἀρσινόης* 19 de theologia Thamyridis, quae nunquam fuerit, cf. Bergk. Lit. Gr. I p. 404; Hiller, Mus. Rhen. XXXIII p. 522.

πρῶτος ἠράσθη παιδὸς Ὑμεναίου τοὔνομα, υἱοῦ Καλλιόπης καὶ Μάγνητος· οἱ δὲ Κρῆτά φασί τινα Τάλωνα Ῥαδαμάνθυος ἐρασθῆναι· οἱ δὲ Λάϊόν φασιν ἐρασθῆναι πρώτον Χρυσίππου τοῦ Πέλοπος υἱοῦ· οἱ δὲ Ἰταλιώτας πρώτους κατ' ἀνάγκην στρατείας εὑρέσθαι τοῦτο. κατὰ δὲ ἀλήθειαν αὐτὸς ὁ Ζεὺς πρῶτος ἠράσθη Γανυμήδους.]

CCCXXXVII. Θεαίτητος Ἀθηναῖος ἀστρολόγος, φιλόσοφος, μαθητὴς Σωκράτους, ἐδίδαξεν ἐν Ἡρακλείᾳ. γέγονε δὲ μετὰ τὰ Πελοποννησιακά. πρῶτος δὲ τὰ πέντε καλούμενα στερεὰ ἔγραψε.

CCCXXXVIII. Θεαίτητος Ἡρακλείας Πόντου, φιλόσοφος, ἀκροατὴς Πλάτωνος.

CCCXXXIX. Θεανὼ Μεταποντίνη ἢ Θουρία, Πυθαγορεία, θυγάτηρ Λεώφρονος, γαμετὴ δὲ Καρύστου ἢ Κρότωνος ἢ Βρωτίνου τοῦ Πυθαγορείου. αὕτη ἔγραψε περὶ Πυθαγόρου, περὶ ἀρετῆς Ἱπποδάμῳ Θουρίῳ, παραινέσεις γυναικείας καὶ ἀποφθέγματα Πυθαγορείων.

CCCXL. Θεανὼ Κρῆσσα φιλόσοφος, θυγάτηρ μὲν Πυθώνακτος, γαμετὴ δὲ τοῦ μεγάλου Πυθαγόρου, ἐξ οὗ ἔσχε Τηλαύγην καὶ Μνήσαρχον καὶ Μυῖαν καὶ Ἀριγνώτην. τινὲς δὲ Βρωτίνου γυναῖκα γράφουσι καὶ τὸ γένος Κροτωνιᾶτιν. ὑπομνήματα φιλόσοφα καὶ ἀποφθέγματα καὶ ποίημά τι δι' ἐπῶν.

Verba *καὶ πρῶτος* — exit. ab Hesychii indole procul absunt. Cf. Athen. XIII p. 603 et quae exposui Mus. Rhen. XXXV p. 212 1 *Ὑακίνθου Lennepius* 2 *Τάλων Gutschmid*

CCCXXXVII *Eud.* p. 369 7 *φιλοσ. καὶ εἰς τὸ ἄκρον ἀστρολ. Eud.* 8 *γέγονε* seq. transposui, post *ἔγραψε* exhibent libri

CCCXXXVIII Utramque glossam ad unum spectare patet 11 *Ἡρακλέα* V *Ἡρ. Πόντου* ex A *Kusterus*, antea legebatur *ἐν Ἡρ. τοῦ Πόντου*

CCCXXXIX *Eud.* p. 369 13 *Μεταποντική Eud.* *Πυθαγ.* — *Βρωτ.* om. *Eud.* 14 *Καρύστου* et *Κρότωνος* susp. *Bernhardyo* 15 *Βρωτίνου* ABVE *Βροτίνου* rel. *Βροντίνου* ex Iamblichi vit. Pyth. coni. *Kusterus* *ὡς Πλωτῖνος* in margine V legitur. Verba *τοῦ Πυθ. αὕτη ἔγραψε περὶ* miro errore desunt in ed. *Bekker.* *Πυθαγόρου, Πυθαγορεία οὖσα Eud.* 16 *Ἱπποδ. Θουρ.* ficticium titulum esse suspicatus est *Bernhardy*, qui etiam *περὶ Πυθαγόρου* delendum censuit

CCCXL *Eud.* l. c. Cf. v. *Τηλαύγης* 19 *ἐξ οὗ* — *Κροτωνιᾶτιν* om. *Eud.* pergens *φέρεται αὐτῆς ὑπομ. πολλά* (cf. Diog. VIII, 43) 21 *Βρωτίνου* ex Paris. revocavit *Kusterus*, antea fuerat *Κρατίνου*; *γενέσθαι* post *γυναῖκα* add. *vulg.* om. A

CCCXLI. *Θεανὼ Λοκρὶς λυρική. ᾄσματα Λοκρικὰ καὶ μέλη.*

CCCXLII. *Θεμίστιος φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Ἰουλιανοῦ τοῦ παραβάτου, ὑφ' οὗ καὶ ὕπαρχος προεβλήθη Κωνσταντινουπόλεως. γέγραφε τῆς Ἀριστοτέλους φυσικῆς ἀκροάσεως παράφρασιν ἐν βιβλίοις η', παράφρασιν τῶν ἀναλυτικῶν ἐν βιβλίοις β', τῶν ἀποδεικτικῶν ἐν βιβλίοις β', τοῦ περὶ ψυχῆς ἐν βιβλίοις ζ' (ἐν δὲ τούτῳ καὶ ἴδια παρεισήγαγε περὶ τοῦ σκοποῦ καὶ τῆς ἐπιγραφῆς), τῶν κατηγοριῶν ἐν βιβλίῳ α' καὶ διαλέξεις.*

CCCXLIII. *Θεμιστογένης Συρακούσιος ἱστορικός. Κύρου Ἀνάβασιν, ἥτις ἐν τοῖς Ξενοφῶντος φέρεται, καὶ ἄλλα τινὰ περὶ τῆς ἑαυτοῦ πατρίδος.*

CCCXLIV. *Θεμιστοκλῆς Ἀθηναῖος δημαγωγός, Νεοκλέους υἱός, ἄσωτος τὴν πρώτην ἡλικίαν γενόμενος, μετὰ δὲ ταῦτα στρατηγὸς αἱρεθείς, καὶ κτίσας τὸν Πειραιᾶ, καὶ ναυμαχίᾳ νικήσας τοὺς Πέρσας κατὰ Σαλαμῖνα, καὶ φθονηθεὶς φεύγει πρὸς Ἀρταξέρξην τὸν τῶν Περσῶν βασιλέα, καὶ σφόδρα τιμηθεὶς ὑπ' αὐτοῦ ἠναγκάζετο μετὰ ταῦτα τοῖς Ἕλλησι πολεμεῖν, καὶ μὴ βουληθεὶς προδοῦναι τὴν πατρίδα καὶ τὸ ἑαυτοῦ κλέος ταύρειον αἷμα πιὼν ἀπώλετο. ἔγραψεν ἐπιστολὰς φρονήματος γεμούσας.*

CCCXLV. *Θεόγνητος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Φάσμα ἢ Φιλάργυρος, Φιλοδέσποτος, Κένταυρος, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.*

CCCXLI 1 *Λοκρικά Bernhardy*, qui in lectione librorum **ABVE** *λυρικὰ ἢ λοκρικὰ* errorem et emendationem librariorum in unum confluxisse vidit

CCCXLII 7 *τῶν ἀποδεικτικῶν — β'* om. *vulg.*, ex Par. add. *Kusterus* 8 *ψυχῶν* **V**

CCCXLIII *Eud.* p. 376. Verum auctorem esse, cui Xenophon Anabasin edendum commiserit ex libro de Syracusis efficit *Gutschmid* 11 *ἔγραψε Κυρ. Eud.*, quae om. *ἥτις — φέρεται* 12 *Ξενοφῶντος* ex libris suis *Kusterus*, antea legebatur *Ξεν. Ἑλληνικοῖς*

CCCXLIV om. *Westerm.* 21 extare hodie epistolas quae Themistoclis nomen mentiantur monuit *Kusterus*: cf. Hercher, Epist. p. 741 seq.

CCCXLV *Eud.* p. 374, quae om. *ἐστι* et *ὡς* — exit. Tractant Meineke I p. 487, Daub, de Suid. p. 484 24 Cf. Athen. III p. 104, XV p. 671, XIV p. 616, sed comoediae *Κένταυρος* apud Athenaeum nullam mentionem inici vidit *Bernhardy*, Suidam ipsum effinxisse putat *Daub*, Lyncei fabulam fuisse docet *Meineke*

CCCXLVI. *Θέογνις Μεγαρεὺς τῶν ἐν Σικελίᾳ Μεγάρων, γεγονὼς ἐν τῇ νθ' ὀλυμπιάδι. ἔγραψεν ἐλεγείαν εἰς τοὺς σωθέντας τῶν Συρακουσίων ἐν τῇ πολιορκίᾳ, γνώμας δι' ἐλεγείας εἰς ἔπη ͵βω', καὶ πρὸς Κύρνον τὸν αὐτοῦ ἐρώμενον γνωμολογίαν δι' ἐλεγείων καὶ ἑτέρας ὑποθήκας παραινετικάς, τὰ πάντα ἐπικῶς.*

[*ὅτι μὲν παραινέσεις ἔγραψε Θέογνις, ἀλλ' ἐν μέσῳ τούτων παρεσπαρμέναι μιαρίαι καὶ παιδικοὶ ἔρωτες καὶ ἄλλα ὅσα ὁ ἐνάρετος ἀποστρέφεται βίος.*]

CCCXLVII. *Θεοδέκτης Ἀριστάνδρου, Φασηλίτης ἐκ Λυκίας, ῥήτωρ, τραπεὶς δὲ ἐπὶ τραγῳδίας, μαθητὴς Πλάτωνος καὶ Ἰσοκράτους καὶ Ἀριστοτέλους. οὗτος καὶ ὁ Ἐρυθραῖος Ναυκράτης καὶ Ἰσοκράτης ὁ ῥήτωρ ὁ Ἀπολλωνιάτης καὶ Θεόπομπος ἐπὶ τῆς ρζ' ὀλυμπιάδος εἶπον ἐπιτάφιον ἐπὶ Μαυσώλῳ, Ἀρτεμισίας τῆς γυναικὸς αὐτοῦ προτρεψαμένης, καὶ ἐνίκησε μάλιστα εὐδοκιμήσας ἐν ᾗ εἶπε τραγῳδίᾳ· ἄλλοι δέ φασι Θεόπομπον ἔχειν τὰ πρωτεῖα. δράματα δὲ ἐδίδαξε ν'.*

CCCXLVI *Eud.* p. 367 et 375. Cf. v. *Φωκυλίδης*, cf. Steph. Byz. v. *Μέγαρα*. Ex Procli scholiis descendere schol. Platon. (VI p. 375) docuit Mettauer p. 29 et 59. De erroribus huius articuli sagaciter disputavit Nietzsche, Mus. Rhen. XXII p. 190 seq. qui ex duobus articulis conflatum esse recte perspexit, altero *Θε. Μεγ. τῶν ἐν Σικ. Μεγάρων, γεγονὼς ἐν τῇ νθ' Ὀλ. ἔγραψεν Ἐλεγείαν εἰς τοὺς σωθέντας τῶν Συρ. ἐν τῇ πολιορκίᾳ, γνώμας δι' ἐλεγείας εἰς ἔπη ͵βω*, altero *Θε. Μεγ.* (*ἐκ Σικελίας* forte del.) *ἔγραψε πρὸς Κύρνον τὸν αὐτοῦ ἐρώμενον γνωμολογίαν δι' ἐλεγείων καὶ ἑτέρας ὑποθήκας παραινετικάς, τὰ πάντα ἐπικῶς*. De aetate Theognidis cf. Rohde, Mus. Rhen. XXXIII p. 169 not. 6 1 de *Σικελίᾳ* v. *Harpocrat.* v. *Θέογνις* 3 *ἀναλωθέντας* pro *σωθέντας* coni. *Schneidewin*. Del. p. 46 *Συρρακ.* **A** 4 *δι' ἐλεγείων Bernhardy* *ὡς ἔπη* **AE** 5 *καὶ* delet *Bernhardy* 6 *ἐπικῶς* vitiosum esse patet, *ἐπιεικῶς* **E** *ἐλεγειακῶς Schneid.*, qui tamen coni. crit. p. 176 *ἔπη* .., ut numerus exciderit (fortasse *͵βω*), quem sequitur Bergk de prooem. Emped. p. 9, *παραινετικὰς ἐπικῶς καὶ τὰ πάντα παραινέσεις* sequentibus iuncta Franckius Callin. p. 87, *͵βως' Schoemann*, *ἠθικῶς Dilthey*, Mus. Rhen. XVIII p. 150 7 *ὅτι* — *βίος* quae *Suidae* debentur, merito expunxi; cf. Schneidewin., de syll. Theogn. p. 40 (Argentor. 1878) 8 *μιαρίαι* **ABVEM** *εἰσι μωρίαι Kusterus*

CCCXLVII *Eud.* p. 371. Cf. Steph. Byz. v. *Φάσηλις*; Welcker, Griech. Trag. p. 1069, Daub, Stud. p. 48 12 *οὗτος* — exit. om. *Eud.* pergens *οὗτος ἔσχε καὶ υἱὸν Θεοδ. ῥήτορα καὶ αὐτὸν* de altero Theodecte agens 14 *ργ'* libri *ρζ'* corr. Clinton, fast. p. 143 Kr. 17 *σχεῖν* rectius *Bernhardy* *ἐδίδαξε* — *μ'* om. **V**, verba *τελευτᾷ* seq. certe genuino de loco mota sunt

τελευτᾷ δὲ ἐν Ἀθήναις ἐτῶν α' καὶ μ', ἔτι τοῦ πατρὸς αὐτοῦ περιόντος. ἔγραψε δὲ καὶ τέχνην ῥητορικὴν ἐν μέτρῳ καὶ ἄλλα τινὰ καταλογάδην.

CCCXLVIII. *Θεοδέκτης Φασηλίτης ῥήτωρ, υἱὸς τοῦ προτέρου. ἔγραψεν ἐγκώμιον Ἀλεξάνδρου τοῦ Ἠπειρώτου, ἱστορικὰ ὑπομνήματα, νόμιμα βαρβαρικά, | τέχνην ῥητορικὴν ἐν βιβλίοις ζ' | καὶ ἄλλα πολλὰ ὑπομνήματα.*

CCCXLIX. *Θεοδόσιος φιλόσοφος. ἔγραψε σφαιρικὰ ἐν βιβλίοις γ', ὑπόμνημα εἰς τὰ Θευδᾶ κεφάλαια, περὶ ἡμερῶν καὶ νυκτῶν β', ὑπόμνημα εἰς τὸ Ἀρχιμήδους ἐφόδιον, διαγραφὰς οἰκιῶν ἐν βιβλίοις γ', σκεπτικὰ κεφάλαια, ἀστρολογικά, περὶ οἰκήσεων.*

CCCL. *Θεοδόσιος. ἔγραψε δι' ἐπῶν εἰς τὸ ἔαρ καὶ ἕτερα διάφορα. ἦν δὲ Τριπολίτης.*

CCCLI. *Θεόδωρος ὁ ἐπίκλην Ἄθεος, ὃς ἠκροάσατο Ζήνωνος τοῦ Κιτιέως, διήκουσε δὲ καὶ Βρύσωνος καὶ Πύρρωνος τοῦ ἐφεκτικοῦ, ἀδιαφορίαν δοξάζων καὶ παραδιδούς. αἵρεσιν ἰδίαν εὗρεν, ἥτις Θεοδώρειος ἐκλήθη. οὗτος ἔγραψε πολλὰ συντείνοντα εἰς τὴν οἰκείαν αἵρεσιν καὶ ἄλλα τινά. [οὗτος εἶπε πρὸς Ἱππαρχίαν τὴν γυναῖκα Κράτητος ʻαὕτη ἐστὶν ἡ τὰς πρὸς ἱστοὺς ἐκλιποῦσα κερκίδας καὶ τρίβωνα φοροῦσα'.]*

---

2 *περὶ μέτρων Märcker,* de Theod. vit. p. 55. Locum ex Steph. Byz. l. c. corrigendum esse perspexit Rohde, Mus. Rhen. XXXIV p. 567, ubi Stephanus laudet *καὶ λόγους ῥητορικοὺς ἐπῶν καί* (ubi numerus latet), unde Hesychium verba fontis sui, Philonis Byblii, male intellexisse totumque locum deformasse appareat

CCCXLVIII *Eud.* l. c. Tractant Müller II p. 369, Daub l. c., qui ex uno Th. duos factos esse putat 5 *Ἀλ. τ. Πριάμου ἐγκ.* add. **A** 6 *καὶ* post *ἱστορικὰ* add. *vulg.* om. **AV** *Eud.* *τέχνη* patris Theodectae est 7 *κ'* **E** man. I *ἑνὶ* corr. *α'* **M**

CCCXLIX *Eud.* p. 369. Cf. v. *Τριβωνιανὸς Σιδ.* Suidam confudisse duos auctores, scepticum et mathematicum constat, Eudociam quae in hac vita addiderit *Τριπολίτης* trium virorum vitas perturbasse patet 9 *βιβλία γ'* **V** *ὑπομνήματα* **E** 11 *οἰκιῶν — ἤτοι περὶ οἰκήσεων Eud.*

CCCL *Eud.* p. 370 14 cuinam e Theodosiis conveniat illud *Τριπολίτης*, dubium; huic Theodosio, quem Theodotum vocat, carmen 120 versuum *εἰς τὸ ἔαρ* inscriptum et editum a Cramer. Anecd. Paris. IV p. 348 tribuit Meineke, Anal. p. VII et p. 403

CCCLI 16 *Πύρωνος* **A** interpunxi cum *Westerm.* *καὶ* ante *ἀδιαφορ.* inseruit *Kusterus*, *δὲ* post *ἀδ. Bernhardy*, uterque post *ἐφεκτικοῦ* plenius distinguens 20 *οὗτος* — fin. *Suidas* ex Diog. VI, 98 deprompsit, itaque expunxi 21 Eurip. Bacch. 1234 *καὶ* seq. om. Diog.

CCCLII. *Θεόδωρος ἀπὸ ἀναγνωστῶν τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως. ἔγραψεν ἱστορίαν ἐκκλησιαστικὴν ἀπὸ τῶν χρόνων Κωνσταντίνου ἕως τῆς βασιλείας Ἰουστινιανοῦ.*

CCCLIII. *Θεόδωρος Βυζάντιος σοφιστής, ὃς ὑπὸ Πλάτωνος λογοδαίδαλος ἐκλήθη. ἔγραψε κατὰ Θρασυβούλου, κατὰ Ἀνδοκίδου καὶ ἄλλα τινά.*

CCCLIV. *Θεόδωρος Γαδαρεὺς σοφιστής, ἀπὸ δούλων, διδάσκαλος γεγονὼς Τιβερίου Καίσαρος, ⟨ἐπειδὴ⟩ συνεκρίθη περὶ σοφιστικῆς ἀγωνισάμενος Ποτάμωνι καὶ Ἀντιπάτρῳ ἐν αὐτῇ τῇ Ῥώμῃ. ἐπὶ Ἀδριανοῦ Καίσαρος ὁ υἱὸς αὐτοῦ Ἀντώνιος συγκλητικὸς ἐγένετο. βιβλία δὲ ἔγραψε περὶ τῶν ἐν φωναῖς ζητουμένων γ', περὶ ἱστορίας α', περὶ θέσεως α', περὶ διαλέκτων ὁμοιότητος καὶ ἀποδείξεως β', περὶ πολιτείας β', περὶ κοίλης Συρίας α', περὶ ῥήτορος δυνάμεως α' καὶ ἄλλα.*

CCCLV. *Θεόδωρος ποιητής, ὃς ἔγραψε διάφορα [δι' ἐπῶν] καὶ εἰς Κλεοπάτραν δι' ἐπῶν.*

CCCLVI. *Θεόκριτος Χῖος ῥήτωρ, μαθητὴς Μητροδώρου τοῦ Ἰσοκρατικοῦ. ἔγραψε Χρείας, ἀντεπολιτεύσατο δὲ Θεοπόμπῳ τῷ ἱστορικῷ. φέρεται αὐτοῦ ἱστορία Λιβύης καὶ ἐπιστολαὶ θαυμάσιαι.*

CCCLVII. *Ἔστι καὶ ἕτερος Θεόκριτος, Πραξαγόρου καὶ Φιλίννης (οἱ δὲ Σιμμίχου), Συρακούσιος, οἱ δέ φασι Κῷον,*

CCCLII Hesychii vitam esse docui Mus. Rhen. XXXV p. 200. Cf. v. *Διόδωρος* 1 *τῆς* om. **V**

CCCLIII *Eud.* p. 371. Eundem laudavit Diog. II, 104 5 Plato Phaedr. p. 266

CCCLIV *Eud.* p. 372. Cf. Müller III p. 489 8 *ἀπὸ δούλων*: *Wachsmuth*, Symb. p. 141 9 *ἐπειδὴ* correxi *ἐπεὶ δὲ* libri *ἔπειτα δὲ* *Portus*, quod probat *Kusterus*, *ἐπὶ τοῦ δὲ Daub* 11 post *Ῥώμῃ* nonnulla excidisse, ut et particulam in sequentibus, censet *Bernhardy* 13 *περὶ θέσεως α'* om. **BEM** 15 *ῥητορικῆς* praefert *Bernhardy* *δυν. ῥήτορος α'* om. *καὶ ἄλλα* *Eud.*

CCCLV *Eud.* p. 375. Cf. Düntzer, Ep. fr. II p. 114 17 *ποιητικός* **AVE** 18 aut prius aut alterum *δι' ἐπῶν* delendum esse patet

CCCLVI *Eud.* p. 372. Tractant Müller II p. 86, Daub, Stud. p. 53 20 *ἀντεπολιτ. ἱστορικῷ* om. *Eud.* certe verba genuino de loco mota sunt; cf. Strabo XIV p. 645 21 *φέρονται — ἱστορίαι Eud.*, quae add. *καὶ λόγοι πανηγυρικοί*; *ἱστορ. Λιβύης* merito susp. *Müllero*

CCCLVII *Eud.* p. 375 24 *Φιλλίνης* **V** *Συρρ.* ex more **A** *οἱ δὲ*

μετῴκησε δὲ ἐν Συρακούσαις. οὗτος ἔγραψε τὰ καλούμενα Βουκολικὰ ἔπη δωρίδι διαλέκτῳ. τινὲς δὲ ἀναφέρουσιν εἰς αὐτὸν καὶ ταῦτα· Προιτίδας, ἐλπίδας, ὕμνους, ἡρωίνας, ἐπικήδεια μέλη, ἐλεγείας, ἰάμβους, ἐπιγράμματα. [ἰστέον δέ, ὅτι τρεῖς γεγόνασι βουκολικῶν ἐπῶν ποιηταί, Θεόκριτος οὑτοσί, Μόσχος Σικελιώτης καὶ Βίων ὁ Σμυρναῖος, ἔκ τινος χωριδίου καλουμένου Φλώσσης.]

CCCLVIII. *Θεόπομπος Θεοδέκτου ἢ Θεοδώρου, Ἀθηναῖος κωμικός, ἐδίδαξε δράματα κδ'. ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας κατὰ Ἀριστοφάνην. [δράματα δὲ αὐτοῦ εἰσι καὶ ἄλλα πολλά.]*

CCCLIX. *Θεόπομπος Χῖος ῥήτωρ, υἱὸς Δαμασιστράτου, γεγονὼς τοῖς χρόνοις κατὰ τὴν ἀναρχίαν Ἀθηναίων, ἐπὶ τῆς ϙγ' ὀλυμπιάδος, ὅτε καὶ Ἔφορος, Ἰσοκράτους ἀκουστὴς ἅμα Ἐφόρῳ. ἔγραψεν ἐπιτομὴν τῶν Ἡροδότου ἱστοριῶν ἐν βιβλίοις β', Φιλιππικὰ ἐν βιβλίοις οβ', Ἑλληνικὰς ἱστορίας (ἕπονται δὲ ταῖς Θουκυδίδου καὶ Ξενοφῶντος, καί εἰσιν ἐν βιβλίοις ια', ἔχουσαι τὰ ἀπὸ τοῦ Πελοποννησιακοῦ πολέμου καὶ 〈τὰ〉 λοιπά). ἔγραψε καὶ ἕτερα πλεῖστα.*

CCCLX. *Θεόφιλος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἰατρός, Ἐπιδαύριος, Παγκρατιαστής, Βοιωτία, Προιτίδες, Νεοπτόλεμος.*

Σιμμ. om. *Eud.* *Σιμιχίδα* vel *Σιμιχίδου* legendum esse docet Theocrit. VII, 21 *Συρακούσιον* pars libr. *κατὰ δέ τινας Κῷος Eud.* 1 *μετῳκ.* — *Συρακ.* om. *Eud.* 4 *ἰστέον* — exit. ab Hesychio aliena esse dixi Mus. Rhen. XXXV p. 212; fortasse ex Proleg. ad Theocrit. carmina desumpta

CCCLVIII *Eud.* p. 376. Cf. Meineke I p. 236 seq. 9 *ἢ Θεοδώρου* om. *Eud.* 9 *Bernhardy*: immo *κ'* 10 *δράματα — πολλά* om. *Eud.*; ineptissima esse constat, cum lectorem qui comicum et historicum confuderat, addidisse *ἔγραψε καὶ ἄλλα πολλά*, recte perspexerit *Bernhardy*. Post haec nonnulla Suidas iteravit ex glossis *Παρία λίθος* et *Φθόη*, quae Aeliano debentur

CCCLIX *Eud.* p. 372. Cf. v. *Ἔφορος* 12 *Δαμοστράτου Photius* bibl. p. 120 13 *κατὰ τοὺς χρόνους τῆς ἀν. Eud.* et pars libr. Suid. 14 *ϙγ' Eud.* Cf. Clinton, fast. p. 385 Kr. 16 *β. β'* **M** *νη' Diod. Sic.* XVI, 3 rem expedivit Müller I p. LXIX *Φιλικά* **EM** *Eud.* 17 *ὡς καὶ αἵ* pro *καὶ Wichers,* de Theop. p. 20 18 *ιβ' Diod. Sic.* XIV, 84 19 *τὰ λοιπά* **BE** *τὰ* om. rel.

CCCLX *Eud.* p. 376. Tractant Meineke I p. 434 seq., Daub, de Suid. p. 484 21 *Ἐπιδαύριος* corr. *Meineke* coll. Athen. X p. 417, *Ἐπίδαυρος* libri *Suid. Eud.*; idem *Παγκρατιαστής* cum *Kustero* revocavit coll. Athen. III p. 95, X p. 417, Polluc. IX, 15, *Παγκράτεια* libri *Suid. Eud.*

CCCLXI. *Θεόφραστος Μελάντα γναφέως, οἱ δὲ Λέοντος, ἀπὸ Ἐρεσσοῦ, ἀκουστὴς Ἀριστοτέλους καὶ διάδοχος τῆς σχολῆς τῆς ἐν τῷ περιπάτῳ ὑπ᾽ αὐτοῦ καταλειφθείσης εἰς Χαλκίδα ἐκδημήσαντος. οὗτος πρότερον ἐκαλεῖτο Τύρταμος, διὰ δὲ τὸ θείως φράζειν ὑπ᾽ Ἀριστοτέλους ἐκλήθη Εὔφραστος, εἶτα Θεόφραστος, ὥσπερ Πλάτων διὰ τὸ ἐν τοῖς λόγοις πλάτος τοῦτο ἐπωνομάσθη, πρότερον καλούμενος Ἀριστοκλῆς. μαθητὰς δὲ ἔσχε πλεῖον ἢ δισχιλίους, ἐρώμενον δὲ τὸν Ἀριστοτέλους υἱὸν τοῦ φιλοσόφου Νικόμαχον. ἐτιμήθη δὲ παρὰ Κασσάνδρῳ τῷ Ἀντιπάτρου, καὶ τελευτᾷ κατάπονος ὑπὸ τοῦ ἀεὶ γράφειν γενόμενος, εἶτα ἐνδοὺς ἐπὶ βραχείας ἡμέρας διὰ μαθητοῦ γάμους. βιβλία δὲ αὐτοῦ πάμπλειστα, ὧν καὶ ταῦτα· ἀναλυτικῶν προτέρων γ΄, ἀναλυτικῶν ὑστέρων ζ΄, ἀναλύσεως συλλογισμῶν, ἀναλυτικῶν ἐπιτομήν, ἀνηγμένων τόπων, περὶ φυτῶν, περὶ λίθων, περὶ μετάλλων, περὶ ὀδμῶν, [τοὺς καλουμένους χαρακτῆρας] καὶ ἄλλα.*

CCCLXII. [*Θεοφύλακτος .. σοφιστής, ᾧ ἐπώνυμον Σιμοκάτης . . .*]

CCCLXIII. *Θέσπις Ἰκαρίου, πόλεως Ἀττικῆς, τραγικὸς ἑκκαιδέκατος ἀπὸ τοῦ πρώτου γενομένου τραγῳδιοποιοῦ Ἐπιγένους τοῦ Σικυωνίου τιθέμενος, ὡς δέ τινες, δεύτερος μετα Ἐπιγένην· ἄλλοι δὲ αὐτὸν πρῶτον τραγικὸν γενέσθαι φασί. καὶ πρῶτον μὲν χρίσας τὸ πρόσωπον ψιμυθίῳ ἐτραγῴδησεν,*

CCCLXI *Eud.* p. 370. Cf. Steph. Byz. v. Ἔρεσος. Cf. Usener, Anal. Theophrast. (Lips. 1858) p. 13 seq., Daub, de Suid. p. 463   1 *Μελάντα* Diog. V, 36 et meliores Suidae libri *Μελάντου* rel.   *οἱ δὲ — Ἐρεσσοῦ* om. *Eud.*   2 *Ἐρισσοῦ* **A** *Ἐρεσοῦ Bernhardy*   *καὶ διάδοχος — γάμους* om. *Eud.* pergens *ἔγραψεν ἀναλυτ. κ. τ. λ.*   8 ex Par. corr. *Kusterus*, *ἢ δύο* vett. edd.   13 *ἀναλύσεις Eud.* *περὶ ἀναλύσεως* Diog. V, 2 mox *ἀναλυτικά* pars libr.   14 *τύπων* coni. *Kusterus* *λόγων Brandis* *τόπων* **ABVE** edd. vett.   15 sic **A** *περὶ λίθ., περὶ φυτ. vulg.*   post *ὀδμῶν Eud.* (**Ald. M** al.) add. *καὶ τοὺς καλουμένους Χαρακτῆρας* om. **ABVE**, quapropter expunxit *Gaisford*, a Demetrio Chalcondyla inserta esse non probavit Pulch p. 75, *ἠθικοὶ χαρακτῆρες* legitur Diog. l. c. 16 Add. Suidas epigramma Anthol. Pal. VII, 110

CCCXLII Cf. *Σιμοκάττης*. De origine glossae dixi Mus. Rhen. XXXV p. 229 seq.

CCCLXIII *Eud.* p. 376. Cf. Welcker, Gr. Trag. p. 16   19 *Ἰκαριεύς* coni. *Reinesius* coll. v. *Μάγνης*; sed cf. Meineke I p. 30   20 *τραγῳδοποιοῦ Eud.*   21 *ὡς δέ τινες — φασι* om. *Eud.*   *δεύτερον* **ABE** *vulg.* corr. *Kusterus*   22 *ἄλλοι δὲ αὐτὸν πρῶτον τραγικὸν γενέσθαι φασίν, ὡς δέ τινες, δεύτερον μετὰ Ἐπιγένην* tentavit *Bernhardy*   23 *ψιμιθίῳ* **A**

εἶτα ἀνδράχνῃ ἐσκέπασεν ἐν τῷ ἐπιδείκνυσθαι, καὶ μετὰ ταῦτα εἰσήνεγκε καὶ τὴν τῶν προσωπείων χρῆσιν ἐν μόνῃ ὀθόνῃ κατασκευάσας. ἐδίδαξε δὲ ἐπὶ τῆς πρώτης καὶ ξ' ὀλυμπιάδος. μνημονεύεται δὲ τῶν δραμάτων αὐτοῦ Ἆθλα Πελίου ἢ Φόρβας, Ἱερεῖς, Ἠΐθεοι, Πενθεύς.

CCCLXIV. Θέσσαλος Κῷος ἰατρός, υἱὸς Ἱπποκράτους τοῦ διασήμου, οὗ πάλιν υἱοὶ Γοργίας καὶ Ἱπποκράτης. ἰατρικῶν βιβλία γ'.

CCCLXV. Θέων Ἀλεξανδρεύς, φιλόσοφος Στωικός, γεγονὼς ἐπὶ Αὐγούστου μετὰ Ἄρειον. ἔγραψε τῆς Ἀπολλοδώρου φυσιολογικῆς εἰσαγωγῆς ὑπόμνημα, περὶ τεχνῶν ῥητορικῶν βιβλία γ'.

CCCLXVI. Θέων Σμυρναῖος φιλόσοφος.

καὶ Θέων Ἀντιοχείας τῆς ἐν Δάφνῃ, φιλόσοφος Στωικός. ἔγραψεν ἀπολογίαν Σωκράτους.

CCCLXVII. Θέων ὁ ἐκ τοῦ Μουσείου, Αἰγύπτιος φιλόσοφος, σύγχρονος δὲ Πάππῳ τῷ φιλοσόφῳ, καὶ αὐτῷ Ἀλεξανδρεῖ. ἐτύγχανον δὲ ἀμφότεροι ἐπὶ Θεοδοσίου βασιλέως τοῦ πρεσβυτέρου. ἔγραψε μαθηματικά, ἀριθμητικά, περὶ σημείων καὶ σκοπῆς ὄρνεων καὶ τῆς κοράκων φωνῆς, περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς, περὶ τῆς τοῦ Νείλου ἀναβάσεως, εἰς τὸν Πτολεμαίου πρόχειρον κανόνα, καὶ εἰς τὸν μικρὸν ἀστρόλαβον ὑπόμνημα.

CCCLXVIII. Θέων Ἀλεξανδρεὺς σοφιστής, ὃς ἐχρημάτισεν Αἴλιος. ἔγραψε τέχνην, περὶ προγυμνασμάτων, ὑπόμνημα

---

2 ἐν μόνῃ — ὀλυμπιάδος om. *Eud.* 4 δράματα αὐτοῦ *Eud.* Insequentium tragoediarum et titulos et fragmenta Heraclidis Pontici (Diog. V, 92) fraudi deberi iam perspexit *Bentley*. De Heraclidis opere, quod συναγωγὴ τῶν ἐν τῇ μουσικῇ διαλαμψάντων inscribitur, v. Bergk, Lit. Gr. I p. 404 5 ἢ om. *Eud.* Φόρβας corr. *Welcker* Φορβάς libri et edd. ante *Bernhardyum*

CCCLXIV 7 ἰατρικά **VE** ἰατρία **B** 8 βιβλία γ' **VE** β. τρία **A** β. ξξ *vulg.*

CCCLXV *Eud.* p. 370. De Theonibus cf. Daub, Stud. p. 53 seq. 9 στωικὸς ἐπὶ Αὐγούστου ἔγραψε — *Eud.*, quae deinde verborum ordinem paulo invertit 10 de Ario v. Diels, Dox. p. 83 not., Giese, de Theon. p. 5 11 τέχνης ῥητ. **E** hoc iuniori Th. dat *Gutschmid*

CCCLXVI *Eud.* l. c. 14 Ἀντιοχεὺς *vulg.* Ἀντιοχείας **ABE**

CCCLXVII *Eud.* l. c., quae incipit καὶ ἄλλος πρὸς τούτοις 16 τοῦ om. *Eud.*

CCCLXVIII *Eud.* p. 373 25 τέχνην περὶ προγυμνασμάτων *Finckhius* ad Theon. p. XII. idem praebet *Eud.*, refutavit Giese p. 17; ὑπομ. Valerii esse suspicatur *Gutschmid*

εἰς Ξενοφῶντα, εἰς Ἰσοκράτην, εἰς Δημοσθένην, ῥητορικὰς ὑποθέσεις καὶ ζητήματα περὶ συντάξεως λόγου καὶ ἄλλα πλείονα.

CCCLXIX. Θέων ὁ Οὐαλέριος χρηματίσας, σοφιστής. ὑπόμνημα εἰς Ἀνδοκίδην.

CCCLXX. Θέων Γυμνασίου τοῦ σοφιστοῦ παῖς, Σιδώνιος σοφιστής, ⟨καὶ⟩ ἀπὸ ὑπάτων καὶ ὕπαρχος, παιδεύσας κατὰ τὴν πατρίδα, γενόμενος δὲ ἐπὶ τοῦ βασιλέως Κωνσταντίνου.

CCCLXXI. Θέων σοφιστὴς λόγων ῥητορικῶν, γεγονὼς ἀπὸ τῆς ἱερᾶς Μαρκέλλης τό γε ἀνέκαθεν, τὸ δὲ ἐξ ὑπογύου πατρόθεν ἀπὸ Ἐκδικίου, διδασκάλου καὶ τούτου τέχνης ῥητορικῆς. [ἦν δὲ οὗτος ὁ Θέων οὐ μάλα ἀγχίνους οὐδὲ ὀξύς, φιλομαθὴς δὲ καὶ φιλόπονος εἰς ὑπερβολήν. ταῦτά τοι καὶ ἐγεγόνει πολυμαθέστατος ἐν ὀλίγῳ χρόνῳ, πολλὴν μὲν ἀρχαίαν ἱστορίαν, πολλὴν δὲ νέαν περιβαλλόμενος.]

CCCLXXII. Θηραμένης Ἀθηναῖος ῥήτωρ, μαθητὴς Προδίκου τοῦ Κείου, ὃς ἐπεκαλεῖτο Κόθορνος. ⟨ἀνῃρέθη δὲ κατηγορήσαντος αὐτοῦ Κριτίου ἐπὶ τῶν λ⟩. μελέτας ῥητορικὰς καὶ ἄλλα τινά.

CCCLXXIII. Θηραμένης Κεῖος σοφιστής. μελετῶν βιβλία γʹ, περὶ ὁμοιώσεως λόγου, περὶ εἰκόνων, ἤτοι παραβολῶν, περὶ σχημάτων.

CCCLXIX *Eud.* l. c., quae incipit καὶ ἕτερος σοφ. pergens φέρεται αὐτοῦ 3 πλεῖστα *Daub* 4 Χαλέριος V

CCCLXX *Eud.* l. c., quae incipit ἔστι καὶ ἄλλος Σιδ., σοφιστὴς καὶ αὐτός, Γυμν. τ. σ. παῖς, παιδ. κατὰ τὴν πατρίδα Κωνστ. reliquis omissis 5 Th. Aelio dedit *Giese* 7 post σοφιστής inserui verba, quae s. fin. libri exhibent, morem Hesychianum secutus, καὶ merito expungens (cf. v. Τριβων. Σέργιος al.) 8 ὑπὸ τοῦ ABVE

CCCLXXI *Eud.* l. c. 9 καὶ ἄλλος λογ. ῥητ. σοφ. *Eud.* 10 ὑπογείου *vulg. Eud.* Αἰγύπτου V 11 Ῥαδικίου *Eud.* καὶ τούτου — ῥητορ. om. *Eud.* pergens ἔγραψε τέχνην ῥητ., ἀρχ. ἱστορ. καὶ ἄλλα τινά, καὶ οὗτος *vulg.* κ. τούτου ABVE. Quae seclusi add. Suidas ex Damascio Phot. p. 339

CCCLXXII *Eud.* p. 373 18 μελέτας a iunioribus sophistis fictas censet *Ruhnken.* hist. or. Gr. p. XLI. Verba ἀνῃρέθη δὲ seq. ex insequente glossa inserui, quae legitur etiam Phot. lex. v. Θηραμένης. οὗτος ἀνῃρέθη plur. codd. 19 τινά om. *Eud.* Vitam usque ad κάθορνος praebet etiam schol. Lucian. Amor. 50

CCCLXXIII *Eud.* p. 374 constat non de duobus rhetoribus agi, sed de uno 20 Κεῖος ab Aristophanis dicto profectum (Ran. 978—980) ἔγραψε add. *Eud.*

CCCLXXIV. *Θησεὺς* ἱστορικός. βίους ἐνδόξων ἐν βιβλίοις ε', Κορινθιακὰ ἐν βιβλίοις γ', ἐν ᾧ δηλοῖ τὴν κατάστασιν τοῦ Ἰσθμιακοῦ ἀγῶνος.

CCCLXXV. *Θουκυδίδης* Ὀλόρου Ἀθηναῖος, παῖδα δὲ ἔσχε Τιμόθεον. ἦν δὲ ἀπὸ μὲν πατρὸς Μιλτιάδου τοῦ στρατηγοῦ τὸ γένος ἕλκων, ἀπὸ δὲ μητρὸς Ὀλόρου τοῦ Θρακῶν βασιλέως, μαθητὴς Ἀντιφῶντος. ἤκμαζε κατὰ τὴν πζ' ὀλυμπιάδα. ἔγραψε δὲ τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων. [οὗτος ἤκουσεν ἔτι παῖς τυγχάνων Ἡροδότου ἐπὶ τῆς Ὀλυμπίας τὰς ἱστορίας διερχομένου ἃς συνεγράψατο, καὶ κινηθεὶς ὑπό τινος ἐνθουσιασμοῦ πλήρης δακρύων ἐγένετο. καὶ ὁ Ἡρόδοτος κατανοήσας τὴν αὐτοῦ φύσιν πρὸς τὸν πατέρα Θουκυδίδου Ὄλορον ἔφη 'μακαρίζω σε τῆς εὐτεκνίας, Ὄλορε· ὁ γὰρ σὸς υἱὸς ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα'. καὶ οὐκ ἐψεύσθη γε τῆς ἀποφάσεως.]

[οὗτος ὁ Θουκυδίδης ἀνὴρ ἦν πολὺς ταῖς τέχναις καὶ κάλλει λόγων καὶ ἀκριβείᾳ πραγμάτων καὶ στρατηγικαῖς συμβουλίαις καὶ πανηγυρικαῖς ὑποθέσεσιν.]

CCCLXXVI. *Θρασύμαχος* Χαλκηδόνιος σοφιστὴς τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος, ὃς πρῶτος περίοδον καὶ κῶλον κατέδειξε, καὶ τὸν νῦν τῆς ῥητορικῆς τρόπον εἰσηγήσατο, μαθητὴς Πλάτωνος τοῦ φιλοσόφου καὶ Ἰσοκράτους τοῦ ῥήτορος.

CCCLXXIV *Eud.* p. 377. Cf. Müller IV p. 518, Daub, Stud. p. 4
1 ἔγραψε τοὺς τῶν ἐνδ. *Eud.* post ἐνδόξων genetivum nominis cuiuspiam desiderabat *Bernhardy*, improbantibus *Daubio* et *Gutschmidio*
2 κορινθιακῶν libri Κορινθιακά corr. *Müller* Κορινθιακόν *Daub*
3 Ἰσθμικοῦ **E** *Eud.* ἰσμικοῦ **A**. Verba ἐν ᾧ — exit. forte lectori deberi suspicatus sum; ἐν οἷς καὶ περὶ καταστάσεως τ. Ἰ. ἀγ. *Eud.* fort. οἷς pro ᾧ corrig.

CCCLXXV *Eud.* p. 377 4 Ἀθην. μαθ. Ἀντιφ. *Eud.* rel. omissis ad ὀλυμπιάδα 5 μητρὸς Μιλτ. — πατρὸς Ὀλόρου *vulg.* rectam lectionem offerebant **AVBE** ἀπὸ ante Μιλτ. et Ὀλ. desiderabat *Hemsterhusius* Ὀλώρου **AVE** 8 Πελοπ. καὶ Ἀθ. πόλ. *Eud.* pergens ἤκουσε δὲ ἔτι παῖς τυγχάνων καὶ Ἡροδότου rel. omissis 9 οὗτος — ἀποφάσεως accessit ex Phot. bibl. p. 19 vel vit. Marcellin. p. 198 Westerm., nec minus οὗτος — ὑποθέσεσιν ex vit. Marcellin. p. 186 (§ 1) Ἡρόδοτος **V**
10 ἱστορίας αὐτοῦ *vulg.* αὐτοῦ om. **ABVE** διερχόμενος **BVE**
15 ἀποφάνσεως *vulg.*, ex Par. corr. *Kusterus* 16 καὶ ante κάλλει inserui secutus *Bernhardyum*, om. libri, τε post κάλλει mavult *Daub*

CCCLXXVI *Eud.* p. 374. Cf. Blass, Att. Bered. I p. 240 seq.
19 Χαλκιδόνιος *vulg.* *Eud.*, quae mox om. Χαλκηδόνος, Χαλκηδόνιος **A** Καρχηδόνιος **BE** Καλχηδόνιος **V**

ἔγραψε συμβουλευτικούς, τέχνην ῥητορικήν, παίγνια, ἀφορμὰς ῥητορικάς.

CCCLXXVII. *Ἰάκωβος Ἡσυχίου υἱὸς ἰατροῦ, ὁ ἐπικληθεὶς ψυχριστής, ἐκ τοῦ ἐξάρχου Δαμασκηνοῦ. εἰς Ῥόδον δὲ γενομένου τοῦ πατρός, εἶτα εἰς Δρέπανον τὸ ἐν Ἄργει ἐλθόντος, κἀκεῖ γήμαντος τὴν ἐξ αὐτοῦ τεκοῦσαν τὸν Ἰάκωβον, καταλιπόντος δὲ τήν τε γαμετὴν καὶ τὸν παῖδα, καὶ ἐκδημήσαντος ἐπὶ ἔτη ιθ´ εἴς τε Ἀλεξάνδρειαν καὶ Ἰταλίαν, καὶ οὐδὲ περιεῖναι δοκοῦντος· ὅθεν γαμεῖται μὲν ἡ Ἰακώβου μήτηρ δευτέρῳ ἀνδρί, καὶ παίδων αὐτῇ γενομένων ἀρρένων δύο καὶ θηλείας τελευτᾷ τὸν βίον ὁ γαμήσας αὐτήν, ἐπάνεισι δὲ Ἡσύχιος εἰς Κωνσταντινούπολιν· ὅπερ γνοὺς Ἰάκωβος ἦλθε πρὸς αὐτόν, καὶ τότε παιδείας ἤρξατο, καὶ ἰάτρευσεν ἐν Κωνσταντινουπόλει ἐπὶ Λέοντος βασιλέως.*

CCCLXXVIII. *Ἰάμβλιχος. οὗτος, ὥς φασιν, ἀπὸ δούλων ἦν, ἔγραψε δὲ τὰ καλούμενα Βαβυλωνιακά (ἔστι δὲ Ῥοδάνου καὶ Σινωνίδος ἔρως ἐν βιβλίοις λθ´). [οὗτος λέγει περὶ Ζωβαρᾶ τοῦ εὐνούχου τοῦ ἐραστοῦ τῆς Μεσοποταμίας τῆς εὐειδεστάτης.]*

CCCLXXIX. *Ἰάμβλιχος ἕτερος, Χαλκίδος τῆς Συρίας, φιλόσοφος, μαθητὴς Πορφυρίου τοῦ φιλοσόφου τοῦ Πλωτίνου, γεγονὼς κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ βασιλέως. ἔγραψε βιβλία φιλόσοφα διάφορα.*

---

1 *συμβουλευτικάς* **V** 2 Huic vitae locum Michaelis Nossaitae adscripsit Suidas. Ceterum cf. schol. Platon. VI p. 275 Herm.: *ὁ Χαλκηδόνιός ἐστιν ὁ Θρασύμαχος, ὃς ἐδίδαξιν, ὡς δεῖ οἶκτον ἐγείρειν τὸν δικαστὴν καὶ ἐπισπᾶσθαι ἔλεον, γῆρας, πενίαν, τέκνα ἀποδυρόμενον καὶ τὰ ὅμοια*

CCCLXXVII om. *Westerm.* De vita disputavi Mus. Rhen. XXXV p. 232 seq. Cf. de eodem Damasc. apud Phot. p. 344 a.; a quo Hesychius pendet 4 *ψυχόχριστος vulg.*, quod corr. *Salmasius*, *ψύχριστος Kusterus* *εἰς τὸ ἐξάρχου vulg.* corr. *Kust.* *ἐκ πάππου ἐξ. Gutschmid* 8 *καὶ οὐ vulg.* *καὶ οὐδὲ* **A** *καὶ τοῦδε* **V** 10 *ἀρρένων* om. **ABE** 11 *δύο* accessit ex **ABVE**

CCCLXVIII Cf. Phot. bibl. p. 73 et quae dixit Rohde, Gr. Roman p. 361 not. 16 *Βαβυλωνικά vulg.* *Βαβυλωνιακά* **AV** *ῥοδν̃* **V** 17 *Συνωνίδος* **A** *λε´* **cod. Vat.** apud *Mai*, Nova Patr. coll. II p. 348 (Phot. *ἐν οἷς ὁ ις λόγος* sc. *συμπληροῦται*), quibus de discrepantiis dubitanter egit *Rohde*, l. c. p. 364 not. 2 17 seq. Suidae debentur 18 *Μεσοποταμίας* **A** Phot. *μεσόπτης* **BE** edd. vett.

CCCLXXIX *Eud.* p. 396. Cf. Eunap. I p. 11 seq. 20 *Ἰάμβλ. ὁ φιλ.* om. *ἕτερος Eud.* 21 *Πλωτίνου ἀκουστοῦ vulg. Eud.* *ἀκουστοῦ* om. **ABVE** 23 *διαφ. β. φ. Eud.* *καὶ φιλόσοφα* **BE**

CCCLXXX. *Ἰάσων Ἀργεῖος ἱστορικός, νεώτερος Πλουτάρχου τοῦ Χαιρωνέως, [γραμματικός]. ἔγραψε περὶ τῆς Ἑλλάδος βιβλία δ' (ἔχει δὲ ἀρχαιολογίαν Ἑλλάδος, καὶ τὰ ἀπὸ τῶν Μηδικῶν, τά τε κατ' Ἀλέξανδρον ἕως τελευτῆς αὐτοῦ καὶ τὰ μέχρι Ἀθηναίων ἁλώσεως τῆς γενομένης ὑπὸ Ἀντιπάτρου τοῦ πατρὸς Κασάνδρου).*

CCCLXXXI. *Ἰάσων Μενεκράτους, Νυσαεὺς ἐκ πατρός, ἀπὸ δὲ μητρὸς Ῥόδιος, φιλόσοφος, μαθητὴς καὶ θυγατριδοῦς καὶ διάδοχος τῆς ἐν Ῥόδῳ διατριβῆς Ποσειδωνίου τοῦ φιλοσόφου. ἔγραψε βίους ἐνδόξων, καὶ φιλοσόφων διαδοχὰς καὶ βίον Ἑλλάδος ἐν βιβλίοις δ' κατά τινας. [οὗτος] ἔγραψε καὶ περὶ Ῥόδου.*

CCCLXXXII. *Ἴβυκος Φυτίου (οἱ δὲ Πολυζήλου τοῦ Μεσσηνίου ἱστοριογράφου, οἱ δὲ Κέρδαντος), γένει Ῥηγῖνος, ἐνθένδε εἰς Σάμον ἦλθεν, ὅτε αὐτῆς ἦρχεν ὁ Πολυκράτης ὁ τοῦ τυράννου πατήρ· χρόνος δὲ ἦν οὗτος ἐπὶ Κροίσου ὀλυμπιὰς νδ'. γέγονε δὲ ἐρωτομανέστατος περὶ μειράκια καὶ πρῶτος εὗρε τὴν καλουμένην σαμβύκην (εἶδος δέ ἐστι κιθάρας τριγώνου). ἔστι δὲ αὐτοῦ τὰ βιβλία ζ' τῇ Δωρίδι διαλέκτῳ. [συλληφθεὶς δὲ ὑπὸ λῃστῶν ἐπ' ἐρημίας ἔφη κἂν τὰς γεράνους, ἃς ἔτυχεν ὑπερίπτασθαι, ἐκδίκους γενέσθαι. καὶ αὐτὸς μὲν ἀνῃρέθη, μετὰ δὲ ταῦτα τῶν λῃστῶν εἷς ἐν τῇ πόλει θεασάμενος γεράνους ἔφη 'ἴδε, αἱ Ἰβύκου ἔκδικοι'.*

CCCLXXX *Eud.* p. 399. Cf. Müller, Script. Alex. p. 139, Daub, Stud. p. 29   2 *γραμματικός* om. *Eud.* absurdum esse patet *ἱστ. νεώτ., Π. τ. Χ. γραμματεύς Gutschmid*   4 *Ἀλεξάνδρου* **A**   5 *τὰ* ante *μέχρι* om. **A** (hinc corrigas Gaisford.)

CCCLXXXI *Eud.* p. 396. Cf. Müller, Script. Al. p. 159   7 *Νυσσαεύς* **A**   11 *οὗτος* om. *Eud.*, certe ab Hesychii stilo alienum est, cui ne sequentia quidem videntur deberi

CCCLXXXII *Eud.* p. 403 quae postquam ex Hesychio descripsit *Ἴβ. Φυτ. υἱός, ποιητής, ἔγραψε Δωρίδι διαλέκτῳ βιβλία ζ'* narratiunculam adiunxit ex Nemesio, de nat. hom. c. 42 de morte Ibyci a Suida diversam. Cf. etiam Welcker, Mus. Rhen. a. 1834 p. 214 seq. Pulch, de Viol. p. 85   12 *Πολυζύλου* **V**.   13 *ἱστ.* **ABVE** *τοῦ ἱστορ.* rel. *οὐ τοῦ ἱστοριογράφου Bothius*, errorem latere putant *Müller* et *Gutschmid*   14 *ὁ τοῦ τυράννου πατήρ* pro commenticiis habet *Bernhardy*, alterum *ὁ* om. **ABVE** *ὅτι Αἰάκης ἦρχεν ὁ Πολυκ. τοῦ τυρ. πατήρ Gutschmid* coll. Polyaen. VI, 45   15 *ἦν* solus **V** dedit *ὁ ἐπὶ Κροίσου* **A** *vulg.* *ὁ* om. **BE**   19 de hac fabula, quam Hesychius certe hic non inseruit, cf. praeter Nemesii locum Plut. de garrul. p. 509, Iamblich. vit. Pyth. I, 27, Paroem. I p. 13; Welcker, Mus. Rhen. 1833 p. 401 seq., Schneidewin., Ibyc. carm. p. 22 seq.   21 *ἐν τῇ πόλει* om. **E**

ἀκούσαντος δέ τινος καὶ ἐπεξελθόντος τῷ εἰρημένῳ, τό τε γεγονὸς ὡμολογήθη καὶ δίκας ἔδωκαν οἱ λῃσταί, ὡς ἐκ τούτου καὶ παροιμίαν γενέσθαι 'αἱ Ἰβύκου γέρανοι'.]

CCCLXXXIII. *Ἰδαῖος Ῥόδιος, υἱὸς Λισσοῦ, ἐποποιός. παρεμβαλὼν στίχον στίχῳ ἐδίπλασε τὴν ποίησιν Ὁμήρου. Ῥοδιακὰ εἰς ἔπη ,γ. ἔγραψε καὶ ἄλλα.*

CCCLXXXIV. *Ἰδομενεὺς ἱστορικός. ἔγραψεν ἱστορίαν τῶν κατὰ Σαμοθράκην.*

CCCLXXXV. *Ἱεροκλῆς φιλόσοφος Ἀλεξανδρεύς.* [*οὗτος μετὰ τοῦ ἀτρέπτου καὶ μεγαλοπρεποῦς εὔρους τε τὴν διάνοιαν εἰς ὑπερβολὴν καὶ διαφέρων εὐγλωττίᾳ καὶ εὐπορίᾳ τῶν καλλίστων ὀνομάτων καὶ ῥημάτων κατέπληττε πανταχοῦ τοὺς ἀκροωμένους. ἦν δὲ αὐτῷ καὶ μαθητὴς Θεοσέβιος, ἀνήρ, εἴπερ τις ἕτερος ὧν ἡμεῖς ἴσμεν, εἰωθὼς ἀποβλέπειν ἐς τὰς τῶν ἀνθρώπων ψυχάς. ἔλεγε δὲ ὁ αὐτὸς Θεοσέβιος ἐξηγούμενον φάναι ποτὲ τὸν Ἱεροκλέα, κύβοις ἐοικέναι τοὺς Σωκράτους λόγους· ἀπτῶτας γὰρ εἶναι πανταχοῦ, ὅπῃ ἂν πέσωσι. τοῦ δὲ Ἱεροκλέους τὸ ἀνδρεῖον καὶ μεγαλόθυμον ἦθος ἀπέδειξεν ἡ συμβᾶσα τύχη περὶ αὐτόν. εἰς γὰρ τὸ Βυζάντιον ἀνελθὼν προσέκρουσε τοῖς κρατοῦσι, καὶ εἰς δικαστήριον ἀχθεὶς ἐτύπτετο τὰς ἐξ ἀνθρώπων πληγάς· ῥεόμενος δὲ τῷ αἵματι, βάψας κοίλην τὴν χεῖρα, προσραίνει τὸν κριτὴν ἅμα λέγων 'Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα'. φυγὴν δὲ κατακριθεὶς καὶ ἐπανελθὼν χρόνῳ ὕστερον εἰς Ἀλεξάνδρειαν συνεφιλοσόφει τὰ εἰωθότα τοῖς πλησιάζουσιν. ἔξεστι δὲ μαθεῖν τὴν Ἱεροκλέους μεγαλογνώμονα φρόνησιν ἀπὸ τῶν συγγραμμάτων ὧν γέγραφεν εἰς τὰ χρυσᾶ ἔπη τῶν Πυθαγορείων, καὶ ἑτέρων βιβλίων περὶ προνοίας συχνῶν, ἐν οἷς φαίνεται ὁ ἀνὴρ τὴν μὲν ζωὴν ὑψηλόφρων, τὴν δὲ γνῶσιν οὐκ ἀκριβής.*]

CCCLXXXIII *Eud.* p. 403. Cf. Düntzer, Ep. fr. II p. 113 4 ὃς post *ἐποποιός* addi vult *Bernhardy* 6 *Ῥόδια vulg. Ῥοδιακά Bernhardy* cui iure displicent *ἔγραψε καὶ ἄλλα* ante *Ῥόδια* collocata; itaque ad finem vitae reieci, *ἔγραψε καὶ Ἆθλα Ῥόδια Gutschmid*

CCCLXXXIV Alium esse Idomeneum Spartanum apud Diog. X, 3 et 10 et Strabon. XIII p. 589 putavit *Reinesius*, mire lapsus: nam ipse ille Lampsacenus est, de quo dixit Müller II p. 490 8 *τῶν* corr. Clinton, fast. III p. 488, Lobeck Aglaoph. p. 1266 *τὴν vulg.*

CCCLXXXV 9 *οὗτος* — exit. *Suidas* adscripsit ex Damasc. apud Phot. p. 338b Hesychii vita neglecta. Cf. Mus. Rhen. XXXV p. 213

CCCLXXXVI. *Ἱερώνυμος Καρδιανός, ὃς τὰ ἐπ' Ἀλεξάνδρῳ πραχθέντα συνέγραψε. [Καρδία δὲ ὄνομα πόλεως.]*

CCCLXXXVII. *Ἱμέριος Ἀμεινίου ῥήτορος, Προυσιάδος τῆς Βιθυνίας, σοφιστὴς τῶν ἐπὶ Ἰουλιανοῦ τοῦ βασιλέως, ἀντιπαιδεύσας Προαιρεσίῳ ἐν Ἀθήναις, πηρὸς τὰς ὄψεις ἐν γήρᾳ. ἔγραψε μελέτας.*

CCCLXXXVIII. *Ἰόβας Λιβύης καὶ Μαυρουσίας βασιλεύς, ὃν λαβόντες καὶ μαστιγώσαντες ἐπόμπευσαν οἱ Ῥωμαῖοι, οὐ μὴν ἀνεῖλον διὰ τὴν παίδευσιν. ἦν δὲ ἐπὶ Αὐγούστου Καίσαρος, καὶ τὴν Κλεοπάτρας θυγατέρα Σελήνην, ἣν ἐκ τοῦ Καίσαρος Γαΐου γενομένην ἐπεποίητο, γυναῖκα εἰλήφει. συνήκμαζε δὲ αὐτῷ Δίδυμος ὁ Χαλκέντερος ὁ καὶ πολλὰ γράψας κατ' αὐτοῦ. ἔγραψε πάνυ πολλά.*

CCCLXXXIX. *Ἰουλιανὸς Χαλδαῖος φιλόσοφος, πατὴρ τοῦ κληθέντος θεουργοῦ Ἰουλιανοῦ. ἔγραψε περὶ δαιμόνων βιβλία δ'.... ἀνθρώπων δέ ἐστι φυλακτήριον πρὸς ἕκαστον μόριον, ὁποῖα τὰ τελεσιουργικὰ Χαλδαϊκά.*

CCCXC. *Ἰουλιανὸς ὁ τοῦ προλεχθέντος υἱός, γεγονὼς ἐπὶ Μάρκου Ἀντωνίνου τοῦ βασιλέως. ἔγραψε καὶ*

CCCLXXXVI Cf. Müller II p. 450 seq., Hiller, Hieron. Rhod. fr. (Berol. 1879) p. 35 vel Sat. phil. p. 117 Suidanam esse, non Hesychianam vitam propter stili diversitatem putat *Daub* 1 ἐπ' Ἀλεξάνδρου V, quod praefert *Gaisford* ἐπ' Ἀλεξάνδρῳ (post Alexandrum) *Leopardus*, Emendat. XI, 9 ἐπ' Ἀλεξανδρείᾳ libri ὑπ' Ἀλεξάνδρου *Fabricius* II p. 219, ἀπ' Ἀλ. *Gutschmid* 2 Καρδία — exit. cum ad glossam grammaticam spectet, iure expunxit *Westerm.*

CCCLXXXVII Cf. Eunap. I p. 95 4 τοῦ add. **AV** om. *vulg.* 6 de μελέται v. Phot. bibl. p. 107 et p. 353 seq.

CCCLXXXVIII Tractat Müller III p. 465 not. 2 8 Nil de hac verberatione Dionem vel alium narrasse monuit *Reinesius*. Cf. Bernhardy: „mihi videtur, quod de vindicta libertatis traditum invenisset, paulo pinguius ille accepisse". Müllero delamationem rhetoris cuiusdam redolere videntur, auctorem coniectura id effecisse, cum more maiorum qui per triumphum ducti fuerant, verberati necarentur, putat *Gutschmid*; idem errasse Hesychium cum Iubam Λιβύης καὶ Μαυρ. regem vocet, monuit 10 Selenen non Caesaris filiam fuisse sed M. Antonii monet *Müller* 12 χαλκεαίτερος **V** 13. πολλὰ πάνυ **A** πάνυ πολλά rel.

CCCLXXXIX 14 ὁ ante Χαλδαῖος om. libri, quod revocandum esse putavit *Bernhardy* 16 ante ἀνθρώπων lacunam indicavi secutus *Bernhardyum* ἀνθρώπων — exit. expunxit *Westerm.* ἔστι om. **A**

CCCXC Totam vitam om. *Westerm.* 19 de Scriptis huius generis v. Lobeck, Aglaoph. p. 730

αὐτὸς θεουργικά, τελεστικά, λόγια δι' ἐπῶν καὶ ἄλλα, ὅσα τῆς τοιαύτης ἐπιστήμης κρύφια τυγχάνουσι.

CCCXCI. *Ἰουλιανὸς Δόμνου, ἀπὸ Καισαρείας ⟨τῆς⟩ Καππαδοκίας, σοφιστής, σύγχρονος Καλλινίκου τοῦ σοφιστοῦ γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως.*

CCCXCII. *Ἰουλιανὸς ὁ παραβάτης καὶ ἀποστάτης, Ῥωμαίων βασιλεύς, Κωνσταντίνου βασιλέως τοῦ μεγάλου ἀνεψιὸς ἀπὸ Δαλμάτου ἀδελφοῦ αὐτοῦ καὶ μητρὸς Γάλλας [τοὔνομα.] ἔγραψε τοὺς καλουμένους Καίσαρας (περιέχει δὲ τοὺς ἀπὸ Αὐγούστου Ῥωμαίων βασιλεῖς), ἑτέραν βίβλον περὶ τῶν τριῶν σχημάτων, καὶ τὰ καλούμενα Κρόνια, καὶ τὸν Μισοπώγωνα ἢ Ἀντιοχικόν, περὶ τοῦ πόθεν τὰ κακὰ καὶ πρὸς τοὺς ἀπαιδεύτους, πρὸς τὸν κύνα Ἡράκλειον, πῶς κυνιστέον, ἐπιστολὰς παντοδαπὰς καὶ ἄλλα.*

CCCXCIII. *[Ἰουστῖνος φιλόσοφος καὶ τῷ σχήματι τῶν φιλοσόφων χρώμενος, ἀπὸ τῆς Νεαπολιτῶν ἐπαρχίας τῆς Παλαιστίνης, ἐκ πατρὸς Πρίσκου τοῦ Βακχείου. οὗτος ὑπὲρ τῆς θρησκείας τῶν χριστιανῶν πάνυ ἐκοπίασεν, ὥστε καὶ Ἀντωνίνῳ τῷ ἐπίκλην Πίῳ καὶ τοῖς τούτου υἱέσι καὶ τῇ συγκλήτῳ Ῥωμαίων βίβλον κατὰ τῶν ἐθνῶν συνταγεῖσαν ἐπιδοῦναι, τὸν ὀνειδισμὸν τοῦ σταυροῦ μὴ αἰσχυνόμενος. ἔγραψε καὶ ἑτέραν βίβλον, ἣν καὶ ἐπέδωκε τοῖς Ἀντωνίνου διαδόχοις, τουτέστι Μάρκῳ Ἀντωνίνῳ καὶ Λουκίῳ Αὐρηλίῳ Κομόδῳ. ἔστι καὶ ἄλλη αὐτοῦ βίβλος κατὰ τῶν ἐθνῶν, ἐν ᾗ περὶ τῆς φύσεως τῶν δαιμόνων διαλέγεται. καὶ τετάρτη βίβλος ὁμοίως κατὰ τῶν ἐθνῶν, ἣν ἐπέγραψεν ἔλεγχος. καὶ ἄλλη περὶ τῆς τοῦ θεοῦ μοναρχίας. καὶ ἄλλην ἣν ὠνόμασε ψάλτην, καὶ ἑτέραν περὶ ψυχῆς, διάλογόν τε κατὰ τῶν Ἰουδαίων, ὃν ἐσχεδίασε κατὰ Τρύφωνος ἀρχηγοῦ τῶν ἐν Ἐφέσῳ Ἰουδαίων. οὐ μὴν ἀλλὰ καὶ κατὰ Μαρκίωνος ἐπίσημα τεύχη ἐξέδωκε*

CCCXCI. Cf. Eunap. II p. 250 seq. Boiss. 3 *τῆς* inserui cum *Westerm.* om. libri 4 *Καλλινίκου* seq. ex **ABVE** *Gaisford Καλλινίκῳ* seq. *vulg.*

CCCXCII 11 *σχημάτων* suspect. *Bernhardyo* cognomini vindicat *Gutschmid* *Κρόνεια* **E** 12 *καὶ* **AE** *καὶ πρὸς* **V** *κατὰ vulg.* 13 *καὶ* post *ἀπαιδεύτους* add. **V**, quod *κύνας* significare non probavit *Bernhardy*, *κύνας* inseruit *Bekker* 13 *Ἡράκλειον* corr. *Bernhardy* *Ἡράκλειτον vulg.*

CCCXCIII om. *Westerm.*, num Hesychii sit, incertum 17 seq. ex *Hieronym.-Sophron.* c. 23 compilata esse videntur

καὶ ἄλλην βίβλον κατὰ πασῶν τῶν αἱρέσεων, ἧς μέμνηται ἐν τῷ ἀπολογητικῷ, ὃν ἐπέδωκεν Ἀντωνίνῳ τῷ Πίῳ. οὗτος ἐν τῇ Ῥώμῃ ἔχων τὰς διατριβάς, εὐθύνων Κρίσκην τὸν κυνικὸν τὸν κατὰ τῶν χριστιανῶν βλασφημοῦντα, καὶ καλῶν αὐτον λαίμαργον ἄσωτόν τε καὶ ἀκόλαστον καὶ τὸν θάνατον φοβούμενον, τέλος τῇ τούτου ἐνεργείᾳ καὶ ἐπιβουλῇ ὡς χριστιανὸς ὑπὲρ Χριστοῦ ἔπαθεν.]

CCCXCIV. [*Ἰοῦστος Τιβεριεὺς ἐπαρχίας Γαλιλαίας, ἐπεχείρησε μὲν καὶ αὐτὸς Ἰουδαϊκὴν ἱστορίαν συντάξαι, καί τινα ὑπομνήματα περὶ γραφῶν· ἀλλὰ τοῦτον Ἰώσηπος ἐλέγχει ψευσάμενον. καὶ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ συνέγραφεν ὅτε καὶ Ἰώσηπος*].

CCCXCV. *Ἰοφῶν Ἀθηναῖος τραγικός, υἱὸς Σοφοκλέους τοῦ τραγικοῦ, γνήσιος ἀπὸ Νικοστράτης· γέγονε δὲ αὐτῷ καὶ νόθος υἱὸς Ἀρίστων ἀπὸ Θεωρίδος Σικυωνίας. δράματα δὲ Ἰοφῶν ἐδίδαξε ν', ὧν ἐστιν Ἀχιλλεύς, Τήλεφος, Ἀκταίων, Ἰλίου πέρσις, Δεξαμενός, Βάκχαι ⟨ἢ⟩ Πενθεύς, καὶ ἄλλα τινὰ μετὰ τοῦ πατρὸς Σοφοκλέους.*

CCCXCVI. *Ἱππαρχία ἀδελφὴ Μητροκλέους τοῦ κυνικοῦ, Μαρωνεῖτις, φιλόσοφος κυνική, γυνὴ Κράτητος τοῦ κυνικοῦ, ὃς ἦν Θηβαῖος, Βρύσωνος μαθητὴς τοῦ Ἀχαιοῦ, ἢ ὥς τινες Διογένους. ἤκμαζεν ἐπὶ τῆς ρια' ὀλυμπιάδος. ἔγραψε*

CCCXCIV Cf. Steph. Byz. v. *Τιβεριάς*. Ab Hesychio alienam et ab Suida ex Sophron. c. 14 adscriptam esse visum est *Rohdio*, Mus. Rhen. XXXIV p. 564 not. 2   10 *περὶ γράφειν* libri, ex Sophron. corr. *Kusterus*

CCCXCV *Eud.* p. 404. Cf. v. *Κλεοφῶν*. Tractant Welcker, Gr. Trag. p. 975, Volkmann, de Suid. biogr. (1861) p. 33 seq.   14 *τραγῳδοποιοῦ Eud. τραγῳδιοποιοῦ vulg. τραγικοῦ* **AV**   *ἀπὸ Νικ. — Σικυωνίας* om. *Eud.*   15 *Θεωρίδος* corr. *Porson* *θεορίδος* **V** *θεοδώριδος vulg.* *Θεωδώρας* **E**   16 *ἐδίδαξε δράματα* **Ald.** *Eud.* *γράμματα* **ABV**   17 *Ἰλίου πέρσις* corr. *Kusterus*, *Ἴλιος οὐ περσίς* **BVE** *ἴλιος, περσίς* **A** rel. *Eud.* *ἢ* post *Βάκχαι* add. *Valckenaer.* diatr. Eur. p. 16 om. libri *Suid.* et *Eud.* 18 *μετὰ τοῦ* corr. *Porson* in Arist. p. 58 *τινὰ καὶ τὰ τοῦ Gaisford* *κατὰ τοῦ* **AVBE** (*κατὰ* et *μετὰ* saepius mutari constat) *τοῦ vulg.* *τοῦ* om. praepositione etiam *Eud.*

CCCXCVI om. *Westerm.* *Eud.* p. 397. Cf. Diog. VII, 96   20 *Στράτητος* **B Ald.** *Eud.*   21 *Ἀθηναῖος* pro *Θηβαῖος vulg.* *Eud.* *Βούσωνος* **BE** 22 *ἤκμαζεν* — exit. om. *Eud.*, *ἤκμ. — ὀλυμπ.* ex fine vit. huc transposui *ἤκμασεν vulg.* *ἤκμαζεν* **ABE**

φιλοσόφους ὑποθέσεις καί τινα ἐπιχειρήματα καὶ προτάσεις πρὸς Θεόδωρον τὸν ἐπικληθέντα ἄθεον.

CCCXCVII. Ἵππαρχος Νικαεὺς φιλόσοφος, γεγονὼς ... ἐπὶ τῶν ὑπάτων. ἔγραψε περὶ τῶν Ἀράτου φαινομένων, περὶ τῆς τῶν ἀπλανῶν συντάξεως καὶ τοῦ καταστερισμοῦ, περὶ τῆς κατὰ πλάτος μηνιαίας τῆς σελήνης κινήσεως καὶ εἰς τοὺς ἀστερισμούς.

CCCXCVIII. Ἵππαρχος κωμικὸς τῆς νέας κωμῳδίας. δράματα αὐτοῦ περὶ γάμων.

CCCXCIX. Ἵππαρχος Σταγειρίτης φιλόσοφος, Ἀριστοτέλους γνώριμος καὶ συγγενής. τί τὸ ἄρρεν καὶ θῆλυ παρὰ θεοῖς καὶ τίς ὁ γάμος καὶ ἄλλα τινά.

CCCC. Ἱππίας Διοπείθους, Ἠλεῖος σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἡγησιδάμου, ὃς τέλος ὡρίζετο τὴν αὐτάρκειαν. ἔγραψε πολλά.

CCCCI. [Ἱππόβοτος φιλόσοφος, ὃς ἔφησεν θ' αἱρέσεις εἶναι τῶν φιλοσόφων.]

CCCCII. Ἱπποκράτης Κῷος ἰατρός, Ἡρακλείδου υἱός (προτετάχθω γὰρ καὶ τοῦ πάππου τοῦ Ἡρακλείδου πατρός, εἰ καὶ ὁμώνυμος ἦν, διὰ τὸ ἀστέρα καὶ φῶς τῆς βιωφελεστάτης ἰατρικῆς γενέσθαι), ἀπόγονος δὲ Χρύσου [τοὔνομα] καὶ Ἐλάφου τοῦ ἐκείνου παιδός, ἰατρῶν καὶ αὐτῶν. οὗτος μαθητὴς γέγονε τὸ μὲν πρῶτον τοῦ πατρός, μετὰ δὲ ταῦτα Ἡρο-

---

CCCXCVII *Eud.* p. 397 4 verba ἐπὶ τῶν ὑπάτων sensu carere perspexit *Rohde*, Mus. Rhen. XXXIII p. 179 not. ἐπὶ Πτολεμαίων τῶν ὑστάτων *Gutschmid*; ante ἐπὶ nonnulla verba intercidisse suspicor 5 καταστερισμοῦ corr. *Kusterus* καταστηριγμοῦ *vulg. Eud.* 7 ἀστερισμούς corr. *Hemsterhusius* et *Reinesius* ἀστερίσκους *Toupius* τὰ Ἐρατοσθένους *Bernhardy*, Erat. p. 6, qui librorum quorundam de astronomia vestigia agnoscit, τὰς (?) V ἀρίστους libri *Suid.* et *Eud. Westerm.*

CCCXCVIII *Meineke* I p. 457, qui corr. νέας pro ἀρχαίας libr. et *Eud.*; rec. *Westerm.*; hoc rectum esse probatur etiam titulo Attico nuperrime reperto, de quo cf. Bergk, Mus. Rhen. XXXIV p. 322

CCCXCIX *Eud.* p. 397. Eundem commemoravit Diog. V, 53 seq. 12 ἔγραψε τί *Eud.*

CCCC *Eud.* p. 401, quae scripsit Ἱππείας. Cf. Blass, Att. Bereds. I p. 31 13 ῥήτωρ καὶ φιλ. *Eud.*

CCCCI om. *Westerm.* *Eud.* p. 397 17 Verbis καὶ ἔστιν ἐν τῷ αἵρεσις ad alteram glossam alludit *Suidas*

CCCCII *Eud.* p. 400. Cf. Steph. Byz. v. Κῶς; Petersen, Phil. IV p. 209 seq., Daub, Stud. p. 134 19 προτετάχθω αὐτῶν — οὗτος et infra ἐν δὲ ταῖς Εἰκόσιν — ἀπομνημονεύσωμεν om. *Eud.* 23 τὸ μὲν om. *Eud.* εἶτα *Eud.*

δίκου τοῦ Σηλυβριανοῦ καὶ Γοργίου τοῦ Λεοντίνου ῥήτορος καὶ φιλοσόφου, ὡς δέ τινες, Δημοκρίτου τοῦ Ἀβδηρίτου (ἐπιβαλεῖν γὰρ αὐτὸν νέον πρεσβύτῃ), ὡς δέ τινες, καὶ Προδίκου. διέτριψε δὲ ἐν Μακεδονίᾳ, φίλος ὢν σφόδρα τῷ βασιλεῖ Περδίκκᾳ. παῖδας δὲ σχὼν δύο, Θέσσαλον καὶ Δράκοντα, κατέστρεψε τὸν βίον ἐνιαυτῶν γεγονὼς δ′ καὶ ρ′, καὶ τέθαπται ἐν Λαρίσσῃ τῆς Θετταλίας. [ἐν δὲ ταῖς Εἰκόσιν ἱστορεῖται τὸ ἱμάτιον ἐπὶ τὴν κεφαλὴν ἀναβεβλημένος καὶ σκεπόμενος, ἢ ὅτι τοῦτο ἔθος ἦν αὐτῷ, ἢ διὰ τὸ φιλαπόδημον, ἢ τὸ ἴδιον ἐν ταῖς χειρουργίαις. οὗτος ἔγραψε πολλά, καὶ πᾶσιν ἐγένετο διάδηλος, ὥστε καὶ τὸν τῶν Περσῶν βασιλέα, τὸν καλούμενον Ἀρταξέρξην, γράψαι πρὸς Ὑστάνην τῆς τοῦ ἀνδρὸς σοφίας δεόμενον. ‛βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Ὑστάνῃ Ἑλλησπόντου ὑπάρχῳ χαίρειν. Ἱπποκράτους ἰητροῦ Κῴου, ἀπὸ Ἀσκληπιοῦ γεγονότος, εἰς ἐμὲ κλέος ἀφῖκται τέχνης. δὸς οὖν αὐτῷ χρυσὸν ὁπόσον ἂν βούληται, καὶ τἄλλα χύδην· ὧν σπανίζει, καὶ πέμπε πρὸς ἡμέας· ἔσται γὰρ ἰσότιμος Περσέων τοῖσι ἀρίστοισι. καὶ εἴ τις ἄλλος ἐστὶν ἀνὴρ κατ᾽ Εὐρώπην ἀγαθός, φίλον οἴκῳ βασιλέως τίθεσο μὴ φειδόμενος ὄλβου· ἄνδρας γὰρ εὑρεῖν δυναμένους τι κατὰ συμβουλίην οὐ ῥᾴδιον. ἔρρωσο᾽. αἱ μὲν οὖν γραφεῖσαι παρ᾽ Ἱπποκράτους βίβλοι πᾶσι τοῖς μετερχομένοις τὴν ἰατρικὴν ἐπιστήμην ἔκδηλοι, καὶ οὕτως αὐτὰς κατασπάζονται ὡς θεοῦ φωνὰς καὶ οὐκ ἀνθρωπίνου προελθούσας ἐκ στόματος· πλὴν τῶν ἐν πρώτοις καὶ ἡμεῖς ἀπομνημονεύσωμεν.] πρώτη μὲν οὖν βίβλος ἡ τὸν ὅρκον περιέχουσα, δευτέρα δὲ ἡ τὰς προγνώσεις ἐμφαίνουσα, τρίτη ἡ τῶν ἀφορισμῶν, ἀνθρωπίνην ὑπερβαίνουσα σύνεσιν. τετάρτην τάξιν ἐχέτω ἡ πολυθρύλητος καὶ πολυθαύμαστος Ἑξη-

---

1 *τοῦ Λεοντ.* om. *Eud.* 3 *ἐπιβαλεῖν — πρεσβ.* om. *Eud.* *νέον πρεσβύτῃ* corr. *Kusterus* *νέῳ πρεσβύτην* libri 7 seq. haec ex Sorani vita Hippocr. aliisque fontibus contaminata esse dixi Mus. Rhen. XXXIV p. 213, certe *ἐν δὲ ταῖς — στόματος* (cf. Westermann, Biogr. p. 415; epistola extat in Hippocr. III p. 272 Kühn.); fortasse etiam alia Suidae debentur, velut *καὶ Προδίκου* et *διέτριψε* seq. (cf. Westerm. p. 450 et 452) et s. fin. librorum tabula 11 *καὶ πᾶσιν — βασιλέα* om. **V** 14 *Ὑστάνει Hipp.* *Ὑστάναι* vel *-η* libri 15 *καὶ ἐς ἐμὲ κλέος ἀφ. τῆς τέχνης — ὁκόσον — τὰ ἄλλα — ἐς ἡμέας Hipp.* 18 *τοῖσιν ἀρίστοισιν* **AE** *τοῖς ἀρίστοις — ἔστιν ἄλλος Hipp.* 28 *τετάρτη, τάξιν vulg. Eud.*

κοντάβιβλος, ἡ πᾶσαν ἰατρικὴν ἐπιστήμην τε καὶ σοφίαν ἐμπεριέχουσα.

CCCCIII. *Ἱπποκράτης Γνωσιδίκου υἱός, Κῷος, πατὴρ Ἡρακλείδου τοῦ πατρὸς Ἱπποκράτους, ἰατρὸς καὶ αὐτός, τοῦ γένους τῶν Ἀσκληπιαδῶν. ἰατρικήν.*

CCCCIV. *Ἱπποκράτης Θεσσάλου, Κῷος ἰατρός, ἔγγονος δὲ Ἱπποκράτους τοῦ δευτέρου τοῦ υἱοῦ Ἡρακλείδου. ἔγραψε καὶ αὐτὸς ἰατρικά.*

CCCCV. *Ἱπποκράτης τέταρτος, ὁ Δράκοντος, ἰατρός, Κῷος καὶ αὐτός, τοῦ αὐτοῦ γένους, ὃς ἰάτρευσε μὲν Ῥωξάνην, ὑπὸ δὲ Κασάνδρου τελευτᾷ, τοῦ υἱοῦ Ἀντιπάτρου. ἔγραψε καὶ αὐτὸς ἰατρικά.*

CCCCVI. *Ἱπποκράται δύο, πέμπτος καὶ ἕκτος, ἰατροί, Θυμβραίου παῖδες, Κῷοι καὶ αὐτοί, τοῦ γένους τοῦ αὐτοῦ. ἔγραψαν ἀμφότεροι εἰς τὴν αὐτὴν ἐπιστήμην.*

CCCCVII. *Ἱπποκράτης ἕβδομος, Κῷος καὶ αὐτός, ἰατρός, Πραξιάνακτος παῖς, καὶ αὐτὸς ἐκ τοῦ γένους τοῦ αὐτοῦ. ἔγραψε καὶ αὐτὸς εἰς τὸν αὐτὸν τρόπον.*

CCCCVIII. [*Ἱππόλυτος. οὗτος ἔγραψεν εἰς τὰς ὁράσεις τοῦ Δανιὴλ ὑπόμνημα καὶ εἰς τὰς παροιμίας Σολομῶντος.*]

CCCCIX. *Ἵππυς Ῥηγῖνος ἱστορικός, γεγονὼς ἐπὶ τῶν Περσικῶν, ὃς πρῶτος ἔγραψε τὰς Σικελικὰς πράξεις, ἃς ὕστερον Μύης ἐπετέμετο· κτίσιν Ἰταλίας, Σικελικῶν βιβλία ε', χρονικὰ ἐν βιβλίοις ε', Ἀργολικῶν γ'.*

CCCCIII *Eud.* p. 401 3 *Κῷος κ. αὐτ. τοῦ γένους τ. Ἀσκλ., ἰατρός* rel. om. *Eud.* 4 *Ἡρακλείδα* **V** *Ἡρακλείδου* rel. 5 *ἰατρικά* coni. *Bernhardy*

CCCCIV—CCCCVII *Eud.* l. c. 7 *προτέρου Eud.* 8 *ἰατρικά τινα Eud.* 9 *ὁ* om. *Eud.* *υἱὸς* pro *ἰατρ.* **A** 10 *ἰάτρευσε Ῥωξάνην* omissis *ὑπὸ — Ἀντιπάτρου Eud.* *Ῥωξάνην* **AV** *Ῥοξάνην vulg. Eud.* 11 *ἐπὶ δὲ* coni. *Kusterus,* quod absurdum esse censet *Gutschmid* 13 *Ἱπποκράτεις vulg. Eud.* *Ἱπποκράται* **ABVE**, quod reposuit *Bernhardy* coll. Lobeck, Paral. p. 182 14 alterum *τοῦ* om. **ABVE** *τοῦ αὐτοῦ γένους* **Ald.** *Eud.*

CCCCVIII Accessit fortasse ex uberiore vita *Sophron.* c. 61, sed ab Hesychio aliena est. Cf. Mus. Rhen. XXXV p. 227, et Prolegom. I § 4 20 *Σολομῶντος* om. *Soph.*, sed Suidae lectio praeferenda videtur

CCCCIX *Eud.* p. 399. Cf. Müller II p. 12 21 *Ἵπυς* **A** *vulg.* 22 *ὃς πρῶτος Eud.* *καὶ π. Suid.* libri *πρῶτος — ἐπετέμετο* propter insequens *Σικελικῶν βιβλία ε'* suspectum; utrumque opusculum idem esse constat 23 sic fortasse etiam *Μινύης* apud Diog. I, 27 corrigendum *Σικελῶν Eud.* 24 *Ἀργολικῶν* praebent **AV**, quod praeferre *Gutschmidium*

CCCCX. Ἱππῶναξ Πύθεω καὶ μητρὸς Πρωτίδος, Ἐφέσιος ἰαμβογράφος. ᾤκησε δὲ Κλαζομενὰς ὑπὸ τῶν τυράννων Ἀθηναγόρα καὶ Κωμᾶ ἐξελαθείς. γράφει δὲ πρὸς Βούπαλον καὶ Ἄθηνιν ἀγαλματοποιούς, ὅτε αὐτοῦ εἰκόνας πρὸς ὕβριν εἰργάσαντο. οὗτος πρῶτος ἔγραψε παρῳδίαν καὶ χωλίαμβον καὶ ἄλλα.

CCCCXI. [Ἰσαῖος εἷς μέν ἐστι τῶν ι' ῥητόρων, μαθητὴς δὲ Ἰσοκράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος· Δημήτριος δὲ Χαλκιδέα φησὶν αὐτὸν εἶναι. οὗτος ἐπαινεῖται καὶ ὡς ῥήτωρ καὶ ὡς Δημοσθένην ἀμισθὶ προαγαγών.]

CCCCXII. Ἰσίδωρος πρεσβύτερος ὁ Πηλουσιώτης, ἀνὴρ ἐλλογιμώτατος, φιλόσοφός τε καὶ ῥήτωρ. ἐπιστολὰς ἑρμηνευούσας τὴν θείαν γραφὴν ,γ. γέγραφε καὶ ἄλλα τινά.

CCCCXIII. Ἰσοκράτης Θεοδώρου αὐλοποιοῦ, Ἀθηναῖος ῥήτωρ, γενόμενος ἐπὶ τῆς πϛ' ὀλυμπιάδος, ὅ ἐστι κατὰ τὰ Πελοποννησιακά. καὶ διὰ μὲν τῆς φωνῆς τὴν ἀτονίαν καὶ τὸ ἀπαρρησίαστον δίκας οὐκ εἶπεν, ἐδίδαξε δὲ πλείστους, καὶ

---

dixi Unters. p. 47 not. 2; idem Ἀργολικὰ fabularum historiam usque ad Phidonem, Σικελικά (a quibus Chronica non diversa fuerunt) inde a Phidone historiam continuisse opinatur, Ἀρχαιολογικῶν *Eud.* quo de genere titulorum cf. v. Εὐστόχιος, Ἰάσων, Μαρσύας, Σιμωνίδης Ἀμοργ., Φερεκ. Ἀθ.; Eudociae lectionem praefert Bast, Comm. Pal. p. 754, ἀργολογικῶν *vulg.* ἀρχολογικῶν *Hemsterhus.* Post hanc vocem libri habent οὗτος πρῶτος ἔγραψε παρῳδίαν καὶ χωλίαμβον καὶ ἄλλα, quae ex Hipponactis vita miro errore transposita

CCCCX *Eud.* p. 404, quae om. Πύθεω — Πρωτίδος, ᾤκησε — ἐξελαθείς 1 Πύθεο **A** 3 Κομᾶ **BE** Κόμου *Bernhardy* sine idonea causa

CCCCXI *Eud.* p. 401. Cf. Blass, Att. Bereds. II p. 452 seq. Tota fere de Harpocratione v. Ἰσ. pendet; itaque Hesychio abiudicanda 7 τῶν πρώτων *Daub* μαθητὴς μὲν *Eud.* 9 Δημήτριος — εἶναι om. *Eud.* De Demetrio Magnete, qui περὶ ὁμωνύμων scripsit, cf. Scheurleer, Demetr. p. 87, v. Nietzsche, Mus. Rhen. XXIV p. 210 seq. et Unters. p. 50 seq. οὗτος — exit., quae ab Harpocrat. desunt, aliunde fluxerunt 10 Hic add. Suid. nonnulla ex Philostrat. Vit. I, 20 p. 218 Kays. Cf. Mus. Rhen. XXXV p. 214

CCCCXII om. *Westerm.* 12 πρεσβύτης *vulg.* πρεσβύτερος **A** 13 epistolas tres significari putavit *Portus*, tria milia exprimi vidit *Kusterus* 14 plerumque post γέγραφε interpungitur, sed γέγρ. susp.

CCCCXIII *Eud.* p. 402. Cf. Blass, l. c. p. 1 seq. 16 γενόμενος κ. τ. Πελοπ. *Eud.* pergens ἔγραψε λόγους λβ' βιώσας ἔτη τρία πρὸς ἑκατὸν rel. omissis κατὰ *Coraes* in Isocrat. II p. 57 μετὰ **A** *vulg.*: cf. Rohde, Mus. Rhen. XXXIII p. 191 not. 17 ἀπονίαν **M**

λόγους γέγραφε λβ'. βιώσας δὲ ἔτη ϛ' πρὸς τοῖς ϙ' ἐτελεύτησεν. ἀδελφοὶ δὲ αὐτῷ ἐγένοντο Τίσιππος καὶ Θεόμνηστος καὶ Θεόδωρος, διδάσκαλος δὲ Γοργίας· οἱ δὲ Τισίαν φασίν, οἱ δὲ Ἐργῖνον, οἱ δὲ Πρόδικον [ἔφασαν], οἱ δὲ Θηραμένην. οἱ δὲ λόγοι αὐτοῦ πλεῖστοι.

CCCCXIV. *Ἰσοκράτης Ἀμύκλα τοῦ φιλοσόφου, Ἀπολλωνίας τῆς ἐν τῷ Πόντῳ ἢ Ἡρακλείας, ὡς Καλλίστρατος, ῥήτωρ, μαθητὴς καὶ διάδοχος τοῦ μεγάλου Ἰσοκράτους, διακούσας δὲ καὶ Πλάτωνος τοῦ φιλοσόφου. οὗτος δὲ ὁ Ἰσοκράτης καὶ Θεοδέκτῃ τῷ ῥήτορι καὶ τραγῳδοποιῷ καὶ Θεοπόμπῳ τῷ Χίῳ ἅμα τῷ Ἐρυθραίῳ Ναυκράτει διηγωνίσατο περὶ λόγων εἰς τὸν ἐπιτάφιον Μαυσώλου τοῦ βασιλέως Ἁλικαρνασσοῦ. καὶ λόγοι αὐτοῦ ε'· Ἀμφικτυονικός, προτρεπτικός, περὶ τοῦ τάφου μὴ ποιῆσαι Φιλίππῳ, περὶ τοῦ μετοικισθῆναι, περὶ τῆς ἑαυτοῦ πολιτείας.*

CCCCXV. *Ἴστρος Μενάνδρου [Ἴστρου], Κυρηναῖος ἢ Μακεδών, συγγραφεύς, Καλλιμάχου δοῦλος καὶ γνώριμος. Ἕρμιππος δὲ αὐτόν φησι Πάφιον ἐν τῷ β' τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων. ἔγραψε δὲ πολλὰ καὶ καταλογάδην καὶ ποιητικῶς.*

CCCCXVI. *Ἰφικράτης σκυτέως πατρός, Ἀθηναῖος*

---

1 *πρὸς τοῖς* ϙ Luciani loco Macrob. 23 non accurate inspecto *Gaisford* 2 *Τελέσιππος καὶ Διόμνηστος* Scriptor vit. X orat. p. 247, 3 West. 4 *Ἀρχῖνον Ruhnken.* hist. or. p. XLII *Πρωταγόραν* pro *Πρόδικον* alii volunt coll. v. *Πρωταγόρας* *ἔφασαν*, quia claudicat, seclusi

CCCCXIV *Eud.* p. 402 quae om. *Ἀπολλ.* — *ῥήτωρ.* Tractant Blass, Att. Bereds. II p. 68 et 418, Daub, Stud. p. 56 7 *Καλλ.* sc. *περὶ Ἡρακλείας.* Cf. Müller IV p. 353 seq., qui hoc fragmentum neglexit. Cf. v. *Φιλόξενος* 8 *ῥήτωρ Bernhardy ὁ ῥήτωρ* **A** *vulg.* *ἀκούσας* **V** 9 *οὗτος* — *Ἁλικαρνασσοῦ* om. *Eud.* 10 *τραγῳδιοποιῷ vulg.* recte **A** *Θεοδέκτῃ* **AVEM** *Θεοδέκτῳ vulg.* 11 *Ναυκράτει Bernhardy Ναυκράτῃ* **E** *Ναυκρατίτῃ* **V** *vulg.* 12 *τοῦ Καρός* add. *vulg.* om. **ABEV** 13 *λόγους πέντε Eud.* *Ἀμφικτυωνικός* **A**

CCCCXV *Eud.* p. 400. Tractant Siebelis, Istri fr. p. XVII, Müller I p. LXXXV 16 *ἢ Ἴστρου* cum *Vossio Siebelis, Μεν. ἱστορικοῦ* cum *Toupio Kusterus Μεν. ἰατρικοῦ Daub Ἴστρου* libri et *Eud.*, quod genuinum esse, sed a lectore vel grammatico genetivum vocis indicaturo adscriptum coll. v. *Δέξιππος* al. perspexit *Gutschmid.* Cf. etiam v. *Νύμφις, Ἀραρώς* al. *ἢ Μακ.* om. *Eud.* 18 Cf. Wachsmuth, Symb. p. 140 seq. *βίῳ* pro *β'* **A**, quod quamquam laudavit *Kusterus*, tamen librarii errori debetur

CCCCXVI om. *Westerm. Eud.* p. 402. Cf. Ruhnken. hist. or. p. LVII seq. 21 *δοκῶν υἱὸς εἶναι σκυτοτόμου Plutarch.* Apophth. p. 186 (VIII

ῥήτωρ καὶ στρατηγός, ὃς πρῶτος ἐν τοῖς λαφύροις τὸ ἐπίγραμμα ἐποίησε μεμνημένον τοῦ στρατηγοῦ, πρότερον μόνης τῆς πόλεως ἐπιγραφομένης.

CCCCXVII. Ἰωάννης Φιλαδελφεὺς Λυδός. οὗτος ἔγραψε περὶ μηνῶν βιβλίον α', καὶ περὶ διοσημειῶν ἕτερον, [καὶ ἄλλων τινῶν ὑποθέσεων μαθηματικῶν]. προσομιλεῖ δὲ ταῦτα Γαβριηλίῳ τινὶ ὑπάρχῳ.

CCCCXVIII. Ἰωάννης ὁ ἐπονομαζόμενος Στοβεύς. ἀνθολόγιον περιέχον τὰς παρὰ πᾶσι πολλῶν δόξας ἐν βιβλίοις δ', ἐνάρετα πάνυ καὶ γέμοντα πάσης παιδεύσεως. γράφει δὲ ταῦτα πρὸς Σεπτίμιον υἱὸν αὐτοῦ.

CCCCXIX. Ἰωάννης γραμματικὸς Ἀλεξανδρεύς, ὁ ἐπικληθεὶς Φιλόπονος. τούτου συγγράμματα πάμπολλα, γραμματικά, φιλόσοφα ἀριθμητικά, ῥητορικά, τῆς τε θείας γραφῆς, καὶ κατὰ τῶν ιη' Προκλείων ἐπιχειρημάτων, καὶ κατὰ Σεβήρου. πλὴν ὅτι παρὰ τῶν τῆς ἐκκλησίας διδασκάλων ὡς τριθεΐτης ἐκβάλλεται καὶ τοῦ καταλόγου τῶν ὀρθοδόξων ἀποδιώκεται.

CCCCXX. Ἴων Χῖος, τραγικὸς καὶ λυρικὸς καὶ φιλόσοφος, υἱὸς Ὀρθομένους, ἐπίκλησιν δὲ Ξούθου. ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς πβ' ὀλυμπιάδος. δράματα δὲ

---

p. 118 Hutten). Cf. etiam de fort. VII p. 310 Hut. 1 τὸ om. *vulg. Eud.* praebet **ABE**

CCCCXVII 5 διοσημιῶν **M Ald.** 6 haec Lydum non scripsisse constat, quapropter *Hase,* comment. de Lydo p. 28 περὶ διοσ. καὶ ἄλλων — μαθ. ἕτερον correxit. Praeterea tertium Lydi opusculum ab Hesychio laudatum fuisse περὶ ἀρχῶν τῆς Ῥωμαίων πολιτείας τρίτον (Phot. cod. 180) suspicatus sum Mus. Rhen. XXXV p. 214 7 Γαβριήλῳ *Portus* Γαβριηλίῳ **AV** Γαβρηλίῳ **EM Ald.** Γαβριλίῳ **B**

CCCCXVIII Cf. Diels, Doxogr. p. 66; Daub, Stud. p. 110; Usener, de Steph. Alex. p. 55 8 *Στοβαῖος vulg.* Στοβεὺς **ABVE** 9 περιέχων πασῶν π. **V** τὰς περιττὰς πολλῶν δόξας *Bernhardy,* τὰς παμπόλλων δ. *Daub* 11 Σεπτίμιον *Bernhardy*; cf. Phot. bibl. p. 112 Ἐπτίμιον (Septimium) *Schottus* in Phot. cod. 167 Ἐπιτίμιον **V** Ἐπίμιον **A** *vulg.* υἱόν om. **BV**

CCCCXIX totam vitam fortasse ab Hesychio alienam esse dixi Mus. Rhen. l. c. p. 227 14 ῥητορικά. ⟨περὶ⟩ τῆς *Daub* 15 κατὰ τῶν τῆς **V**

CCCCXX *Eud.* p. 404. Harpocrat. v. Ἴων; Welcker, Gr. Trag. p. 938. Fortasse totam vitam ex scholiis Ar. interpolatam esse docui Mus. Rhen. l. c. p. 214 20 υἱὸς — ὀλυμπιάδος om. *Eud.*

αὐτοῦ ιβ', οἱ δὲ λ', ἄλλοι δὲ μ' φασίν. [οὗτος ἔγραψε περὶ μετεώρων καὶ συνθέτους λόγους· ὃν παίζων Ἀριστοφάνης ὁ κωμικὸς Ἀοῖόν φησι. οὗτος τραγῳδίαν νικήσας Ἀθήνησιν ἑκάστῳ τῶν Ἀθηναίων ἔδωκε Χῖον Κεράμιον.]

[Ἴων τραγῳδίας ποιητής, Χῖος τὸ γένος.]

CCCCXXI. Ἰώσηπος Ἰουδαῖος [φιλαλήθης λέγων περὶ τοῦ Προδρόμου καὶ περὶ τοῦ κυρίου ἡμῶν καὶ θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ], Ματθίου παῖς, ἱερέως ἐξ Ἱεροσολύμων, ὁ γράψας τὴν Ἰουδαϊκὴν ἀρχαιολογίαν ἐν βιβλίοις κ'.

CCCCXXII. Κάδμος Πανδίονος, Μιλήσιος ἱστορικός, ὃς πρῶτος κατά τινας συγγραφὴν ἔγραψε καταλογάδην, μικρῷ νεώτερος Ὀρφέως. συνέταξε δὲ κτίσιν Μιλήτου καὶ τῆς ὅλης Ἰωνίας ἐν βιβλίοις δ'.

[ὅτι τὸν Κάδμον φασὶ πρῶτον ἐς τὴν Ἑλλάδα κομίσαι τὰ γράμματα, ἅπερ πρῶτοι Φοίνικες ἐφεῦρον.]

CCCCXXIII. Κάδμος Ἀρχελάου Μιλήσιος, ἱστορικὸς νεώτερος. τινὲς δὲ καὶ Λυκῖνον Κάδμον ἀνέγραψαν· ἴσως

---

1 verba οὗτος — λόγους mire ex schol. Arist. Pac. 820, quod Suidas descripsit v. διθυραμβοδιδάσκαλοι, corrupta esse vidit *Bentley*; eodem ex scholio fluxerunt ὃν — φησι. Ceterum futtilia Suidae commenta expunxit *Westerm.*, qui horum loco scholion Ar. adscripsit. Sub fin. vitae add. **A** οὗτος τραγῳδίαν — κεράμιον, quae ex glossa Ἀθήναιος ab ipso Suida adiuncta esse patet. Altera quae sequitur Ionis vita aut Hesychiani articuli frustulum est aut ex Phot. lex. v. Ἴων in **ABV** adscriptum, id quod nunc mihi magis arridet

CCCCXXI Hesychianam esse perspexit etiam *Daub*, Stud. p. 5, qui merito verba φιλαλήθης — Χριστοῦ removit 7 prius τοῦ om. **V** 8 *Ματθαίου vulg.* Ματθίου **AV** 9 Sequitur in Suidae lexico eiusdem Iosephi vita ab *Hieron.-Sophronio* c. 13 descripta

CCCCXXII *Eud.* p. 437. Cf. Müller II p. 1 12 Ὀρφέως in lacuna om. **A**. Hoc ad Thebanum spectare negat *Gutschmid*, Orpheum perperam pro Pherecyde nominari ratus. Simili vitio laborat schol. Dion. Thrac. apud Villoison. Anecd. II p. 187 14 Verba ὅτι — ἐφεῦρον libri errantes historico subiungunt, quamquam ad inventorem literarum spectant; merito transposuit *Bekker*. Eadem leguntur v. Λίνος et Φερεκύδης Σύριος. Cf. Clinton, fast. p. 380 Kr. 15 ἅπερ πρ. om. **A**

CCCCXXIII *Eud.* p. 437, quae incipit καὶ ἕτερος Κ. Ἀρχ. Μιλ. καὶ αὐτὸς ἱστ. νεώτερος. Cf. Rohde, Gr. Roman p. 347 seq. 17 Λυκίνου *Bernhardy*, qui Λυκ. Κάδμον νέον vel νεώτερον ἀνέγραψαν coni., quod laudavit *Volkmann*, Quaest. nov. p. IX not. 14 excepta voce νέον vel νεώτερον; Λύκιον *Kusterus* Καλακτῖνον *M. Schmidt* λυκκῖνον **V** λυκῖνον rel. καὶ Λυκῖνον καὶ Κάδμον *Eud.* alterum καὶ etiam **Ald.** habet

οὖν ἐστιν ἕτερος. γέγραφε δὲ ταῦτα· λύσιν ἐρωτικῶν παθῶν δ' καὶ Ἀττικὰς ἱστορίας ις'.

CCCCXXIV. *Καικίλιος* Σικελιώτης Καλακτῖνος (Καλάκτη δὲ πόλις Σικελίας), ῥήτωρ σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ τοῦ Σεβαστοῦ Καίσαρος [καὶ ἕως Ἀδριανοῦ] καὶ ἀπὸ δούλων, ὥς τινες ἱστορήκασι, καὶ πρότερον μὲν καλούμενος Ἀρχάγαθος, τὴν δὲ δόξαν Ἰουδαῖος. βιβλία δὲ αὐτοῦ πολλά· κατὰ Φρυγῶν β' [ἔστι δὲ κατὰ στοιχεῖον] ἀπόδειξις τοῦ εἰρῆσθαι πᾶσαν λέξιν καλλιρρημοσύνης (ἔστι δὲ ἐκλογὴ λέξεων κατὰ στοιχεῖον), σύγκρισις Δημοσθένους καὶ Κικέρωνος, τίνι διαφέρει ὁ Ἀττικὸς ζῆλος τοῦ Ἀσιανοῦ, περὶ τοῦ χαρακτῆρος τῶν ι' ῥητόρων, σύγκρισις Δημοσθένους καὶ Αἰσχίνου, περὶ Δημοσθένους, ποῖοι αὐτοῦ γνήσιοι λόγοι καὶ ποῖοι νόθοι, περὶ τῶν καθ' ἱστορίαν ἢ παρ' ἱστορίαν εἰρημένων τοῖς ῥήτορσι καὶ ἄλλα πλεῖστα. [πῶς δὲ Ἰουδαῖος σοφὸς οὕτω τὰ Ἑλληνικά, τοῦτο θαυμάζω.]

CCCCXXV. *Καῖσαρ Τιβέριος.* ἔγραψεν ἐπιγράμματα καὶ τέχνην ῥητορικήν.

---

1 γέγραφε **A** ἔγραφε **V** ἔγραψε *vulg.* λύσιν ἐρωτικῶν παθῶν **A Ald.** *Eud.* παθῶν om. **VBEM** ἰάσεις πυρωτικῶν παθ. *Müller* συλλογὴν ἐρωτικῶν *Bernhardy* ἄλυσιν ἐρ. π. ingeniose coni. *Rohde*, Gr. Roman l. c. not. 1 2 ιδ' **M Ald.** *Eud.* δ' **ABVE** ἐν βιβλίοις ις' *Eud.* Ἀττικαὶ ἱστορίαι ad fabulas eroticas spectare putant *Müller* II p. 4 et *Gutschmid*

CCCCXXIV *Eud.* p. 439. Cf. Daub, Stud. p. 57 seq. 3 *Κεκίλιος* recte **ABE** scripsit *Westerm.* vocem om. **M** Καλακτῖνος et Καλάκτη corr. *Holstenius* Καλλαντιανός (et Κάλλαντις) *vulg.* Καλλατιανός **BE** Καλατιανός **V** καλατιανός (et κάλαντις) *Eud.* 5 verba καὶ ἕως Ἀδριανοῦ fidem excedere vidit *Kusterus*, itaque expunxi, εἷς τῶν ἕως Ἀδρ. tentavit *Daub*, ἢ καὶ πόλεως Ἀδρανοῦ *Gutschmid* καὶ ἀπὸ δούλων — ἱστορήκασι om. *Eud.*; ceterum cf. Wachsmuth, Symb. p. 141 8 ἔστι δὲ κατὰ στοιχεῖον utpote perperam ex insequente libro repetitum expunxi ἀποδ. καλορημοσύνης τοῦ εἰρῆσθαι πᾶσαν λέξιν, ἔστι — στοιχεῖον *Hermann* ἐκλογὴ λέξεων, ἔστι δὲ ἀπόδειξις τοῦ † πᾶσαν λέξιν καλλιρρημοσύνης κατὰ στοιχεῖον *Bernhardy* ἀποδείξεις *Eud.* quae om. ἐκλογὴ λέξεων, Καλλιρρημοσύνη „Wohlredenheit" titulum fuisse opusculi, in quo ad facundiam bene exercendam induceretur, putavit *Rohde*, Gr. Roman p. 326 not. 9 hoc lexicon laudatur in fontibus *Suidae* 10 σύγκρισις — ῥητόρων om. **BE** 11 τοῦ add. **AV** 12 tria extrema Caecilii scripta partes libri περὶ τοῦ χαρακτῆρος τῶν ι' ῥητόρων fuisse putat *Daub* add. καὶ ante ποῖοι αὐτοῦ 15 Suidae additamentum πῶς δὲ Ἰουδαῖος σοφὸς οὕτω τὰ Ἑλληνικὰ τοῦτο θαυμάζω *Eud.** (cf. Pulch p. 76), quod recepi, πῶς δὲ Ἰουδαῖος τοῦτο θαυμάζω, Ἰουδαῖος σοφὸς τὰ Ἑλληνικά **VE Ald.** πῶς δὲ Ἰουδαῖος θαυμάζω **A.** τοῦτο δὲ θαυμάζω, πῶς Ἰουδαῖος σοφὸς τὰ Ἑλληνικά *Kusterus*

CCCCXXV om. *Westerm.* *Eud.* p. 443. Tractavi Mus. Rhen. XXXVI p. 319

CCCCXXVI. [*Καισάρειος ὁ Γρηγορίου τοῦ θεολόγου ἀδελφός. ἔγραψε διάφορα καὶ κατὰ Ἑλλήνων.*]

CCCCXXVII. *Καλλίας Ἀθηναῖος κωμικός, υἱὸς Λυσιμάχου, ὃς ἐπεκλήθη Σχοινίων διὰ τὸ σχοινοπλόκου εἶναι πατρός. οὗ δράματα Αἰγύπτιος, Ἀταλάντη, Κύκλωπες, Πεδῆται, Βάτραχοι, Σχολάζοντες.*

CCCCXXVIII. *Καλλίμαχος υἱὸς Βάττου καὶ Μεγατίμας, Κυρηναῖος γραμματικός, μαθητὴς Ἑρμοκράτους τοῦ Ἰασέως γραμματικοῦ, γαμετὴν ἐσχηκὼς τὴν Εὐφράτου τοῦ Συρακουσίου θυγατέρα. ἀδελφῆς δὲ αὐτοῦ παῖς ἦν ὁ νέος Καλλίμαχος ὁ γράψας περὶ νήσων δι' ἐπῶν. οὕτω δὲ γέγονεν ἐπιμελέστατος, ὡς γράψαι μὲν ποιήματα εἰς πᾶν μέτρον, συντάξαι δὲ καὶ καταλογάδην πλεῖστα· καὶ ἔστιν αὐτῷ τὰ γεγραμμένα βιβλία ὑπὲρ τὰ ω'. ἐπὶ δὲ τῶν χρόνων ἦν Πτολεμαίου τοῦ Φιλαδέλφου· πρὶν δὲ συσταθῇ τῷ βασιλεῖ, γράμματα ἐδίδασκεν ἐν Ἐλευσῖνι κωμυδρίῳ τῆς Ἀλεξανδρείας. καὶ παρέτεινε μέχρι τοῦ Εὐεργέτου κληθέντος Πτολεμαίου, ὀλυμπιάδος ρκζ', ἧς κατὰ τὸ δεύτερον ἔτος ὁ Εὐεργέτης Πτολεμαῖος ἤρξατο τῆς βασιλείας. τῶν δὲ αὐτοῦ βιβλίων ἐστὶ καὶ ταῦτα· Ἰοῦς ἄφιξις, Σεμέλη, Ἄργους οἰκισμοί, Ἀρκαδία, Γλαῦκος, ἐλπίδες, σατυρικὰ δράματα, τραγῳδίαι, κωμῳδίαι, μέλη, Ἶβις (ἔστι δὲ ποίημα ἐπιτετηδευμένον εἰς ἀσάφειαν καὶ λοιδορίαν, εἴς τινα Ἶβιν γενόμενον ἐχθρὸν Καλλιμάχου· ἦν δὲ οὗτος Ἀπολλώνιος ὁ γράψας τὰ Ἀργοναυτικά), μουσεῖον, πίνακες τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων καὶ ὧν συν-*

CCCCXXVI vitam ipse Suidas videtur apposuisse: cf. Suid. s. *Εὐδόξιος* et *Γρηγ. Ναζ.*

CCCCXXVII Cf. Meineke I p. 213 4 hoc cognomen Cratino acceptum tulisse suspicatus est *Meineke* 6 *ἢ Βατρ. Daub* in **ABVEM** additur *ζήτει περὶ Καλλίου ἐν τῷ Ἀριστείδης*

CCCCXXVIII *Eud.* p. 441. Cf. Schneider, Callim. II p. 3 seq. Daub, de Suid. p. 460 seq. et Stud. p. 83 7 *Μεγατίμας* corr. *Hemsterhusius, Μεσάτμας vulg.* 8 *γραμματικός* om. *Eud.* *τοῦ Ἰασέως — γράψαι μὲν* om. *Eud.* 10 **θυγατρός V** 11 *ἔγραψε καὶ — συνέγραψε καὶ Eud.* *οὗτος* pro *οὕτω Daub* 14 *ὀκτωκόσια* **AV** *ἐπὶ Πτολ. Φιλ. μέχρις τοῦ Εὐεργέτου **παρέτεινε*** rel. omissis *Eud.* 15 ***συσταθῆναι*** praeferunt *Portus* et *Kusterus* 18 de olympiade cf. Clinton, fast. III p. 15 19 ***ὀλυμπιάδος* BVE** *ὀλυμπιάς* rel. *δὲ* ante *ρκζ'* om. **V** habent rel. *δὲ ἦν vulg.* *ρκζ'* **BVE** *ἑκατοστῆς ἑβδόμης* **A** ol. *ρκδ'*, qua regnare coepit Philad., perperam nominatam fuisse putat *Gutschmid* 20 *οἰκισμός* **V** *Ἀρκαδίαι* **VE** 22 *Ἶβις — Ἀργοναυτικά* om. *Eud.* (cf. Unters. p. 62) *μέλη ἐρωτικὰ* vel *ἐπικήδεια* coni. *Schneider* 23 *Ἶβον* **V**

ἔγραψαν ἐν βιβλίοις κ' καὶ ρ', πίναξ καὶ ἀναγραφὴ τῶν κατὰ χρόνους καὶ ἀπ' ἀρχῆς γενομένων διδασκάλων, πίναξ τῶν Δημοκρίτου γλωσσῶν καὶ συνταγμάτων, μηνῶν προσηγορίαι κατὰ ἔθνος καὶ πόλεις, κτίσεις νήσων καὶ πόλεων καὶ μετονομασίαι, περὶ τῶν ἐν Εὐρώπῃ ποταμῶν, περὶ τῶν ἐν Πελοποννήσῳ καὶ Ἰταλίᾳ θαυμασίων καὶ παραδόξων, περὶ μετονομασίας ἰχθύων, περὶ ἀνέμων, περὶ ὀρνέων, περὶ τῶν ἐν τῇ οἰκουμένῃ ποταμῶν, θαυμάτων τῶν εἰς ἅπασαν τὴν γῆν κατὰ τόπους ὄντων συναγωγή.

CCCCXXIX. Καλλίμαχος Κυρηναῖος ἐποποιός, ἀδελφιδοῦς τοῦ προτέρου, υἱὸς Στασήνορος καὶ Μεγατίμας τῆς ἀδελφῆς Καλλιμάχου.

CCCCXXX. Καλλίνικος Γαΐου, ὁ καὶ Σουητώριος ἐπικληθείς, σοφιστὴς Σύρος, ὡς δέ τινες Ἀράβιος, τὸ δὲ ἀληθὲς Πετραῖος, σοφιστεύσας ἐν Ἀθήναις. ἔγραψε πρὸς Λοῦπον περὶ κακοζηλίας ῥητορικῆς, προσφωνητικὸν Γαλιηνῷ, πρὸς Κλεοπάτραν, περὶ τῶν κατ' Ἀλεξάνδρειαν ἱστοριῶν βιβλία ι', πρὸς τὰς φιλοσόφους αἱρέσεις, περὶ τῆς Ῥωμαίων ἀνανεώσεως καὶ ἄλλα τινὰ ἐγκώμια καὶ λόγους.

CCCCXXXI. Κάλλιππος Ἀθηναῖος φιλόσοφος, Πλάτωνος μαθητής, ὃς ἐν Συρακούσαις ἀνῃρέθη τυραννεῖν ἐπιχειρήσας. πονηρὸς οὗτος ἱστόρηται παρὰ τῷ Πλουτάρχῳ καὶ Δίωνος τοῦ Συρακουσίου προδότης.

---

2 διδασκαλιῶν *Pearsonus*. Totum locum male constituit *Bernhardy*: πίναξ καὶ ἀναγραφὴ τῶν — γενομένων [συγγραφέων καὶ] συνταγμάτων διδασκαλιῶν πίναξ, [περὶ] τῶν Δημ. γλωσσῶν, μηνῶν προσ. Sed cf. quae de lectorum additamentis exposui l. c. et Mus. Rhen. XXXV p. 215 3 Δημοκράτους **A** Δημοκράτου **V** *Eud.*, quae om. πίναξ — διδασκάλων, περὶ — ποταμῶν, περὶ — παραδόξων, sic pergens: περὶ τ. ἐν τ. οἰκ. ποτ., θαυμ. τῶν εἰς ἅπ. γῆν κατὰ τ. ὄν. συναγ. κτίσεις νήσων καὶ πόλεων καὶ μετον., περὶ μετ. ἰχθύων, περὶ ἀν., περὶ ὀρν. καὶ ἄλλα πολλά, ὡς εἴρηται 9 τόπον **E**

CCCCXXIX *Eud.* p. 442, quae inc. ἔστι καὶ ἕτ. — ἀδ. τοῦδε et om. υἱὸς — exit. 11 Στασίνορος **A**

CCCCXXX *Eud.* p. 439. Cf. v. Γενέθλιος et Ἰουλιανὸς Δόμνου. De eo cf. Müller III p. 663 13 Σουτώριος *vulg.* **Ald.** *Eud.* Σουητώριος **AV** Σουκτώριος **BEM** 14 ῥήτωρ Σύρος *Eud.* 15 ἐν Ἀθήναις om. *Eud.* 16 Λοῦππον *vulg. Eud.* Λοῦπον **A** Γαλητίνῳ **A** Γαλλήνῳ **BVE Ald.** *Eud.* Γαλιήνῳ cum *Ionsio Kusterus* 18 φιλοσόφους **AE** φιλοσόφων *vulg. Eud.*

CCCCXXXI *Eud.* p. 446, quae om. ὃς — exit. Num Hesychiana sit, dubium. De erroribus Villoisoni al. dixi Unters. p. 9 et in ed. Eud.

CCCCXXXII. *Καλλισθένης Δημοτίμου* (οἱ δὲ Καλλισθένους) Ὀλύνθιος, μαθητὴς Ἀριστοτέλους καὶ ἀνεψιαδοῦς, ὃν ἔδωκεν ἕπεσθαι Ἀλεξάνδρῳ τῷ Μακεδόνι. ὁ δ' ἐν γαλεάγρᾳ σιδηρᾷ βαλὼν ἀνεῖλεν ἅμα Νεόφρονι τῷ τραγικῷ, διότι συνεβούλευε μὴ ἐπιζητεῖν ὑπὸ Ἀθηναίων καλεῖσθαι δεσπότης. τινὲς δὲ αὐτὸν ὡς ἐπιβουλεύοντα Ἀλεξάνδρῳ ἀνῃρῆσθαί φασιν ἅμα Νεόφρονι. εὐφυὴς πρὸς τὸ αὐτοσχεδιάζειν καὶ ῥύμῃ πολλῇ φέρεσθαι. [καὶ φέρεται λόγος, ὡς ὁ Καλλισθένης ὑπὸ φθειρῶν ὑπερβλύσεως καὶ ἐκβράσεως τὸν βίον καταστρέφει. καὶ μαρτυρεῖ ὁ ἴαμβος οὗτος 'καὶ φθειριῶσαν ὡς ὁ πρὶν Καλλισθένης', περὶ τῆς ἰατρικῆς τέχνης λέγων, ὡς ἠμέλητο πάνυ.]

CCCCXXXIII. *Κάνθαρος* Ἀθηναῖος κωμικός. μνημονεύεται τούτου δράματα Μήδεια, Τηρεύς, Συμμαχία, Μύρμηκες, Ἀηδόνες.

CCCCXXXIV. *Καπίτων* Λύκιος, ἱστορικός. οὗτος ἔγραψεν Ἰσαυρικὰ βιβλία η', μετάφρασιν τῆς ἐπιτομῆς Εὐτροπίου, ⟨τοῦ⟩ Ῥωμαϊστὶ ἐπιτεμόντος Λίβιον τὸν Ῥωμαῖον, καὶ περὶ Λυκίας καὶ Παμφυλίας.

CCCCXXXV. *Καρκῖνος* Ἀκραγαντῖνος τραγικός.

CCCCXXXII Cf. Müller, Script. Al. p. 1. Cf. etiam Diog. V, 6. De additamentis articuli dixi Mus. Rhen. l. c.; in nonnullis discrepat Daub, Stud. p. 6 2 *ἀνεψιδοῦς* **BVE** 4 *Νεάρχῳ* libri, *Ἑρμολάῳ* olim conieci; *Νεόφρονι Reinesius, Bernhardy, Westerm.*, idem paulo infra restitui pro *Νεάρχῳ* coll. *Suid.* v. *Νεόφρων*, unde historia desumpta 5 *αὐτῷ συνεβ. vulg. αὐτῷ* om. **A** 6 *σὺν Ἀλ.* **BV** 7 *ἦν δὲ εὐφ. vulg. ἦν δὲ* om. **ABV**. Ceterum Hesychii vitam usque ad *καὶ φέρεται* pertinere putat *Daub*, qui verba *εὐφυής — φέρεσθαι* post *Μακεδόνι* transponere mavult

CCCCXXXIII *Eud.* p. 442. Cf. Meineke I p. 251, qui ex fabulis *Μύρμηκες* et *Ἀηδόνες* nulla superesse fragmenta monuit 14 *Συμμαχία* corr. *Porson.* Advers. p. 298, probavit *Meineke, Συμμαχίαι vulg. Eud.* *καὶ ἄλλα τινά* add. *Eud.*

CCCCXXXIV *Eud.* p. 437. Cf. Daub, Stud. p. 6. Alterius Capitonis poetae epici *Ἐρωτικά* laudat Athen. X p. 425, de quo cf. Rohde, Gr. Roman p. 131 not. 1, de tertio, ut videtur, Pergameno poëta agitur Ins. A. III, n. 769 17 *ιη'* corr. *Pearsonus,* laudante *Kustero,* permotus Steph. Byz. v. *Ψίμαδα*, ubi tamen *ἐν ε'* scripsit *Meineke* 18 *τοῦ* post *Εὐτ.* add. *Daub* *Λιβ. Ῥωμ. τὸν Παταβῖνον Eud.* 19 *καὶ περὶ Λυκ.* seq. iniuria susp. *Daubio*

CCCCXXXV—CCCCXXXVI *Eud.* p. 442. Tractant Meineke I p. 505, Welcker, Gr. Trag. p. 1018; Daub, de Suid. p. 472 20 *μαρκῖνος* **BVE**

καὶ Καρκῖνος Θεοδέκτου ἢ Ξενοκλέους Ἀθηναῖος τραγικός. δράματα ἐδίδαξεν ρξ', ἐνίκησε δὲ α'. ἤκμαζε κατὰ τὴν ρ' ὀλυμπιάδα, πρὸ τῆς Φιλίππου βασιλείας τοῦ Μακεδόνος. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἀχιλλεύς, Σεμέλη [ἧς ἀρχή, ... ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς.]

CCCCXXXVI. *Καρκῖνος ποιητὴς Ἀττικός.*

CCCCXXXVII. *Καρνεάδης Λίβυς ἀπὸ Κυρήνης, υἱὸς Φιλοκώμου, φιλόσοφος, ἀφ' οὗπερ ἡ νέα Ἀκαδήμεια ἤρξατο. φασὶ δὲ τελευτήσαντος αὐτοῦ τὴν σελήνην ἐκλιπεῖν καὶ τὸν ἥλιον ἀμυδρὸν γενέσθαι.*

CCCCXXXVIII. *Καρνεάδης ἕτερος, Ἀθηναῖος φιλόσοφος, μαθητὴς Ἀναξαγόρου.*

CCCCXXXIX. *Κάστωρ Ῥόδιος, ἢ ὥς τινες Γαλάτης, ὡς δὲ ἄλλοι ἐπλανήθησαν Μασσαλιώτης, ῥήτωρ, ὃς ἐκλήθη Φιλορώμαιος. γήμας δὲ οὗτος Δηιοτάρου τοῦ συγκλητικοῦ θυγατέρα ἀνῃρέθη ὑπ' αὐτοῦ ἅμα τῇ γαμετῇ, διότι αὐτὸν Καίσαρι διέβαλεν. ἔγραψε δὲ ἀναγραφὴν [Βαβυλῶνος καὶ] τῶν θαλασσοκρατησάντων ἐν βιβλίοις β', χρονικὰ ἀγνοήματα,*

καὶ ἕτερος ποιητὴς Ἀττικός. καὶ ἄλλος Θεοδέκτου **V**, *Ἀθ. τραγικός Eud.* Tertium poetam fortasse librarii finxerunt 2 *οὗτος ἐδ. Eud.*
4 *ἧς ἀρχή* corr. *Kusterus* coll. Athen. XIII p. 559 *ἢ ἀρχὴ* libri *καὶ ἄλλα Eud.* adscripsit librarius ex Athenaei loco laudato, itaque om. *Eud.* Cf. v. *Κλεοβουλίνη* s. fin.

CCCCXXXVI Idem poeta est (alter Eudociae), quem vexarunt poetae comici Pherecrates, Aristophanes, Plato. Cf. etiam Phot. lex. v. *Καρκίνου ποιήματα.* Addidit Suidas schol. Ar. Pac. 785 (cf. Suid. s. *Σφυρίδες*) unde fortasse tota vita manavit

CCCCXXXVII Cf. Diog. IV, 62 seq. *Eud.* p. 446 8 *Φιλοκόμου Eud.* *ἀκαδημία* libri 9 *αὐτοῦ* om. *Eud.* *ἐκλείπειν* **V**, cuius in marg. legitur *ψεῦδος*; fortasse *φασὶ* — exit. lectori debentur, qui compilavit Diog. IV, 64

CCCCXXXVIII om. *Westerm.* 12 Anaxagoras fort. rhetor Isocrateus, quem laudat Diog. II, 11

CCCCXXXIX *Eud.* p. 439. Cf. Gutschmid, in Euseb. ed. Schöne I app. p. 241 13 *Γαλ. ῥήτωρ, Φιλορ. κληθείς* rel. om. *Eud.* 14 *ὃς ἐκλήθη* — exit. om. **E**, quorum loco *ἔγραψε διάφορα* habet 15 *γήμας* — *διέβαλεν* om. *Eud.* de *συγκλητικοῦ* dubitat **A.** *Schäfer,* Abriss II p. 69 17 *Βαβυλῶνος καὶ* om. *Eud.* susp. *Bernhardyo* et *Westerm.*, qui uncis secluserunt, *βασιλέων* et *βιβ. ϛ'* coni. *Gutschmid.* Fortasse vero verba aut ex margine glossae *καταγηράσαις*, qua de Sardanapale agitur, aut unius alteriusve glossarum Herodotearum, quae sequuntur, huc casu intrusa sunt

καὶ περὶ ἐπιχειρημάτων ἐν βιβλίοις ε', περὶ πειθοῦς β', περὶ τοῦ Νείλου, τέχνην ῥητορικὴν καὶ ἕτερα.

CCCCXL. Κέβης Θηβαῖος φιλόσοφος, Σωκράτους μαθητής. διάλογοι δὲ αὐτοῦ φέρονται γ'· Ἑβδόμη, Φρύνιχος, Πίναξ (ἔστι δὲ τῶν ἐν Ἅιδου διήγησις), καὶ ἄλλα τινά.

CCCCXLI. Κελσῖνος Εὐδώρου, Κασταβαλεὺς φιλόσοφος. ἔγραψε συναγωγὴν δογμάτων πάσης αἱρέσεως φιλοσόφου καὶ ἕτερα.

CCCCXLII. Κεφαλίων | ἢ Κεφάλων Γεργίθιος |, ῥήτωρ καὶ ἱστορικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ. ἔφυγε δὲ τὴν πατρίδα δι' ἀπέχθειαν δυναστῶν καὶ ἐβίω ἐν Σικελίᾳ. ἔγραψε παντοδαπὰς ἱστορίας ἐν βιβλίοις θ', ἅτινα ἐπιγράφει Μούσας, Ἰάδι διαλέκτῳ, | μελέτας τε ῥητορικάς, | καὶ ἄλλα τινά.

CCCCXLIII. Κέφαλος Ἀθηναῖος ῥήτωρ καὶ δημαγωγός, ὃς πρῶτος προοίμια καὶ ἐπιλόγους προσέθηκε. γέγονε δὲ ἐπὶ τῆς ἀναρχίας. [ὅτι Κέφαλος οὗτος ἔσχε θυγατέρα τὴν Οἴην.]

CCCCXLIV. Κηφισόδωρος Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας. ἔστιν αὐτοῦ τῶν δραμάτων Ἀντιλαΐς, Ἀμαζόνες, Τροφώνιος, Ὗς.

---

1 ε' ex B reposuit *Kusterus*, idem praebet V, πέντε A θ' *vulg. Eud.*
CCCCXL *Eud.* p. 446. Cf. quae dixi v. Κάλλιππος 4 φέρονται αὐτοῦ *Eud.* 5 ἔστι δὲ καὶ τῶν *Hemsterhusius*

CCCCXLI *Eud.* p. 446. Qui homo fuerit, nescitur: cf. Diels, Doxogr. p. 184 not. 6 Κασταβασιλεύς V Κασταβαλάς BE 7 φιλοσόφων *Eud.* quae rel. om.

CCCCXLII *Eud.* p. 440. Cf. Müller III p. 68 et 625, qui historicum iuniorem Cephalionem et antiquiorem Cephalonem confusos esse vidit (cf. Strabo XIII p. 589); etiam tertium, rhetorem, accessisse, contendit *Daub*, Stud. p. 7 9 Γεργίθιος AV Γεργήθιος rel. Cf. Lobeck, Agl. II p. 995 seq. 11 ἐβίωσεν *vulg.* ἐβίω VE 12 ἐπιγράφει ex A *Kusterus* ἐπιγράφουσι rel. *Eud.* 13 μελέτας rhetori dedi καὶ ἄλλα πολλά *Eud.*

CCCCXLIII *Eud.* p. 440. Cf. Ruhnken. hist. or. p. XLI 15 συντέθεικε *vulg. Eud.* προσέθηκε ABVE ἐπὶ τῆς ἀναρχίας ex Par. *Kusterus* πρὸ τ. ἀν. οε' libri, ὀλυμπιάδας post οε' add. *Eud.*, ubi οε ex ὅτι insequentis glossae esse ortum perspexit *Bernhardy*, qua vocula semel mutata ὀλυμπιάδας adscripsit lector insipiens; olim fuisse ἐπὶ τ. ἀν. ὀλυμπιάδι ϙε' putat *Daub*, maiorem et iuniorem rhetorem hic confusos esse ratus 16 Haec ex glossa Οἰῆθεν fluxisse dixi Mus. Rhen. XXXV p. 215, merito om. *Westerm.*

CCCCXLIV *Eud.* p. 443. Cf. Meineke I p. 267 seq. 17 τραγικός — τραγῳδίας libri, corr. *Kusterus,* quia comicum agnoscunt Athen. IX p. 459 et Pollux IV, 24 18 φέρεται αὐτοῦ δράματα *Eud.* Ἀντιλαΐς om. *Eud.* υἱός pro ὗς V

CCCCXLV. *Κικίλιος* Ἀργεῖος ἐποποιός, ἁλιευτικὰ γεγραφώς [καὶ Νουμήνιος Ἡρακλεώτης, Παγκράτης Ἀρκάς, Ποσειδώνιος Κορίνθιος, Ὀππιανὸς Κίλιξ. καταλογάδην δὲ ἔγραψαν οὗτοι· Σέλευκος Ταρσεύς, Λεωνίδης Βυζάντιος, Ἀγαθοκλῆς Ἀτράκιος.]

CCCCXLVI. *Κλαυδιανὸς* Ἀλεξανδρεύς, ἐποποιὸς νεώτερος. γέγονεν ἐπὶ τῶν χρόνων Ἀρκαδίου καὶ Ὁνωρίου τῶν βασιλέων.

CCCCXLVII. *Κλεάνθης* ὁ Κάσσιος χρηματίσας Φανίου, [Ἄσσιος,] μαθητὴς Κράτητος, εἶτα Ζήνωνος, οὗ καὶ διάδοχος γέγονε, διδάσκαλος δὲ τοῦ φιλοσόφου Χρυσίππου τοῦ Σολέως καὶ Ἀντιγόνου τοῦ βασιλέως. οὗτος πρότερον ἦν πύκτης, ἐλθὼν δὲ εἰς Ἀθήνας ἠράσθη φιλοσοφίας, καὶ τοσοῦτον γέγονε φιλόπονος, ὡς καὶ δεύτερος Ἡρακλῆς κληθῆναι. [μὴ ἔχων γὰρ ὅθεν τραφείη, τὰς μὲν νύκτας ἤντλει ὕδωρ μισθοῦ καὶ μεθ' ἡμέραν τοῖς μαθήμασι καὶ τοῖς βιβλίοις ἐσχόλαζεν. ὅθεν ἐπωνομάσθη καὶ Φρεάντλης.] ἔγραψε δὲ πάνυ πολλά.

CCCCXLVIII. *Κλέαρχος* Σολεύς. ἔγραψε διάφορα.

CCCCXLV *Eud.* p. 443 1 *Καίκαλος* vel *Κίκαλος* reponi iubet *Meineke*, An. crit. in Athen. p. 6 seq. Cf. Volkmann, Symb. Bonn. p. 717 seq. 2 post *γεγραφώς* add. *Eud.* *καὶ περιήγησιν Ἑλλάδος καὶ ἄλλα*, quae verba ab imperito lectore aut ab ipsa Eudocia ad exemplum vitae Dion. Corinth. addita esse non persuasit *Daub*, de Viol. p. 5, utique ficticia putat etiam *Pulch*, de Viol. p. 86, negat *Gutschmid*. Ceterum verba *καὶ Νουμήνιος* — exit. adscripsit Suidas ex Athen. I p. 13 *Νουμίνιος* **A** *Ἡρακλεώτης* **V** *Ἡρακλειώτης vulg.*

CCCCXLVI *Eud.* p. 443. Memoravit etiam Euagrius, Hist. eccl. I, 19. Tractavi Mus. Rhen. XXXVI p. 319. Errorem Ieepii, praef. Claud. I p. V, refutavit Rohde, Mus. Rhen. p. 167 not. 1. Alii graecum poetam a latino diversum fuisse autumant. Cf. Teuffel, Lit. R. § 429, 5 et 8

CCCCXLVII *Eud.* p. 447. Cf. Diog. VII, 168 seq. 9 *ὁ Κάσσιος* libri, quod corruptum esse constat, *ὁ καὶ Ἄσσιος* corr. *Daub*, Mus. Rhen. XXXV p. 68 coll. Suid. v. *Ἀντέρως*, *Εἰρηναῖος*, *Σερῆνος*, *Ῥιανός* al., sed mendum *Κάσσιος* Hesychio antiquius esse monet *Gutschmid* *εἷς ἦν καὶ αὐτὸς τῶν Κυν. φιλοσόφων*, *Κάσσιος Eud.* *χρηματίσας Φανίου*, *ὁ Ἄσσιος* *Menagius* in Diog. l. c. *Ἄσσιος* correcturam mendosi *Κάσσιος* esse vidit *Bernhardy* 12 *οὗτος* — *φιλοσοφίας*, *ἔγραψε* — exit. om. *Eud.* 14 *ὥστε vulg.* *ὡς καὶ* **ABV** 15 *μὴ ἔχων* — exit. accessisse ex glossa *φρεάντλης* docui Mus. Rhen. XXXV p. 216. Descripsit *Pseudo-Hesych.* c. 42 16 *μισθῷ* libri *μισθοῦ Hes.* *ἡμέρας* **V**

CCCCXLVIII om. *Westerm.*

καὶ Κλέαρχος ο Ποντικὸς νέος ὢν εἰς Ἀθήνας ἀφί· ἀκοῦσαι Πλάτωνος.

CCCCXLIX. Κλεοβουλίνη Λινδία, θυγάτηρ Κ. βούλου τοῦ σοφοῦ. ἔγραψεν ἔπη καὶ γρίφους καὶ τὸ ᾀδ νον εἰς τὸν ἐνιαυτὸν αἴνιγμα, [οὗ ἡ ἀρχή 'εἷς ὁ πα παῖδες δὲ δυώδεκα, τῶν δὲ ἑκάστῳ παῖδες τριάκοντα'.]

CCCCL. Κλεόβουλος Εὐαγόρου Λίνδιος, εἷς ζ' ὀνομαζομένων σοφῶν, ῥώμῃ καὶ κάλλει διαφέρων κατ' αὐτόν, μετέσχε τε τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας. [νετο δὲ αὐτῷ θυγάτηρ Κλεοβουλίνη ἑξαμέτρων αἰνιγμά ποιήτρια.] οὗτος ἔγραψεν ᾄσματα καὶ γρίφους εἰς ἔπη τ χίλια. [τῶν δὲ ᾀδομένων αὐτοῦ εὐδοκίμησε τάδε. 'ἀμ σία τὸ πλέον μέρος ἐν βροτοῖσιν.' ἔλεγέ τε τὸν φίλον εὐεργετεῖν, ὅπως μᾶλλον ᾖ φίλος, τὸν δὲ ἐχθρὸν φίλον εἶν. 'εὐτυχῶν μὴ ἔσο ὑπερήφανος, ἀπορήσας μὴ ταπει τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν.'] ἐτε τησε δὲ γηραιός, ἔτη βιοὺς ο'. [ἀπεφήνατο 'πάντων μέτ ἄριστον.' καὶ Σόλωνι ἐπέστειλεν οὕτω· 'πολλοί μέν τιν σὶν ἑταῖροι καὶ οἶκος πάντῃ, φαμὶ δ' ἐγὼ ποτανεστάταν σθαι Σόλωνι τὰν Λίνδον δαμοκρατευμέναν, καὶ ἁ νᾶ πελαγία.']

CCCCLI. Κλεοφῶν Ἀθηναῖος τραγικός. τῶν δραμά

---

1 de Pontico cf. Phot. bibl. p. 222 seq. 2 De additamentis Mus. Rhen. l. c. Nunc totam vitam a Suida additam putaverim

CCCCXLIX *Eud.* p. 447. Vitas Cleobulinae et Cleobuli pe batas esse docui Mus. Rhen. l. c. p. 216, nec minus alteram vitam ditamentis interpolatam ex Diog. I, 89 et 91. Cf. etiam Bergk, lyr. p. 971. Hanc suspicor pristinam utriusque formam fuisse: Κλ. δία, θυγάτηρ Κλ. τοῦ σοφοῦ, ἑξαμέτρων αἰνιγμάτων ποιήτρια. Κλε λος, Εὐαγ. Λίνδιος, εἷς τῶν ζ ὀνομαζομένων σοφῶν, ῥώμῃ καὶ κ διαφέρων τῶν κατ' αὐτόν, μετέσχε δὲ τῆς ἐν Αἰγύπτῳ φιλοσο ἔγραψεν ᾄσματα — τρισχίλια. ἐτελεύτησε — βιοὺς ο' 3 Κλεοβ *Eud.* 4 ἔγραψεν om. **V** γρίφια *Eud.* 5 de epigr. cf. Anth. XIV, 101. Suidam errantem illud aenigma Cleobulinae dedisse *Hiller*, Mus. Rhen. XXXIII p. 524

CCCCL 10 Κλεοβούλη *vulg.* recte **ABV** 12 interpolator adsc ex schol. Ar. Lys. 1237 13 δεῖ **V**, quod rec. *Westerm.* 17 φήνατο **ABV** οὗτος ἀπ. rel. 20 δαμοκρατεῖν μὲν οὖν **ABVE** δημοκρ. suprascr. **V**) corr. *Toupius* δαμοκρατεῖται *Kusterus*

CCCCLI *Eud.* p. 444. Cf. Welcker, Gr. Trag. p. 1010; Kayser, crit. trag. p. 228

αὐτοῦ Ἀκταίων, Ἀμφιάραος, Ἀχιλλεύς, Βάκχαι, Δεξαμενός, Ἠριγόνη, Θυέστης, Λεύκιππος, Πέρσις, Τήλεφος.

CCCCLII. Κλήμης ἱστορικός. ἔγραψε Ῥωμαίων βασιλεῖς καὶ αὐτοκράτορας, | καὶ πρὸς Ἱερώνυμον περὶ τῶν Ἰσοκρατικῶν σχημάτων, καὶ ἄλλα. |

CCCCLIII. Κοδράτος Ῥωμαῖος ἱστορικός. ἔγραψεν Ἰάδι διαλέκτῳ ἱστορίαν Ῥωμαϊκὴν ἐν βιβλίοις ιε', (ἐπιγραφὴν δὲ Χιλιετηρίδα,) καὶ περιέχει ⟨τὰ⟩ ἀπὸ κτίσεως Ῥώμης ἕως Ἀλεξάνδρου τοῦ Μαμαίας υἱοῦ Καίσαρος.

CCCCLIV. Κοκκηιανὸς ὁ Δίων [ὄνομα κύριον]...

CCCCLV. Κόκκος ῥήτωρ Ἀθηναῖος, μαθητὴς Ἰσοκράτους. λόγους ῥητορικούς.

DCXIII *Eud.* p. 603. Cf. v. *Ἐπίκουρος*. Cf. Müller IV p. 466, Urlichs, Mus. Rhen. XVI p. 247. Hunc pictorem esse Amphipolitanum vidit *Bernhardy*. De pictoribus Hesychii cf. v. *Ἀπελλῆς, Προτογένης*. Omnia huius

πολίτης, φιλόσοφος |, || ὁ ἐπικληθεὶς Φιλογράμματος ||, εἰκόνας κατὰ στοιχεῖον, || τέχνην γραμματικήν ||, περὶ γραφικῆς καὶ ζωγράφων ἐνδόξων, | γεωργικὰ βιβλία γ' |.

DCXIV. *Παναίτιος* Ῥόδιος, ὁ πρεσβύτης, φιλόσοφος, οὗ πολὺς ἐν φιλοσόφοις λόγος. φέρεται αὐτοῦ βιβλία φιλόσοφα πλεῖστα.

DCXV. *Παναίτιος* ὁ νεώτερος, Νικαγόρου, Ῥόδιος, φιλόσοφος Στωικός, Διογένους γνώριμος, ὃς καθηγήσατο καὶ Σκηπίωνος τοῦ ἐπικληθέντος Ἀφρικανοῦ μετὰ Πολύβιον Μεγαλοπολίτην. ἐτελεύτησε δ' ἐν Ἀθήναις.

DCXVI. *Πανόλβιος* ἐπῶν ποιητής. ἔγραψε διάφορα, καὶ πρὸς Αἰθέριον μετὰ τὴν νόσον δι' ἐπῶν καὶ πρὸς Ἐρύθριον καὶ πρὸς Δωρόθεον ἡγεμόνα καὶ κόμητα καὶ εἰς Ἀφθόνιον κόμητα καὶ ἐπιτάφιον Ὑπατίας θυγατρὸς Ἐρυθρίου.

DCXVII. *Πανύασις* Πολυάρχου Ἁλικαρνασσεύς, | τερατοσκόπος καὶ | ποιητὴς ἐπῶν. οὗτος σβεσθεῖσαν τὴν ποιητικην ἀνήγαγε. Δοῦρις δὲ Διοκλέους τε παῖδα ἀνέγραψε καὶ Σάμιον· ὁμοίως δὲ καὶ Ἡρόδοτον Θούριον. ἱστόρηται δὲ Πα-

---

auctoris scripta grammatico temere tribuit *Lambecius*; sed τέχνην γραμματικὴν a pictore abiudicari et ad grammaticum reiici opus est, cum pictorem maxime deceant: εἰκόνας — περὶ γραφικῆς καὶ ζωγράφων ἐνδόξων. Philosophum Platonicum, quem laudant Cic. nat. d. I, 26, Diog. X, 14, hic non intellegi patet 1 ὁ ἐπ. φιλογράμματος corr. *Lambecius*, merito ad grammaticum referens, ὁ ἐπ. φιλοπράγματος *vulg.* εἰκόνας τῶν βοτανῶν perperam coni. *Lambecius*, Philostrati περὶ εἰκόνων libros rectius in memoriam revocavit *Kusterus*. Ceterum Πάμφ. Νικοπολίτης, φιλόσοφος, γεωργ. βιβ. γ' botanicum, quem laudat Galenus, spectare vidit *Gutschmid* 3 γεωργικά om. **A**, unde fragmenta hodie exstare monuit *Kusterus*

DCXIV *Eud.* p. 603. Memoratur v. Ἀντιφάνης Ἀθηναῖος, Ἀπολλόδωρος, Πολύβιος, Ποσειδώνιος 4 πρεσβύτερος *Westerm.* 5 πολλοῖς et ὁ λόγος **A**

DCXV *Eud.* l. c., quae incipit καὶ ἕτερος Παν. 8 Διογ. i. e. Babylonii καὶ add. **ABVE** 9 μετὰ τὸν Μεγ. *Eud.* Σκιπ. libri

DCXVI *Eud.* p. 595. Cf. Düntzer, Ep. fr. II p. 110. Zenonis aetate eum vixisse docet Suid. v. Ἐρύθριος 13 Ἐθέριον **Ald.** *Eud.* 14 diversam eam esse ab Hypatia, Theonis filia, notissimum est

DCXVII *Eud.* p. 596. Cf. v. Ἀντίμαχος. Tractant Naeke, Choeril. p. 17, Tzschirner, Pan. fr. p. 7 sq. 15 Πολυάρχου — ἱστόρησαν om. **A** τερατόσκοπος pertinere ad alterum Panyasidem philosophum recte perspexit *Fabricius* 16 οὗτος — ἀνήγαγε scripsi cum **V**, ὃς ἐπανήγαγε *vulg.* 17 de Duride cf. Müller II p. 482 (fr. 57) Δοῦρις δὲ — ὁ δὲ Πανύασις om. *Eud.* 18 ὁμοίως καὶ **BV** ὁμοίως ὡς dubitanter *Gutschmid* Ἡρόδοτον Θούριον sc. ἀνέγραψε corr. *Wesseling* Ἡρόδοτος *vulg.* ὁμοίως καὶ Νυμφόδωρος (vel Ἡρόδωρος), Θούριον δὲ Tzschirner p. 11

νύασις Ἡροδότου τοῦ ἱστορικοῦ ἐξάδελφος· γέγονε γὰρ Πανύασις Πολυάρχου, ὁ δὲ Ἡρόδοτος Λύξου τοῦ Πολυάρχου ἀδελφοῦ. τινὲς δὲ οὐ Λύξην, ἀλλὰ Ῥοιὼ τὴν μητέρα Ἡροδότου Παννάσιδος ἀδελφὴν ἱστόρησαν. ὁ δὲ Πανύασις γέγονε κατὰ τὴν οη' ὀλυμπιάδα, κατὰ δέ τινας πολλῷ πρεσβύτερος· καὶ γὰρ ἦν ἐπὶ τῶν Περσικῶν. ἀνῃρέθη δὲ ὑπὸ Λυγδάμιδος τοῦ τρίτου τυραννήσαντος Ἁλικαρνασσοῦ. ἐν δὲ ποιηταῖς τάττεται μεθ' Ὅμηρον, κατὰ δέ τινας καὶ μεθ' Ἡσίοδον καὶ Ἀντίμαχον. ἔγραψε δὲ καὶ Ἡρακλειάδα ἐν βιβλίοις ιδ', εἰς ἔπη ͵θ, Ἰωνικὰ ἐν πενταμέτρῳ (ἔστι δὲ τὰ περὶ Κόδρον καὶ Νηλέα καὶ τὰς Ἰωνικὰς ἀποικίας) εἰς ἔπη ͵ζ.

DCXVIII. Πανύασις Ἁλικαρνασσεὺς νεώτερος, φιλόσοφος. περὶ ὀνείρων βιβλία β'.

DCXIX. Πάξαμος ... λόγιος. Ὀψαρτυτικὰ κατὰ στοιχεῖον, Βοιωτικὰ ἐν βιβλίοις β', Δωδεκάτεχνον (ἔστι δὲ περὶ αἰσχρῶν σχημάτων), Βαφικὰ βιβλία β', Γεωργικὰ β'.

DCXX. Πάππος Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς κατὰ τὸν πρεσβύτερον Θεοδόσιον τὸν βασιλέα, ὅτε καὶ Θέων ὁ φιλόσοφος ἤκμαζεν, ὁ γράψας εἰς τὸν Πτολεμαίου κανόνα. βιβλία δὲ αὐτοῦ· Χωρογραφία οἰκουμενική, εἰς τὰ δ' βιβλία τῆς Πτολεμαίου μεγάλης Συντάξεως ὑπόμνημα, Ποταμοὺς τοὺς ἐν Λιβύῃ, | Ὀνειροκριτικά. |

---

2 Ξύλου V 3 τινὲς δὲ — Περσικῶν om. V τινὲς δὲ οὐ θεῖον Λύξην coni. *Gutschmid*; pro Ῥοιώ legitur Δρυώ v. Ἡρόδοτος 4 Πολυάρχου pro Παννάσιδος, coni. *Heyse* 5 οὐ πολλῷ *Daub* πολλῷ — ἦν om. *Eud.* 7 Ἁλικαρνασοῦ V 8 τέτατται A κατὰ δὲ — Ἀντίμ. in V sub fin. add. 9 ὡς ἔπη *Eud.* 11 τῆς Ἰωνικῆς temere coni. *Heyse*

DCXVIII om. *Westerm.* Meminit Artemidor. I, 2 et II, 35

DCXIX om. *Westerm.* Cf. Müller IV p. 472. Fortasse ab Hesychio aliena. Cf. Athen. IX p. 376, Pollux VI c. 10; Boisson. An. I p. 413, Volkmann, Symb. p. 719 14 λόγιος cf. Ἕρμιππος Βηρύτιος. λόγιος σφόδρα et Νόννος — λογιώτατος. Si Hesychiana est, lacunam ante λόγιος indices oportet. ἔγραψεν post λόγιος om. **VE**, expunxit *Bernhardy* 15 Βοιωτικά et infra Βαφικά susp. *Bernhardyo* Βιωτικά maluit *Hemsterhusius*, Βοιωτιακά *Müller*, cui historia Romanensis fuisse videtur, et argumenti quidem paederastici monente *Gutschmidio*, ita ut omnia recte se habeant; idem γεωργικὰ ς' corrigendum esse vidit, cum in fragmentis etiamnum in Geoponicis servatis liber tertius laudetur

DCXX *Eud.* p. 604 18 βασιλέα Θεοδ. pars codd. et *Eud.* 21 Ποταμούς et Ὀνειρ. suspect. *Bernhardyo*, qui collectionem mathematicam silentio praetermissam miratur. Ὀνειροκριτικά alteri Pappo tribuit *Gutschmid*

DCXXI. *Παρθένιος* Ἡρακλείδου καὶ Εὐδώρας (Ἕρμιππος δὲ Τήθας φησί), Νικαεὺς ἢ Μυρλεανός, ἐλεγειοποιὸς καὶ μέτρων διαφόρων ποιητής. οὗτος ἐλήφθη ὑπὸ Κίννα λάφυρον, ὅτε Μιθριδάτην Ῥωμαῖοι κατεπολέμησαν, εἶτα ἠφείθη διὰ τὴν παίδευσιν καὶ ἐβίω μέχρι Τιβερίου τοῦ Καίσαρος. ἔγραψε δι' ἐλεγείας Ἀφροδίτην, Ἀρήτης ἐπικήδειον τῆς γαμετῆς, Ἀρήτης ἐγκώμιον ἐν γ' βιβλίοις καὶ ἄλλα πολλά.

DCXXII. *Παρθένιος* Χῖος ἐποποιός, υἱὸς Θέστορος, ὃς ἐπεκαλεῖτο Χάος, Ὁμήρου δὲ ἦν ἀπόγονος. ἐποίησεν εἰς Θέστορα τὸν ἑαυτοῦ πατέρα. | οὗτος ἔγραψε καὶ περὶ μεταμορφώσεων. |

DCXXIII. *Παρμενίδης* Πύρητος, Ἐλεάτης φιλόσοφος, μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου, ὡς δὲ Θεόφραστος, Ἀναξιμάνδρου τοῦ Μιλησίου. αὐτοῦ δὲ διάδοχοι ἐγένοντο Ἐμπεδοκλῆς τε ὁ καὶ φιλόσοφος καὶ ἰατρὸς καὶ Ζήνων ὁ Ἐλεάτης. ἔγραψε δὲ φυσιολογίαν δι' ἐπῶν καὶ ἄλλα τινὰ καταλογάδην, ὧν μέμνηται Πλάτων.

DCXXIV. *Παῦλος* Αἰγινήτης ἰατρός. ἔγραψεν ἰατρικὰ βιβλία διάφορα.

DCXXI *Eud.* p. 596. Tractat Meineke, An. p. 255 seq. Cf. Steph. Byz. v. Νίκαια et Rohde, Mus. Rhen. XXXIV p. 569, qui ex attributo Μυρλεανός Parthenium ante a. 91 natum esse conclusit; sed a. 203 Myrleam a Prusia primo dirutam et posthac Apameam vocatam esse monet *Gutschmid* 1 Ἕρμιππος — φησι om. A; de Hermippo v. Wachsmuth, Symb. p. 141 2 Νικαιεύς A 3 ποιητὴς ἐπὶ Τιβερίου *Eud.* οὗτος — Καίσαρος om. *Eud.* Pro Cinna dubitanter de Caecina cogitavit *Meineke*, cum a. 73 ab Helvio Cinna (cf. Plut. Brut. 26) captum non probabile sit; de Helvio Cinna, poetae parente, cogitat *Kiessling*, Comm. phil. Mommsen. p. 352, non ad ducem sed ad dominum qui emit, spectare ratus coll. v. Ἀλέξανδρος et Τιμαγένης 4 εἰ ἠφείθη V 5 διὰ τὴν παίδευσιν cf. v. Ἰόβας de verbis μέχρι Τιβ. v. Meineke p. 257 6 ἔγραψεν ἐλεγεῖα εἰς *Eud.* ἔγραψε δι' ἐλεγείας corr. *Schneider*, Call. II p. 32, *Wachsmuth*, Symb. p. 142 (cf. Daub, de Suid. p. 427) ἔγραψε δὲ ἐλεγεῖα εἰς *vulg.* ἐλεγείας om. εἰς V 7 καὶ ἐγκώμιον εἰς τὴν αὐτὴν *Eud.* καὶ ἄλλα πολλά om. *Eud.*

DCXXII *Eud.* p. 597 9 Χαός praefert *Meineke*, An. p. 270 not. 2 10 οὗτος — exit. om. *vulg. Eud.* add. ex A *Kusterus* (nisi quod μεταμορφώσεως pro μεταφορφώσεων scripsit), seclusit *Bernhardy* tanquam e glossa Νέστωρ huc translata. Sed ad Nicaeensem spectare manifestum est: cf. Rohde, Gr. Roman p. 93. Ceterum fort. corrigas μεταμορφώσεις

DCXXIII *Eud.* p. 604. Cf. Diog. IX, 21 12 δὲ om. A 14 ὁ καὶ ABE καὶ ὁ V 16 Plat. Parmen. p. 128 vel Soph. p. 237. Cf. Karsten, Parmen. rel. p. 17 seq.

DCXXIV om. *Westerm.* De hac vita uberius egi Mus. Rhen. XXXV

DCXXV. *Παῦλος Τύριος ῥήτωρ, γεγονὼς κατὰ Φίλωνα τὸν Βύβλιον, ὃς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως πρεσβεύσας μητρόπολιν τὴν Τύρον ἐποίησεν. ἔγραψε τέχνην ῥητορικήν, προγυμνάσματα, μελέτας.*

DCXXVI. *Παῦλος φιλόσοφος. εἰσαγωγὴν ἀστρολογίας καὶ ἀποτελεσματικά.*

DCXXVII. *Παῦλος Γερμηνὸς σοφιστὴς ὁ γράψας, ὅτι γε Λυσίου ἐστὶν ὁ περὶ τῆς Ἰφικράτους δωρεᾶς, βιβλία β', ὑπομνήματα εἰς τοὺς λοιποὺς λόγους Λυσίου.*

DCXXVIII. *Παῦλος Αἰγύπτιος ἐκ τῆς Λύκων, σοφιστής, υἱὸς Βησαρίωνος τοῦ καὶ Διδύμου, γεγονὼς ἐπὶ τοῦ βασιλέως Κωνσταντίνου.*

DCXXIX. *Πανσανίας Καισαρεὺς σοφιστής, σύγχρονος Ἀριστείδου, οὗ μέμνηται ὡς φαύλου ῥήτορος Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν. ἔγραψε περὶ συντάξεως βιβλίον α', προβλημάτων βιβλίον α' καὶ ἕτερα.*

DCXXX. *Πανσανίας Λάκων ἱστορικός. περὶ Ἑλλησπόντου, Λακωνικά, χρονικά, περὶ Ἀμφικτυόνων, περὶ τῶν ἐν Λάκωσιν ἑορτῶν.*

---

p. 230, sed cum Paulus Aegineta Heraclio regnante vixerit, nunc eam non ipsi Hesychio sed epitomatori tribuere malim. Cf. quae dixi ad v. *Γεώργιος Πισίδης*.

DCXXV *Eud.* p. 588 1 Cf. *Φίλων ὁ Βύβλιος*

DCXXVI om. *Westerm. Eud.* p. 604. Ad hunc spectat Leonis philosophi ep. II 5 *ἔγραψεν ἀστρ. εἰσ. Eud.*

DCXXVII *Eud.* p. 589. Cf. Blass, Att. Ber. I p. 345, Daub, Stud. p. 72. Hunc Paulum non diversum esse ab eo, quem Eunap. I p. 11 dicit aequalem Porphyrii, suspicatus est *Wyttenbach* 7 *Γερμῆνος* **AV** *Γερμῖνος vulg.*; natus erat Germae, in urbe ad Hellespontum sita, de qua v. Steph. Byz. 9 *τοῦ Λυσ. Eud.*

DCXXVIII *Eud.* l. c., quae incipit *καὶ ἕτερος Π. σοφιστής* 10 *Λυκώ Fabricius* IV p. 92, sed cf. Steph. Byz. v. *Λύκων πόλεις* 11 *Βησσαρίωνος Eud. Βησαπίωνος Valesius* 12 *Κωνστ.* **AV** *Eud.*, *ὑπόμνημα* add. rel.

DCXXIX *Eud.* p. 589. Cf. Rindfleisch, de Paus. et Ael. Dion. lex (Regim. 1866). Hunc enim lexicon rhetoricum scripsisse satis probabile est 14 *οὗ — σοφιστῶν* fortasse lectori debentur 15 Vit. Soph. II, 13 16 *καὶ ἕτερα* om. *Eud.*

DCXXX *Eud.* p. 584. Cf. Müller IV p. 467. Fortasse tacticus est, quem laudat Aelian. Tact. 1 17 *ἔγραψε περὶ Eud.*, quae s. fin. add. *καὶ ἄλλα* 18 *χρονικά* chronographi Antiocheni esse suspicatus est *Gutschmid*, *Ἀμφικτιώνων* **A** alterum *περὶ* om. **V** extremum librum a libro *Λακωνικά* non diversum esse putat *Daub*

DCXXXI. *Πείσανδρος Πείσωνος καὶ Ἀρισταίχμας Καμειραῖος ἀπὸ Ῥόδου (Κάμειρος γὰρ ἦν πόλις Ῥόδου). καί τινες μὲν αὐτὸν Εὐμόλπου τοῦ ποιητοῦ σύγχρονον καὶ ἐρώμενον ἱστοροῦσι, τινὲς δὲ καὶ Ἡσιόδου πρεσβύτερον, οἱ δὲ κατὰ τὴν λγ' ὀλυμπιάδα τάττουσιν. ἔσχε δὲ καὶ ἀδελφὴν Διόκλειαν. ποιήματα δὲ αὐτοῦ· Ἡράκλεια ἐν βιβλίοις β' (ἔστι δὲ τὰ Ἡρακλέους ἔργα), ἔνθα πρῶτος Ἡρακλεῖ ῥόπαλον περιτέθεικε. τὰ δὲ ἄλλα τῶν ποιημάτων νόθα αὐτοῦ δοξάζεται, γενόμενα ὑπό τε ἄλλων καὶ Ἀρίστεω τοῦ ποιητοῦ.*

DCXXXII. *Πείσανδρος Νέστορος τοῦ ποιητοῦ υἱός, Λαρανδεὺς ἢ Λυκάων, γεγονὼς ἐπὶ Ἀλεξάνδρου βασιλέως τοῦ Μαμαίας παιδός, ἐποποιὸς καὶ αὐτός. ἔγραψεν ἱστορίαν ποικίλην δι' ἐπῶν, ἣν ἐπιγράφει Ἡρωικῶν θεογαμιῶν, ἐν βιβλίοις ϛ', καὶ ἄλλα καταλογάδην.*

DCXXXIII. *Περίανδρος Κυψέλου Κορίνθιος, τῶν ζ' σοφῶν, γεγονὼς κατὰ τὴν λη' ὀλυμπιάδα. ἔγραψεν ὑποθήκας εἰς τὸν ἀνθρώπειον βίον, ἔπη δισχίλια. [οὗτός ἐστι Περίανδρος ὁ διὰ λύπην ἰδίαν ἀποθανών, ὡς καὶ τὸ ἐπ' αὐτῷ ἐπίγραμμα μαρτυρεῖ οὕτως ἔχον· 'μήποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος, ἀλλὰ τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός. καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη, οὕνεκεν οὐκ ἔτυχεν πρήξιος ἧς ἔθελεν'.]*

DCXXXIV. *Περικλῆς Ξανθίππου καὶ Ἀγαρίστης,*

DCXXXI *Eud.* p. 597. Cf. Steph. Byz. v. *Κάμιρος* 2 *τῶν πολιτῶν* pro *πόλις* **V** 3 *καί τινες — ἔνθα* om. **A** *καί τινες — Διόκλειαν* om. *Eud.*, quae pergit *φέρεται αὐτοῦ ποιήματα* 7 *τὰ τοῦ Ἡρ. Eud.* 8 *τὰ δὲ ἄλλα* — exit. om. *Eud.* *νόθα αὐτοῦ* **V Ald.** *αὐτοῦ νόθα* rel. 9 Aristeam poctam significari putavit *Bernhardy*, itaque *Ἀρίστεω* pro *Ἀριστέως* corr. *Daub*, *Ἀρίστεω τοῦ γόητος* praefert *Wilamowitz* Hermae XIV p. 162 coll. Strabo XIII p. 589

DCXXXII *Eud.* l. c. 10 *Νέστωρος* **A**, qui om. *Λαρανδεὺς ἢ* 11 *Λυκάων vulg. Eud.*, quod scripsi coll. Steph. Byz. v. *Λυκαονία*, *Λυκάνιος* **ABVE** *Λυκάνειος* **M Ald.** *Λυκαόνιος* coni. *Gaisford* *ἐκ Λυκίας Kusterus* 12 *παιδός* del. *Daub* *ἐποποιὸς* — exit. om. **A** 13 *Ἡρωικῶν Eud.* et *Zosim.* hist. V, 29, quod recepi, *Ἡραικῶν vulg.* 14 *ξ'* ex duobus *Par.* (et **B**) *Kusterus* *ἓξ vulg. Eud.*

DCXXXIII *Eud.* p. 604. Cf. Diog. I, 94 15 *Κυψέλλου vulg. Eud.* *Κυψέλου* **A** an *εἷς τῶν*? 16 Cf. Diog. I, 97 *ἐποίησε δὲ καὶ ὑποθήκας εἰς ἔπη δισχίλια.* Haec ex Lobonis mentitis historiis fluxisse evicit *Hiller*, Mus. Rhen. XXXIII p. 520 17 *ἀνθρώπινον vulg. Eud.* *ἀνθρώπειον* **AV** *δισχ.* om. **V** *μ'* (i. e. *β'*) **A** *οὗτος* — exit. om. *Eud.*, addidisse Suidam ex Diog. I, 97 dixi Mus. Rhen. l. c. 19 Anth. Pal. VII, 620

DCXXXIV om. *Westerm.* Totam vitam om. **A**, in cuius marg. le-

Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, ὃς πρῶτος γραπτὸν λόγον ἐν δικαστηρίῳ εἶπε, τῶν πρὸ αὐτοῦ σχεδιαζόντων. ἦν δὲ μαθητὴς Ἀναξαγόρου τοῦ Κλαζομενίου, καὶ αὐτὸς ἐρρύσατο αὐτὸν ἐκ θανάτου.

DCXXXV. Περσαῖος Κιτιεύς, φιλόσοφος Στωικός, ἐπεκλήθη δὲ καὶ Δωρόθεος. ἦν δὲ ἐπὶ τῶν χρόνων Ἀντιγόνου τοῦ Γονατᾶ υἱοῦ Δημητρίου, μαθητὴς καὶ θρεπτὸς Ζήνωνος τοῦ φιλοσόφου. ἱστορίαν.

DCXXXVI. [Πέρσης Ἀσκραῖος ἐποποιός, ἀδελφὸς Ἡσιόδου τοῦ ποιητοῦ.]

DCXXXVII. Πετόσιρις Αἰγύπτιος φιλόσοφος. καθὰ Ἕλληνες καὶ Αἰγύπτιοι τὰ περὶ θεῶν διετάξαντο, ἐπιλογὰς ἐκ τῶν ἱερῶν βιβλίων, ἀστρολογούμενα καὶ περὶ τῶν παρ' Αἰγυπτίοις μυστηρίων.

DCXXXVIII. Πέτρος ὁ ῥήτωρ, ὁ καὶ Μάγιστρος, ἱστορικός. [πρεσβευτὴς ὡς Χοσρόην σταλεὶς μάλα ἐμβριθής τε ἦν καὶ ἀνάλωτος ἐν τῷ ῥητορεύειν τῷ καταμαλάξαι φρονήματα βαρβαρικὰ σκληρά τε καὶ ὀγκώδη]. ἔγραψεν ἱστορίαν καὶ περὶ πολιτικῆς καταστάσεως.

---

guntur Περ. — δημαγωγός. *Eud.* p. 589. Cf. Blass, Att. Ber. I p. 33 1 ὃς **V** ὅστις rel. Singularis de Pericle narratio, quam ignorat Philostrat. Vit. I prooem.

DCXXXV *Eud.* p. 605. Cf. Müller II p. 623, Diels, Doxogr. p. 82 not. 2 7 υἱὸς Δημ. corr. *Kusterus* υἱοῦ *vulg.* defendit *Hemsterhus.* de θρεπτὸς cf. Wachsmuth, Symb. p. 141 8 ἔγραψεν ἱστ. *Eud.* ἱστορίαν **A** ἱστορία *vulg.*; fort. ex Petri Magistri vita illatum. Nescit Diog. VII, 36, nisi fortasse de libro πολιτεία Λακωνική cogitandum est, ἐκ φιλοσόφου ἱστορίας proposuit *Menagius* ad locum Diog., laudante *Hemsterhusio,* ad insequentem Suidae glossam Περσεύς ita rettulit *Bernhardy,* ut in margine collocatum putaret

DCXXXVI Vita nimirum commenticia. Suidae tribuit etiam *Daub* 9 γεωπόνος ridicule coni. *Ruhnken.* Ep. Crit. I p. 80, quem nec sequi nec refutare volebat *Bernhardy*

DCXXXVII Cf. Iuvenal. VI, 581 (ubi schol.: alter auctor artis mathematicae), et Ioh. Lyd. de Ostent. p. 274 Bonn., qui ante Antigonum, Arati interpretem, eum vixisse tradit. Cf. etiam Diels, Doxogr. p. 196 not. 3 12 τὰ corr. *Gutschmid* τὰς *vulg.* διετάξατο **BVE** post διετάξαντο recte interpunxit *Hemsterhus.* nomen quale φήμας excidisse putavit *Bernhardy*

DCXXXVIII *Eud.* p. 590. Cf. Steph. Byz. v. Ἀκόναι, Müller IV p. 183, et quae dixi Mus. Rhen. l. c. 15 καὶ ἱστ. *vulg. Eud.* καὶ om. **V** del. *Bernhardy* 16 quae expunxi descripsit Suidas ex Menand. Exc. de sent. p. 429 Nieb., iteravit v. ἐμβριθές, unde in Violarium migravit 18 ἱστορίαν **A** ἱστορίας *vulg. Eud.*

DCXXXIX. *Πίγρης Κὰρ ἀπὸ Ἁλικαρνασοῦ, ἀδελφὸς Ἀρτεμισίας τῆς ἐν τοῖς πολέμοις διαφανοῦς, Μαυσώλου γυναικός. ὃς τῇ Ἰλιάδι παρενέβαλε κατὰ στίχον ἐλεγεῖον, οὕτω γράψας· ‘μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος, Μοῦσα, σὺ γὰρ πάσης πείρατ' ἔχεις σοφίης’. ἔγραψε καὶ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην καὶ Βατραχομυομαχίαν.*

DCXL. *Πίνδαρος Θηβαῖος, Σκοπελίνου υἱός, κατὰ δέ τινας Δαϊφάντου, ὃ καὶ μᾶλλον ἀληθές (ὁ γὰρ Σκοπελίνου ἐστὶν ἀφανέστερος καὶ προσγενὴς Πινδάρου), τινὲς δὲ καὶ Παγώνδου ἱστόρησαν αὐτόν. μαθητὴς δὲ Μυρτίδος γυναικός, γεγονὼς κατὰ τὴν ξε' ὀλυμπιάδα, κατὰ τὴν Ξέρξου στρατείαν ὢν ἐτῶν μ'. καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων καὶ υἱὸς Δαΐφαντος, θυγατέρες δὲ Εὔμητις καὶ Πρωτομάχη. καὶ συνέβη αὐτῷ τοῦ βίου τελευτὴ κατ' εὐχάς αἰτήσαντι γὰρ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου Θεοξένου αὐτοῦ γόνατα, ἐτῶν νε'. ἔγραψε δὲ ἐν βιβλίοις ιζ' Δωρίδι διαλέκτῳ ταῦτα· Ὀλυμπιονίκας, Πυθιονίκας, Προσόδια, Παρθένια, Ἐνθρονισμούς, Βακχικά, Δαφνηφορικά, Παιᾶνας, ὑπορχήματα, ὕμνους, διθυράμβους, σκόλια, ἐγκώμια, θρήνους, δράματα τραγικὰ ιζ', ἐπιγράμματα ἐπικὰ καὶ καταλογάδην παραινέσεις τοῖς Ἕλλησι καὶ ἄλλα πλεῖστα.*

DCXXXIX *Eud.* p. 597. Cf. v. *Τιμόλαος, Ἰδαῖος*; Bergk, Poet. Lyr. p. 569 1 *Πίγνης* **AV** *Κᾶρ* **V** *Ἁλικαρνασοῦ* **AV** 3 *ἐλεγείαν* **A** 4 *οὐλομένην* post *Ἀχιλῆος* add. **ABM Ald.** om. *Eud.* *γάρ συ* **Ald.** *Eud.* 6 *Μαργαρίτην* **BVE**

DCXL *Eud.* p. 598. Cf. Steph. Byz. *Κυνὸς κεφαλαί.* De tabula carminum cf. Bergk, Poet. Lyr.[4] p. 367 seq., Daub, de Suid. p. 422 7 *Θηβαῖος vulg. Eud.* revocavit *Westerm.* *Θηβῶν* ex **AV** contra Hesychii morem praetulit *Bernhardy* 8 *ὃ καὶ ἀληθέστερον Eud.* *ὁ γὰρ Σκ. — γυναικός* om. *Eud.* 9 *συγγενὴς* coni. *Kusterus* *προγενέστερος Bernhardy* *Πινδάρου τοῦ ἑτέρου* vel *τοῦ διασήμου* addi voluit *Kusterus* 10 *Παγώνδου* corr. *Gaisford* *Πἀγωνίδου vulg.* *αὐτὸν καὶ Μυρτίδος γυναικός, μαθητὴς Λάσου ἢ Σιμωνίδου Pearson* 11 *οε'* maluit *Reinesius* 12 *στρατιὰν* **ABM Ald.** *Eud.* *καὶ ἀδελφὸς — Πρωτομάχη* om. *Eud.* *ὄνομα* susp. 13 *Δαΐφαντος* corr. editores *Διόφαντος* libri 15 *αἰτήσαντι — γόνατα* compilavit *Pseudo-Hesych.* c. 54 *τὸν βίον ἀπαλλάξαι Eud.* 17 *Φιλοξένου* **V** *δὲ Bernhardy* *πε' Rohde* 18 *Νεμεονίκας, Ἰσθμιονίκας* addi vult *Kusterus* 21 *σκόλια ἢ ἐγκώμια Daub* *δράματα* de dithyrambis accipi maluit *Hermannus* 22 in *ἐπικὰ* latere versuum numerum suspicatus est *Bergk* *ἐπιγρ., πάντα ἐπικά* i. e. versu composita coll. v. *Νίκαν-*

[ὅτι τὰς Θήβας τὴν πόλιν Ἀλέξανδρόν φασιν εἰς ἔδαφος κατασκάψαι, καὶ πλὴν ἱερέων τε καὶ ἱερειῶν τοὺς ἄλλους ἀνδραποδίσαι. καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν, ὅτι ἀπαθεῖς ἐφύλαξεν αἰδοῖ τῇ Πινδάρου, ὥς φησιν Ἀρριανὸς ὁ ἱστορικὸς ἐν τῇ ἀναβάσει Ἀλεξάνδρου.]

DCXLI. *Πίνδαρος* Σκοπελίνου Θηβαῖος, καὶ αὐτὸς λυρικός, ἀνεψιὸς τοῦ προτέρου.

DCXLII. *Πιττακὸς* Μιτυληναῖος, υἱὸς Καΐκου ἢ Ὑρραδίου Θρᾳκός, μητρὸς δὲ Λεσβίας. οὗτος γέγονε κατὰ τὴν λβ′ ὀλυμπιάδα, εἷς καὶ αὐτὸς τῶν ζ′ σοφῶν ὤν. ἔγραψε νόμους. [καὶ τῇ μβ′ ὀλυμπιάδι Μέλαγχρον τὸν τύραννον Μιτυλήνης ἀνεῖλε, καὶ Φρύνωνα στρατηγὸν Ἀθηναίων πολεμοῦντα ὑπὲρ τοῦ Σιγείου μονομαχῶν ἀπέκτεινε, δικτύῳ περιβαλὼν αὐτόν. γηραιὸς δὲ ἀναγκαζόμενος στρατηγεῖν ἔφη ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. τούτου ἀπόφθεγμα 'καιρὸν γνῶθι'.] ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη χ′ καὶ ὑπὲρ νόμων καταλογάδην.

DCXLIII. *Πλάτων* Ἀρίστωνος τοῦ Ἀριστοκλέους καὶ Περικτιόνης ἢ Ποτώνης, τὸ γένος ἑλκούσης ἀπὸ Σόλωνος· ἕκτη γὰρ ἦν ἀπ' ἐκείνου, παῖς γενομένη 〈Γλαύκωνος τοῦ Καλλαίσχρου τοῦ Κριτίου τοῦ〉 Δρωπίδου τοῦ ποιητοῦ, ἀδελ-

---

δρος, Χριστόδωρος al. coni. *Daub* ἐπικά et suprascriptum ἤγουν ποιητικά om. καὶ **V** καὶ καταλογ. — exit. ipsi Suidae deberi coni. *Daub*
1 Addidisse sequentia Suidam ex Arrian. Anab. I, 9 dixi Mus. Rhen. XXXV p. 219

DCXLI om. *Westerm. Eud.* l. c. Vita commenticia est

DCXLII *Eud.* p. 605. Cf. Diog. I, 74 seq. Tractant Clinton, fast. I p. 197, Rohde, Mus. Rhen. XXXVI p. 426 not. 2 9 καὶ Ὑρρ. *vulg. Eud.* ἢ **ABVE**, quod commendaverat *Menagius* 10 γέγονε hic significare „natus est" persuasit Rohde, Mus. Rhen. XXXIII p. 187 11 εἷς — ὀλυμπιάδι om. **A** 13 πολεμοῦντα ex *Par. Kusterus* πολιορκοῦντα *vulg. Eud.* Cf. Herod. V, 95 14 ἀπέκτεινε δὲ **V**; cf. Festus s. Retiario. Ceterum quae seclusi Suidam ex Diog. I, 74 seq. addidisse probabile est, fortasse etiam extrema verba, de quibus cf. Hiller, Mus. Rhen. XXXIII p. 520. Leguntur enim ἐποίησε — exit. ad verbum apud Diog. I, 79

DCXLIII *Eud.* p. 605. Cf. Diog. III, 1 seq. De Suidae additamentis dixi Mus. Rhen. XXXV p. 219. Cf. etiam Bücheler, Ind. Gryph. a. 1869 19 Περικτιώνης *vulg. Eud.* Περικτιόνης **AVE** mox Ποτώνη **A**
20 haec manca esse vidit *Hemsterhusius*; restituendum ex Diog. III, 1 vel schol. Platon. VI p. 364: οὗ Κριτίας, οὗ Κάλλαισχρος, οὗ Γλαύκων — itaque Γλαύκωνος — Κριτίου τοῦ inserui; ἕκτη — Χαρμάδας om. *Eud.*, nisi quod exhibet ἐφιλοσόφησε παρὰ Σωκράτει ἔτη κ′ 21 ἀδελφοῦ **V** τοῦ ἀδ. rel.

φοῦ Σόλωνος. ὁ δὲ Σόλων εἰς Νηλέα ἀναφέρει τὸ γένος. καὶ Ἀρίστων δὲ ὁ Πλάτωνος πατὴρ ἐκ τοῦ Κόδρου γένους κατήγετο, τοῦ Μελάνθου υἱοῦ. ἱστόρηται δέ, ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ Πλάτωνος ἔγκυος ἐγένετο, ἐπιφανέντος αὐτῇ τοῦ Ἀπόλλωνος· καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. ἐτέχθη δ' ἐν Αἰγίνῃ ἐν τῇ πη' ὀλυμπιάδι μετὰ τὰ προοίμια τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ ἐβίω ἔτη β' καὶ π'. τελευτᾷ δὲ ἐπὶ τῆς ρη' ὀλυμπιάδος, οὐδὲ γάμον τινὰ οὐδὲ ὁμιλίαν καθάπαξ σώματος εἰς πεῖραν δεξάμενος· εὐωχήθη δ' ἐν ἑορτῇ καὶ ὑπνῶν ἀπεβίω. καὶ ἕτεροι δὲ ἐγένοντο μετ' αὐτὸν υἱοὶ τῷ Ἀρίστωνι Ἀδείμαντος καὶ Γλαύκων καὶ Ποτώνη θυγάτηρ. καὶ τὰ μὲν πρῶτα γράμματα διδάσκεται παρά τινι Διονυσίῳ, ἐγυμνάσθη δὲ τὰ εἰς παλαίστραν παρ' Ἀρίστωνι τῷ Ἀργείῳ· εἶτα μαθὼν ποιητικὴν γράφει διθυράμβους καὶ τραγῳδίας. ἀπογνοὺς δὲ τούτων ἐφιλοσόφησε παρὰ Σωκράτει ἐπὶ ἔτη η'· καὶ λόγος ἰδεῖν Σωκράτην, καθ' ἣν ἡμέραν αὐτῷ παρεδόθη Πλάτων, κύκνον αὐτοῦ τοῖς γόνασιν ἐπικαθήμενον. προσηγορεύετο δὲ Ἀριστοκλῆς, διὰ δὲ τὸ πλατὺς εἶναι τὸ στέρνον Πλάτων ἐπωνομάσθη, ἄλλοι δὲ ὡς πλατὺν ἐν λόγοις Πλάτωνα κληθῆναι. τρὶς δὲ ἐν Σικελίᾳ Πλάτων ἦλθε πρὸς τοὺς τυράννους Διονυσίους καὶ ἐπράθη ὑπὸ τοῦ τυράννου· ἐπρίατο δὲ αὐτὸν Ἀννίκερίς τις Λίβυς καὶ ἀφῆκε. διέτριβε δὲ ἐν τῇ Ἀκαδημείᾳ παιδεύων, καὶ διεδέξαντο τὴν σχολὴν αὐτοῦ καθ' ἕνα οἵδε· Σπεύσιππος Ξενοκράτης, Πολέμων, Κράντωρ, Κράτης, Σωκρατίδης, Ἀρκεσίλαος, Λακύδης, Εὔανδρος Φωκαεύς, Δάμων, Λεοντεύς, Μοσχίων, Εὔανδρος Ἀθηναῖος, Ἡγησίνους, Καρνεάδης, Χαρμάδας. εἰσὶ δὲ οἱ γνήσιοι αὐτοῦ διάλογοι πάντες νϛ', ὧν οἱ μέν εἰσι φυσιολογικοί, οἱ δὲ ἠθικοί, οἱ δὲ διαλεκτικοί. καὶ ἡ μὲν πολιτεία διαιρεῖται εἰς βιβλία ι', οἱ δὲ νόμοι εἰς ιβ'. τετραλογίαι δὲ λοιπαὶ θ'.

---

3 seq. compilavit *Pseudo-Hesych.* c. 55 4 *ἔγκυος* **A** *Hes.* *ἔγγυος* rel. 10 *δειπνῶν* corr. *Rohde* 16 *Σωκράτην* **A** *ἐπὶ* om. **V** *η'* pro *κ'* corr. *Rohde*, *περὶ ἔ. κ' ὧν Daub* 18 *κύκλον* **AB** 20 *λέγουσι* post *Πλάτωνα* add. **V**, qui antea *διὰ τὸ πλατὺν εἶναι* 26 *Σωκρατίδης* ut videtur **A**, *οἱ δὲ Σωκράτους* edd. vett.; quod del. *Bernhardy* *Σωκρατίδες* **BV**; cf. Bücheler p. 12 27 *Φωκεύς* Diog. IV, 60 28 *Χαρμάδας* corr. *Hemsterhusius* *Ἁρμάδας vulg.* 29 *εἰσι* add. **A** 30 *πολιτικὴ* *Eud.* 31 *τερατολογίαι* **ABVEM** *Eud.* *παρατολογίαι* **Ald.**

DCXLIV. *Πλάτων* Ἀθηναῖος κωμικός, γεγονὼς τοῖς χρόνοις κατὰ Ἀριστοφάνην καὶ Φρύνιχον, Εὔπολιν καὶ Φερεκράτην. δράματα δὲ αὐτοῦ κη' [ταῦτα]· Ἄδωνις, Ἀφ' ἱερῶν, Γρῦπες, Δαίδαλος, Ἑορταί, Ἑλλὰς ἢ Νῆσοι, Εὐρώπη, Ζεὺς κακούμενος, Ἰώ, Κλεοφῶν, Λάιος, Λάκωνες ἢ ποιηταί, Μέτοικοι, Μύρμηκες, Μαμμάκυθος, Μενέλεως, Νῖκαι, Νὺξ μακρά, Ξάνται ἢ Κέρκωπες, Περιαλγής, Ποιητής, Πείσανδρος, Πρέσβεις, Παιδίον, Σοφισταί, Συμμαχία, Σκευαί, Σύρφαξ, Ὑπέρβολος, Φάων. [ἔστι δὲ λαμπρὸς τὸν χαρακτῆρα, ὥς φησιν Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς. ὅτι καὶ Ἀνδροφόνος ἐστι δρᾶμα Πλάτωνος καὶ Συνεξαπατῶν, Πανηγυρισταὶ καὶ ἄλλα πλεῖστα].

DCXLV. *Πλούταρχος* Χαιρωνεὺς τῆς Βοιωτίας, γεγονὼς ἐπὶ τῶν Τραϊανοῦ τοῦ Καίσαρος χρόνων καὶ ἐπίπροσθεν. μεταδοὺς δὲ αὐτῷ Τραϊανὸς τῆς τῶν ὑπάτων ἀξίας προσέταξε μηδένα τῶν κατὰ τὴν Ἰλλυρίδα ἀρχόντων παρὲξ τῆς αὐτοῦ γνώμης τι διαπράττεσθαι. ἔγραψε δὲ πολλά.

DCXLVI. *Πλούταρχος* Νεστορίου Ἀθηναῖος φιλόσοφος, διδάσκαλος Συριανοῦ τοῦ ἐξηγητοῦ γενομένου Πρό-

---

DCXLIV *Eud.* p. 599. Tractat *Meineke* I p. 160 seq. 2 καὶ ante Φρυν. add. **AV** 3 ταῦτα ex **AV** add. *Gaisford* om. *vulg.* et *Eud.* certe claudicat (cf. contra v. Πίνδαρος, Μίμνερμος al.) Ἀφιέρων libri αἱ ἀφ' ἱερῶν *Kusterus* et *Reinesius* coll. Athen. X p. 446, Polluc. VII, 57 al. Ἀφ' ἱερῶν *Bernhardy* 7 Ξάντριαι sunt Hephaest. p. 91 *Gaisf.* καὶ pro ἢ coni. *Hemsterhus.* ad Poll. IX, 153 Περιαλγής ex *Par. Kusterus*, περιαλγεῖς **V**, περίαλγος rel. Ceterum Ἀφιέρων, γρύπες, Ζεὺς καλούμενος, μαμάκυθος, νίκαι, ξάνται, περίαλγος ποιητής *Eud.* Ζεὺς καλούμενος etiam **V**, qui om. Ἰώ 9 χαρακτῆρα πάνυ *Eud.* ἔστι — exit. recte om. *Eud.*, expunxit *Westerm.*, cum ab hoc loco certe aliena sunt; neque enim eiusmodi quid apud Athenaeum legitur, et Ἀνδροφόνος et Συνεξαπατῶν Batonis esse non Platonis vidit *Meincke* p. 166. Eiusdem fortasse poetae et Πανηγυρισταί fabula est, quam silentio Athenaeus praetermisit. Suidam vel lectorem ex corruptis Athenaei libris haec hausisse probavit *Meineke*

DCXLV *Eud.* p. 606 13 Χαιρονεύς **Ald.** *Eud.* γεγονὼς et τοῦ Τρ. — χρόνων om. *Eud.* 14 μικρόν τι πρός *Eud.* ἐπίπροσθεν **AVE**, quod revocavi ἔτι πρόσθεν *vulg.* 15 δὲ om. *Eud.* addens ὧν τὰ πλείω οὐχ εὑρίσκεται

DCXLVI *Eud.* l. c. Cf. v. Νικόλαος ῥήτωρ et Marini vit. Procli c. 12. Tertium, Πλούτ. τὸν νεώτερον, affert *Tzetzes* Chil. I, 343, quode cf. Diels, Doxogr. p. 65 not. 1 19 ἐξηγ. γενομ. **AV** γενομ. ἐξ. rel. καθηγητοῦ flagitat *Bernhardy*

κλου τοῦ Λυκίου, τοῦ προστάντος τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς, οὗ Μαρῖνος διάδοχος. ἔγραψε πολλά.

DCXLVII. *Πλωτῖνος Λυκοπολίτης, ἀπὸ φιλοσόφων, μαθητὴς μὲν Ἀμμωνίου τοῦ πρώην γενομένου σακκοφόρου, διδάσκαλος δὲ Ἀμελίου. οὗ Πορφύριος διήκουσε, τοῦ δὲ Ἰάμβλιχος, τοῦ δὲ Σώπατρος. ἐπὶ δὲ Γαλιηνοῦ γηραιὸς ὢν διέμεινεν ἄχρι χρόνων ζ′ καὶ συνέταξε βιβλία νδ′, ἅτινα κατὰ θ′ βίβλους διῄρηνται καὶ λέγονται ἐννεάδες ς′. γέγονε δὲ καὶ τὸ σῶμα ἀσθενὴς ὑπὸ τῆς ἱερᾶς νόσου. ἔγραψε καὶ ἄλλα.*

DCXLVIII. *Πολέμων Φιλοστράτου ἢ Φιλοκράτους, Ἀθηναῖος φιλόσοφος, μαθητὴς Ξενοκράτους τοῦ Πλάτωνος διαδόχου, καὶ αὐτὸς ἡγησάμενος τῆς Ἀκαδημείας. ἐγεγόνει δὲ σφόδρα ἄσωτος, εἶτα ἐφιλοσόφησε. καὶ πολλὰ μὲν συνέγραψε βιβλία, οὐδὲν δὲ αὐτοῦ φέρεται. [ἔχαιρε δὲ Ὁμήρῳ τε καὶ Σοφοκλεῖ, καὶ ἴσως ἔχειν ἑκάτερον αὐτῶν σοφίας ἔλεγεν, ὥστε καὶ φάσκειν Ὅμηρον μὲν Σοφοκλέα ἐπικόν, Σοφοκλέα δὲ Ὅμηρον τραγικόν.]*

DCXLIX. *Πολέμων Εὐηγέτου Ἰλιεύς, ⟨ἐκ⟩ κώμης Γλυκείας [ὄνομα], Ἀθήνησι δὲ πολιτογραφηθείς, [διὸ ἐπεγράφετο Ἑλλαδικός], ὁ κληθεὶς περιηγητής, ἱστορικός. γέγονε*

2 *Μαριανὸς* **ABV**

DCXLVII *Eud.* l. c. excerpta ex vita Porphyrii habet. Cf. Müller, Plot. Enn. I p. 27 et Philol. XXXVIII p. 369 3 *ἀπὸ* delet *φιλοσ.* cum sequentibus coniungens *Gutschmid* 5 *οὗ* male rettulit Suidas v. *Πορφ.*; *τοῦ δὲ Ἰάμβλιχος* ex *Par.* add. *Kusterus*, *τοῦ δὲ Ἰάμβληχος* **V** 6 *Γαλλιηνοῦ* **V** *Westerm.* *γαληινοῦ* **A** *γαλληῖνου* **V** *ἐπὶ Οὐαλεριανοῦ καὶ Γαληίνου* cod. Mosq. apud Matthaei codd. Mosq. I p. 23 *καὶ ἐπὶ Γαλ. διέμ. — ζ′. γηρ. δὲ ὢν συν.* coni. *Müller* 8 *διήρηται* libri

DCXLVIII *Eud.* p. 608. Cf. Diog. IV, 16 seq. 11 *ἢ Φιλοκρ.* om. Diog. suspectum *Bernhardyo* *οἱ δὲ Φιλοκράτους* *Eud.* 13 *διάδοχος* **V** *Ἀκαδημίας* *vulg.* 15 *φέρεται*: cf. v. *Εὔοδος* al. *ἔχαιρε* — exit. Hesychianum morem excedunt; lector aliquis addidit compilans Diog. IV, 20

DCXLIX *Eud.* p. 584. Tractant Preller, Polem. fr. p. 4; Müller III p. 108; Weniger, Quaest. Delph. p. 22 seq. (Berol. 1865); Daub, Stud. p. 8 seq. 19 *ἐκ* add. *Daub*, om. libri 20 *Γλυκείας* **ABVE** *Γλυκυίας* **Ald.** *vulg.* *Λυκίας* *Eud.* sequens *ὄνομα* expunxi cum *Eud.* *διὸ — Ἑλλ.* merito suspectum Prellero p. 14, cum fuisse libri inscriptionem ex Athen. XI p. 479 doceamur, truncatum esse ex uberiore expositione huiusmodi fere argumenti: *κατὰ δὲ ἄλλους Σικυώνιος, ἐπεὶ καὶ λόγον ἐποίησε περὶ τῶν ἐν Σικυῶνι ἀγαλματοποιῶν καὶ ζωγράφων τῶν λεγομένων Ἑλλαδικῶν, δι᾽ ὃ ἐπεγράφετο Ἑλλαδικός* putat *Gutschmid* 21 *ἱστορικός* om. *Eud.*

δὲ κατὰ Πτολεμαῖον τὸν Ἐπιφανῆ. κατὰ δὲ Ἀσκληπιάδην τὸν Μυρλεανὸν συνεχρόνισεν Ἀριστοφάνει τῷ γραμματικῷ καὶ διήκουσε καὶ τοῦ Ῥοδίου Παναιτίου. ἔγραψε περιήγησιν Ἰλίου ἐν βιβλίοις γ', ⟨τὰ πρὸς Ἀδαῖον καὶ Ἀντίγονον,⟩ κτίσεις τῶν ἐν Φωκίδι πόλεων καὶ περὶ τῆς πρὸς Ἀθηναίους συγγενείας [αὐτῶν κτίσεις] τῶν ἐν Πόντῳ πόλεων, περὶ τῶν ἐν Λακεδαίμονι καὶ ἄλλα πλεῖστα, ἐν οἷς καὶ κοσμικὴν περιήγησιν ἤτοι γεωγραφίαν.

DCL. Π ο λ έ μ ω ν Λαοδικεύς, ἤγουν ἐκ Λαοδικείας τῆς πρὸς τῷ Λύκῳ ποταμῷ, ῥήτωρ καὶ σοφιστής, σοφιστεύσας ἐν Σμύρνῃ, διδάσκαλος Ἀριστείδου τοῦ ῥήτορος. ἦν δὲ ἐπί τε Τραϊανοῦ καὶ μετ' αὐτόν, μαθητὴς δὲ ἐγένετο Τιμοκράτους τοῦ ἐξ Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ φιλοσόφου καὶ Σκοπελιανοῦ τοῦ σοφιστοῦ. ἐτελεύτησε δὲ ϛ' καὶ ν' ἐνιαυτῶν. [ἑαυτὸν ἐν τῷ τάφῳ ἐμβαλὼν καὶ ἀποκαρτερήσας διὰ τὸ συνέχεσθαι τῇ ἀρθρίτιδι νόσῳ. διὸ καὶ τῶν συγγενῶν καὶ φίλων θρηνούντων λέγεται εἰπεῖν πρὸς αὐτοὺς τὸν Πολέμωνα 'δότε μοι [ἕτερον] σῶμα καὶ μετεμβήσομαι'. καὶ τοῖς ἰατροῖς ἐπὶ συχνῷ τέμνουσιν αὐτὸν ἔλεγεν 'ἐκτέμνετε τὰς Πολέμωνος λατομίας ὡς τάχιστα'.]

DCLI. Π ο λ έ μ ω ν ὁ νεώτερος, σοφιστής. γέγονε καὶ αὐτὸς ἐπὶ Κομόδου.

---

1 de Asclepiade cf. Daub, de Suid. p. 459 3 καὶ διήκουσε — Παν. aut delenda aut scribendum δ' αὐτοῦ ὁ Ῥόδιος Παναίτιος coni. *Ionsius* (cf. Preller p. 7), nomina Posidonii et Polemonis confusa putat *Gutschmid*, Ἀριστοφάνει, οὗ καὶ διήκουσε, καὶ τῷ Ῥοδίῳ Παν. *Daub* 4 τὰ πρὸς Ἀδαῖον καὶ (Ἀντίγονον supplet *Bernhardy*) post περιήγησιν add. V (cf. Athen. IX p. 410), sed olim ante κτίσεις fuisse coniungenda cum verbis seclusis αὐτῶν κτίσεις, quorum illud corruptum esset ex Ἀντίγονον, hoc adscriptum, ut lectores verba τὰ — Ἀντίγονον ante κτίσεις supplerent, censuit *Gutschmid* 6 αὐτῶν, κτίσεις ex *Par.* add. *Kusterus*, om. *vulg. Eud.* del. *Gutschmid* πόλεων post Λακεδ. om. V κινάκων *Reinesius* ναῶν *Gutschmid* κτίσεις τ. ἐν Λ. πολ. dubitanter *Daub*, quamquam non diversum esse a libro περὶ τ. ἐν Λακεδ. ἀναθημάτων patet

DCL *Eud.* p. 590. Cf. v. Ἀριστείδης. De additamentis dixi Mus. Rhen. l. c. 9 ἤγουν — ποταμῷ om. *Eud.* 12 καὶ μετ' αὐτὸν om. V Δημοκράτους om. ἐγένετο V 14 ὢν post ἐν. add. *Daub* 15 haec fluxerunt ex Philostr. Vit. I, 25 (p. 233 Kays.), unde fortasse tota vita pendet 17 ἕτερον cum Philostr. del. *Bernhardy* 18 συχνὸν *Hemsterhus.*

DCLI Eundem fortasse esse cum eo Polemone, quem laudavit Laurentius Lydus, de Mag. III, 46 Πολέμων ἐν πέμπτῃ Ἐξηγήσεων τῆς κατὰ Λουκανὸν τὸν Ῥωμαίων ἐμφυλίων συγγραφῆς putavit *Bernhardy*, quod vix probabile est 20 καὶ delevit *Kusterus*, sed cf. Rohde, Mus. Rhen. XXXIV p. 620 Κομώδῳ V

DCLII. *Πόλλης* Αἰγαιεὺς ἀπὸ Αἰγῶν τῆς Ἀσίας (κεῖται δὲ πλησίον Μαγνησίας καὶ Σμύρνης), φιλόσοφος. ἔγραψε κατὰ στοιχεῖον συμβολικὰ ἐν βιβλίοις β', οἰωνοσκοπικὰ ἐν βιβλίοις η', ἀριθμητικὰ ἐν βιβλίοις β', ἰήματα ἐν βιβλίοις β', περὶ τῆς καθ' Ὅμηρον οἰωνοπολίης, περὶ τῆς παρὰ Τυρρηνοῖς μαντικῆς, ἰατροσυμβολικά, περὶ δρυοκολάπτου ἱερὸν λόγον, κατοικιδίων α', θηρευτικόν, συμπαθειῶν καὶ ἀντιπαθειῶν γ', περὶ κεραυνῶν καὶ τῆς αὐτῶν παρατηρήσεως καὶ ἄλλα.

DCLIII. *Πολύαινος* Σαρδιανὸς σοφιστής, γεγονὼς ἐπὶ τοῦ πρώτου Καίσαρος Γαΐου. λόγους δικανικούς, [καὶ] δικῶν ἤτοι συνηγοριῶν ὑποτυπώσεις, θριάμβου Παρθικοῦ βιβλία γ' καὶ ἄλλα.

DCLIV. *Πολύαινος* Μακεδὼν ῥήτωρ. περὶ Θηβῶν, τακτικὰ βιβλία γ'.

DCLV. *Πολύβιος* Λύκου υἱός, ἀπὸ Μεγάλης πόλεως τῆς Ἀρκαδίας, καθηγησάμενος Σκηπίωνος τοῦ Ἀφρικανοῦ, ὅτε καὶ Παναίτιος ὁ φιλόσοφος, γεγονὼς κατὰ Πτολεμαῖον τὸν ἐπικληθέντα Εὐεργέτην. οὗτος ἔγραψε τὴν μακρὰν ἱστορίαν Ῥωμαϊκὴν ἐν βιβλίοις μ' (ἄρχεται δὲ ἀπὸ τῆς φυγῆς

DCLII om. *Westerm. Eud.* p. 608 1 Αἰγαιεύς corr. ex Polyb. IV, 77, Αἰγιεύς *vulg.* 2 Μυρίνης corr. *Wesselingius* coll. Steph. Byz. v. Αἰγαί (p. 39, 2); in fonte Suidae fuisse πλησίον Μυρίνης putat *Gutschmid* 3 de symb. cf. Suid. v. σύμβολον; Marini vit. Procl. p. 24 laudavit *Reinesius* 6 cf. Lobeck, Aglaoph. p. 262 δρυοκολάπτου corr. *Kusterus*, quod habent **ABE** δρυοκολάπτων **V** δρυκολάπτου *vulg. Eud.* 7 θηρευτικόν iniuria suspectum *Bernhardyo*, cum de superstitione agi veri simile sit 8 καὶ ἄλλα πολλά *Eud.*

DCLIII *Eud.* p. 591. Cf. Müller III p. 522 9 ἔγραψε λόγους *Eud.* 10 τ. πρώτου falsum esse vidit *Vossius* 11 ὑποτυπόσεις *Eud.* Παρθητικοῦ **A** Παρθιτικοῦ **BVE** θριάμβου, Παρθικά cod. *Eud.* θριάμβους, Παρθικά *Vill.*

DCLIV *Eud.* l. c., quae praebet ὃς περὶ Θηβῶν ἔγραψε καὶ τακτικῶν β. τρία; ῥητ. et π. Θηβ. ad Atheniensem Pol. eiusque orationem de Memnone rettulit *Gutschmid* (cf. Vossius p. 488 West.) 13 Μακεδόνιος **V** 14 η' pro γ' *Coray* καὶ ἄλλα praebet *vulg.* om. **BVE** *Eud.*

DCLV *Eud.* p. 585. Cf. Steph. Byz. v. Μεγάλη πόλις 15 Λυκόρτου corr. *Hemsterhusius* et *Reinesius* Λύκου libri Μέσης **BE** 16 Σκιπίωνος **A** man. II, quod placuit *Westermanno* 17 Cf. v. Παναίτιος 19 λ' pro μ' **E** ἄρχεται seq. falsum esse vidit *Kusterus*, qui mox proposuit καὶ μέχρις Περσέως τοῦ Φιλίππου υἱοῦ, sed fortasse ad Polyb. II, 69 et 70 locum spectare et aut ex II, 70, 8 καὶ Φιλίππου τοῦ Δημητρίου υἱοῦ aut ex I, 3, 1 καὶ Φιλίππου τοῦ Περσέως μὲν πατρός, Δημητρίου δὲ υἱοῦ restituendum esse suspicatus est *Schweighäuser*, quod probare videtur *Schaefer*, Abriss II p. 24 υἱοῦ Suidam errantem pro πα-

Κλεομένους τοῦ Σπαρτιάτου καὶ τῆς Φιλίππου τοῦ Περσέως υἱοῦ διαδοχῆς τῶν Μακεδόνων, τὰ ἑξῆς ἐπισυνάπτων Ῥωμαίων). [ἰστέον, ὅτι] διαδέχεται ⟨δὲ⟩ τὴν Πολυβίου ἱστορίαν Ποσειδώνιος Ὀλβιοπολίτης, σοφιστής. ἔγραψε δὲ καὶ Στράβων Ἀμασεὺς τὰ μετὰ Πολύβιον ἐν βιβλίοις μγʹ.

DCLVI. Πολυδεύκης Ναυκρατίτης, τινὲς δὲ Ἀρδουένvας σοφιστὴν γράφουσι πταίοντες· πόλις δὲ Φοινίκης ἡ Ἀρδούεννα. ἐπαίδευσε δὲ ἐν Ἀθήναις ἐπὶ Κομόδου τοῦ βασιλέως, καὶ ἐτελεύτησεν ἔτη βιοὺς ηʹ καὶ νʹ συντάξας βιβλία ταῦτα· ὀνομαστικὸν ἐν βιβλίοις ιʹ (ἔστι δὲ συναγωγὴ τῶν διαφόρως κατὰ τοῦ αὐτοῦ λεγομένων), διαλέξεις ἤτοι λαλιάς, μελέτας, εἰς Κόμοδον Καίσαρα ἐπιθαλάμιον, Ῥωμαϊκὸν λόγον, σαλπιγκτὴν ἢ ἀγῶνα μουσικόν, κατὰ Σωκράτους, κατὰ Σινωπέων, Πανελλήνιον, Ἀραδικὸν καὶ ἕτερα.

DCLVII. Πολύευκτος κωμικός. τούτου δρᾶμά ἐστιν Ἡνίοχος, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς φησιν.

DCLVIII. Πολύζηλος κωμικός. δράματα αὐτοῦ Νίπτρα, Δημοτυνδάρεως, Μουσῶν γοναί, Διονύσου γοναί, Ἀφροδίτης γοναί.

τρὸς scripsisse censet *Gutschmid* 1 τῆς — διαδοχῆς **ABVE** olim legebatur υἱοῦ, τῇ διαδοχῇ, quod etiam **Ald.** *Eud.* habent 3 s. fin. in libris praeter **V** (et *Eud.*) et in marg. **A** haec leguntur: ἰστέον, ὅτι διαδέχεται τὴν Πολυβίου ἱστορίαν Ποσειδώνιος Ὀλβιοπολίτης, σοφιστής. ἔγραψε δὲ καὶ Στράβων Ἀμασεὺς τὰ μετὰ Πολύβιον ἐν βιβλίοις μγʹ, quae iniuria manifestam fraudem inesse rati expunxerunt *Gaisford* et *Bernhardy* (coll. Ποσειδώνιος Ἀλ. et v. Στράβων); fortasse in Hesychii Onomatologo sic extabant: ἣν διαδέχεται Ποσειδώνιος Ἀλ. ἢ Ὀλβ., σοφιστής. ἔγραψε δὲ καὶ etc. Olim incuria librarii omissa et ad marginem reiecta mutavit lector. δὲ inserui

DCLVI *Eud.* p. 590. Cf. Philostrat. Vit. II, 12 6 Ναυκρ. agnoscit Philostr. δὲ om. **V** 7 παίζοντες libri, πταίοντες coni. *Kusterus* probante Pearsono (i. e. errantes, falsi cf. v. Ἀλκμάν); sagaciter Ἀρδ. in Ἀράδου corr. *Bernhardy* (cf. Steph. Byz. v. Ἄραδος al.), sed Suidam ipsum peccasse, qui δ' ἐξ Ἀράδου εἶναι in fonte suo lectum corruperit, putat *Gutschmid*, a quo monitus infra scripsi Ἀραδικόν pro Ἀρκαδικόν 8 ἐπαίδευσεν ἐν *Eud.* ἐπ. γὰρ **AV** 9 ηʹ καὶ νʹ **AV** νʹ καὶ ηʹ **Ald.** *vulg.* νηʹ *Eud.* 10 ὀνοματικόν **B**

DCLVII *Eud.* p. 599. Respexisse Suidam (vel Hesychium) ad Athen. IX p. 396 vidit *Kusterus*. Quo loco cum Heniochi poetae fabula Polyeuctos laudetur, foedam inde corruptelam invasisse constat, quam profecto neque ad Suidae neque ad Eudociae ingenium cum *Meinekio* I p. 422 reiciam. Similem errorem notavi v. Πύρρων, Χείρων al. 15 δράματα **BV**

DCLVIII *Eud.* p. 599. Tractat Meineke I p. 261 18 Ἄρεως γοναί

DCLIX. *Πολύκαρπος* Ἰωάννου τοῦ εὐαγγελιστοῦ καὶ θεολόγου ἀκροατής, διάδοχος δὲ Βουκόλου τοῦ πρώτου ἐπισκοπήσαντος τῆς Σμυρναίων ἐκκλησίας, ὃς καὶ μετ' αὐτὸν τῆς ἐπισκοπῆς δεύτερος ἐκράτησε, καὶ μαρτυρίῳ τῷ ὑπὲρ Χριστοῦ τετελείωται ἐπὶ Μάρκου Ἀντωνίνου. ἔγραψεν ἐπιστολὴν πρὸς Φιλιππησίους πάνυ θαυμαστὴν καὶ πρὸς τὸν μέγαν Διονύσιον τὸν Ἀρεωπαγίτην καὶ πρὸς ἄλλας ἐκκλησίας. [οὗτος διά τινας αἰτίας τοῦ πάσχα, βασιλεύοντος Ἀντωνίνου τοῦ Πίου καὶ ἐπισκοποῦντος τῆς ἐκκλησίας Ῥώμης Ἀνικήτου, ἐπέστη τῇ Ῥώμῃ, ἐν ᾗ καὶ πολλοὺς τῷ δόγματι Μαρκίωνος καὶ Βαλεντίνου πιστεύσαντας ἀνεκαλέσατο. ἀπαντήσαντος δὲ αὐτῷ ἐξ αὐτομάτου Μαρκίωνος, καὶ εἰρηκότος αὐτῷ 'γνώριζε ἡμᾶς, Πολύκαρπε', ἀπεκρίθη 'γνωρίζω σε πρωτότοκον τοῦ διαβόλου υἱόν'].

DCLX. *Πολυκράτης* Ἀθηναῖος ῥήτωρ δεινός τε καὶ τοὺς κατὰ Σωκράτους λόγους δύο Ἀνύτῳ καὶ Μελήτῳ γράψας.

DCLXI. *Πορφύριος* [ὁ κατὰ χριστιανῶν γράψας] Τύριος φιλόσοφος, ὃς κυρίως ἐκαλεῖτο Βασιλεύς, μαθητὴς [Ἀμελίου τοῦ] Πλωτίνου [μαθητοῦ] (ἦν δὲ καὶ Λογγίνου τοῦ κριτικοῦ ἀκροασάμενος), διδάσκαλος δὲ Ἰαμβλίχου, γεγονὼς ἐπὶ τῶν

---

s. fin. add. *Eud.*, quae verba casu apud Suidam intercidisse putat *Daub*, de Viol. p. 9, causam suspicionis non inesse vidit *Meineke*

DCLIX Num Hesychiana sit, dubito 7 Ἀρεωπαγίτην A Ἀρεοπαγίτην *vulg.* 8 οὗτος seq. ad verbum ex *Sophron.* c. 17 a Suida descripta 14 υἱόν om. *Soph.*

DCLX *Eud.* p. 591. Cf. Diog. II, 38 seq.; Aelian. Var. H. XI, 10. Cf. Blass, Att. Ber. II p. 336 15 δεινός τε καὶ forte mendosum. An δεινότατος? cf. Suid. v. Ἀκάκιος, Τουσκιανός. Ceterum de constructione γράψας, quam a Suida abhorrere putavit *Bernhardy*, cf. quae dixi v. Ἄβας 16 β̄ ἄνυτος καὶ μέλητος A δεύτερος Ἀνύτῳ καὶ Μελίτῳ *vulg.* *Eud.* δύο ἄνυτος καὶ μέλιτος V (sed bis ω suprascriptum) δεύτερος Ἀνύτου καὶ Μελίτου cum *Perizonio* *Kusterus*; equidem Bernhardyum secutus sum

DCLXI *Eud.* p. 609. Cf. Eunap. I p. 7 seq.; Müller III p. 688 17 ὁ κατὰ Χρ. γράψας recedunt ex more Hesychiani, praeterquam quod om. *Eud.*; repetita sunt ex librorum tabula vel ex insequente Suidae glossa: οὗτός ἐστιν — ὁ τὴν κατὰ χριστιανῶν ἐφύβριστον γλῶσσαν κινήσας 18 ὃς — Βασιλεύς ante Τύριος exhibent libri Suid., praetuli inversum ab Eudocia verborum ordinem, quae pergit: ἔδοξε δὲ οὕτω μετακληθῆναι ἢ ἀπὸ τοῦ βασιλέως εἶναι τὴν πόρφυραν ἢ καὶ ἀπὸ τοῦ πορφυρίαν ὀνομάζεσθαι τὴν Τύρου τέχνην. — Βασιλεύς sc. Μάλχος; Ἀμελίου et τοῦ μαθητοῦ, quae om. *Eud.*, expunxi; eadem ignorat etiam Eunapius 19 ἦν δὲ — ἀκροασάμενος transposui, fretus Eudociae lectione: ἀκουστὴς δὲ γέγονε τοπρῶτον

χρόνων Αὐρηλιανοῦ καὶ παρατείνας ἕως Διοκλητιανοῦ τοῦ βασιλέως. ἔγραψε βιβλία πάμπλειστα, φιλόσοφά τε καὶ ῥητορικὰ καὶ γραμματικά· περὶ θείων ὀνομάτων α΄, περὶ ἀρχῶν β΄, περὶ ὕλης ς΄, περὶ ψυχῆς πρὸς Βόηθον ε΄, περὶ ἀποχῆς ἐμψύχων δ΄, περὶ τοῦ γνῶθι σαυτὸν δ΄, περὶ ἀσωμάτων, περὶ τοῦ μίαν εἶναι τὴν Πλάτωνος καὶ Ἀριστοτέλους αἵρεσιν ζ΄, εἰς τὴν Ἰουλιανοῦ τοῦ Χαλδαίου φιλοσόφου ἱστορίαν ἐν βιβλίοις δ΄, κατὰ χριστιανῶν λόγους ιε΄, περὶ τῆς Ὁμήρου φιλοσοφίας, πρὸς Ἀριστοτέλην περὶ τοῦ εἶναι τὴν ψυχὴν ἐντελέχειαν, φιλολόγου ἱστορίας βιβλία ε΄, περὶ γένους καὶ εἴδους καὶ διαφορᾶς καὶ ἰδίου καὶ συμβεβηκότος, περὶ τῶν κατὰ Πίνδαρον τοῦ Νείλου πηγῶν, περὶ τῆς ἐξ Ὁμήρου ὠφελείας τῶν βασιλέων βιβλία ι΄, συμμίκτων ζητημάτων ζ΄, εἰς `τὸ *Θουκυδίδου προοίμιον, πρὸς Ἀριστείδην ζ΄,* | *εἰς τὴν Μινουκιανοῦ τέχνην* | *καὶ ἄλλα πλεῖστα.* | *καὶ μάλιστα ἀστρονομούμενα, ἐν οἷς καὶ εἰσαγωγὴν ἀστρονομουμένων ἐν βιβλίοις γ΄* | *καὶ γραμματικὰς ἀπορίας* [*οὗτός ἐστιν ὁ Πορφύριος ὁ τὴν κατὰ χριστιανῶν ἐφύβριστον γλῶσσαν κινήσας.*]

DCLXII. *Ποσειδώνιος Ἀπαμεὺς ἐκ Συρίας ἢ Ῥόδιος, φιλόσοφος Στωικός, ὃς ἐπεκλήθη Ἀθλητής. σχολὴν δὲ ἔσχεν ἐν Ῥόδῳ, διάδοχος γεγονὼς καὶ μαθητὴς Παναιτίου. ἦλθε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Μάρκου Μαρκέλλου. ἔγραψε πολλά.*

Λογγίνου τοῦ φιλοσόφου, εἶτα Πλωτίνου post *γραμματικά* exhibent libri 4 *περὶ ἀπ. — σαυτὸν δ΄* post *αἵρεσιν ζ΄ Eud.* 7 *εἰς τὰ Ἰουλιανοῦ τοῦ Χαλδαίου, φιλοσόφων ἱστορίαν Valesius* in Sozom. I, 18; sed commentarios ad Iuliani *περὶ δαιμόνων* fuisse vidit *Gutschmid*, itaque fortasse post *ἱστ.* excidisse *φιλόσοφον ἱστορίαν* 8 *κατὰ χριστ. — ιε΄* om. **V**, s. fin. habet *Eud.* 10 *βιβλία ε΄ — βασιλέων* om. **V** 13 post *βιβλία ι΄* add. *Eud.* haec: *τὰς καλουμένας ε΄ φωνὰς ἢ* (*ἢ* add. *Daub*) *τῆς Ἀριστοτέλους λογικῆς πραγματείας μεθοδικὰς εἰσαγωγάς*, postquam antea om. *περὶ γένους — συμβεβηκότος*. Cf. Zeller, Phil. h. II, 2³ p. 213. Verum titulum fuisse *εἰσαγωγὴ ἢ περὶ τῶν πέντε φωνῶν* vidit *Daub* 14 *εἰς — τέχνην* ad cognominem rettulit *Bernhardy*, cui etiam libros de Thuc. et Aristid. dedit *Gutschmid* 15 *ἄλλα — πλεῖστα, ὁμοίως δὲ καὶ οὐκ ὀλίγα ἀστρολογικά, ἐν οἷς Eud.* Ceterum verba *καὶ μάλιστα — βιβ. γ΄* ad alterum Porphyrium astronomum, cognominem nostri, spectare perspexit *Gutschmid*; nostri Porphyrii libros non esse, probatur etiam verbis *καὶ ἀ. πλεῖστα*, quibus vitae finis impositus est, itaque vel *γραμ. ἀπ.* Porphyrio abiudicanda sunt 16 *εἰσαγωγή* **V** 17 *οὗτος* seq. om. *Eud.*; de additamentis Suidae dixi Mus. Rhen. l. c. lectoribus tribuit *Bernhardy*

DCLXII *Eud.* p. 610. Cf. v. *Παναίτιος*. De eo v. Müller III p. 245 19 *κατὰ δέ τινας Eud.* 20 *ὃς* om. **AV** 22 i. e. Marcello consule a. 51

DCLXIII. *Ποσειδώνιος* Ἀλεξανδρεύς, φιλόσοφος Στωϊκός, μαθητὴς Ζήνωνος τοῦ Κιτιέως. | ἔγραψεν ἱστορίαν τὴν μετὰ Πολύβιον ἐν βιβλίοις νβ' ἕως τοῦ πολέμου τοῦ Κυρηναϊκοῦ καὶ Πτολεμαίου | [καὶ] μελέτας ῥητορικὰς ⟨καὶ⟩ ὑποθέσεις εἰς Δημοσθένην, ⟨καίπερ⟩ οἶμαι ταῦτα μᾶλλον Ποσειδωνίου τοῦ σοφιστοῦ εἶναι τοῦ Ὀλβιοπολίτου.

DCLXIV. *Ποσειδώνιος* Ὀλβιοπολίτης σοφιστὴς καὶ ἱστορικός. | περὶ τοῦ Ὠκεανοῦ καὶ τῶν κατ' αὐτόν |, περὶ τῆς Τυρικῆς καλουμένης χώρας, Ἀττικὰς ἱστορίας ἐν βιβλίοις δ', Λιβυκὰ ἐν βιβλίοις ια' καὶ ἄλλα τινά.

DCLXV. *Ποσ⟨ε⟩ίδιππος* Κασανδρεύς, υἱὸς Κυνίσκου, κωμικός, τρίτῳ ἔτει μετὰ τὸ τελευτῆσαι τὸν Μένανδρον διδάξας. ἔστι δὲ τὰ δράματα αὐτοῦ ἕως τῶν λ'.

DCLXVI. *Ποτάμων* Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς πρὸ Αὐγούστου καὶ κατ' αὐτόν. εἰς τὴν Πλάτωνος πολιτείαν ὑπόμνημα.

DCLXVII. *Ποτάμων* Μιτυληναῖος, υἱὸς Λεσβώνακτος, ῥήτωρ, ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Τιβερίου. [καί ποτε αὐτοῦ εἰς τὴν πατρίδα ἐπανιόντος ὁ βασιλεὺς ἐφοδιάζει τοιοῖσδε γράμμασι 'Ποτάμωνα Λεσβώνακτος εἴ τις ἀδικεῖν

DCLXIII *Eud.* l. c. Cf. Müller III p. 249; Daub, Stud. p. 16 1 cf. Diog. VII, 38 2 cf. v. *Πολύβιος*; hanc historiam Apamensem potius scripsisse constat 3 *πβ'* pro *νβ'* suadet *Daub* *ἀπὸ* pro *ἕως* coni. *Gutschmid* deleto *καὶ* ante *Πτολ.* *ἕως Ἀπίωνος τοῦ Κυρηναϊκοῦ τοῦ καὶ Πτολ.* *Müller,* quod probare videtur *Schaefer*, Abriss II p. 64 4 *Πομπηΐου* pro *Πτολ.* *Daub* *καὶ* hic expunxi, add. ante *ὑποθέσεις*; certe *μελέται* Olbiopolitae sunt 5 *καίπερ* suasit *Rohde*, *καὶ vulg.* *ταῦτά τινες εἰς Ποσειδώνιον τ. Ὀ. ἀναφ. Eud.*

DCLXIV *Eud.* p. 591 8 de *περὶ τ. Ὠκ.* cf. Strabo II p. 94; Apamensis fuisse librum discas ex Müller. III p. 177 seq. (cf. p. 250) 9 *Τυραϊκῆς* vel *Τυριγετικῆς* *Bernhardy* *Τυριτικῆς* *Müller* *Ἀττικὰς ἱστορίας* et *Λιβυκὰ* fabulas eroticas fuisse putat *Gutschmid* 10 *καὶ* seq. om. *Eud.*

DCLXV *Eud.* p. 600, quae incipit *Ποσ. κωμ. Κασσ.*; cf. Steph. Byz. v. *Κασσάνδρεια*. Tractat Meineke I p. 482 seq. 11 *Ποσείδιππος* ex libris Athenaei, Steph. Byz., tit. statuae Vaticanae corrigas, *Ποσίδιππος vulg.* 12 *κωμικός* transposui, post *διδάξας* exhibent libri

DCLXVI *Eud.* p. 610. Cf. Diels, Dox. p. 84 15 *κατ' αὐτόν* corr. *Rohde*, Mus. Rhen. XXXIII p. 116 not. *μετ' αὐτὸν vulg.*; post *αὐτὸν* verba *vulg.* *ἐστὶν αὐτοῦ* om. **AVE** *Eud.* del. *Gaisford* *ἔγραψε* add. *Eud.* Cf. v. *Μάναιχμος*, *Ὀνόσανδρος*

DCLXVII *Eud.* p. 592. Cf. Müller III p. 505 18 *ὃς* post *ῥήτ.* add. *Daub.* Verba seclusa quamvis legantur in Violario, ab Hesychio aliena esse dixi Mus. Rhen. l. c., compilavit *Pseudo-Hes.* c. 57

τολμήσει, σκεψάσθω εἴ μοι δυνήσεται πολεμεῖν’]. ἔγραψε περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὥρους Σαμίων, Βρούτου ἐγκώμιον, Καίσαρος ἐγκώμιον, περὶ τελείου ῥήτορος.

DCLXVIII. Πρατίνας Πυρρωνίδου ἢ Ἐγκωμίου, Φλιάσιος, ποιητὴς τραγῳδίας. ἀντηγωνίζετο δὲ Αἰσχύλῳ τε καὶ Χοιρίλῳ ἐπὶ τῆς ο′ ὀλυμπιάδος καὶ πρῶτος ἔγραψε σατύρους. ἐπιδεικνυμένου δὲ τούτου συνέβη τὰ ἰκρία, ἐφ’ ὧν ἑστήκεσαν οἱ θεαταί, πεσεῖν, καὶ ἐκ τούτου θέατρον ᾠκοδομήθη Ἀθηναίοις. καὶ δράματα μὲν ἐπεδείξατο ν′, ὧν σατυρικὰ λβ′, ἐνίκησε δὲ ἅπαξ.

DCLXIX. Πρίσκος Πανίτης σοφιστής, γεγονὼς ἐπὶ τῶν χρόνων Θεοδοσίου τοῦ μικροῦ. ἔγραψεν ἱστορίαν Βυζαντιακὴν καὶ τὰ κατ’ Ἀττίλαν ἐν βιβλίοις η′, μελέτας τε ῥητορικὰς καὶ ἐπιστολάς.

DCLXX. Προαιρέσιος Παγκρατίου Καππαδόκης ἀπὸ Καισαρείας, σοφιστής, μαθητεύσας ἐν Ἀντιοχείᾳ παρὰ Οὐλπιανῷ. γέγονε δὲ [μικρὸν] πρὸ Λιβανίου κατὰ τὰς Ἀθήνας σοφιστεύων, καὶ τιμῶν ἔτυχε τῶν μεγίστων παρὰ τοῦ αὐτοκράτορος Κωνσταντίνου. μελέτας ῥητορικάς. [οὗτος ἤκμασεν ἐπὶ Ἰουλιανοῦ, σύγχρονος Λιβανίῳ τῷ σοφιστῇ, καὶ ὅπως λυποίη τοῦτον ὁ Ἰουλιανός, τὸν Λιβάνιον μεγάλως ἐθαύμαζε.]

DCLXXI. Πρόδικος Κεῖος ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος, φιλόσοφος φυσικὸς καὶ σοφιστής, σύγχρονος

---

1 τολμήσει *Eud.* τολμήσοι *vulg.* 2 ὥρους corr. *Bernhardy* ὅροις libri 3 πάνυ θαυμαστῶς add. *Eud.*

DCLXVIII Tractant Welcker, Gr. Trag. p. 17, Nauck, fr. trag. p. 562. Cf. Clinton p. 23 Kr. 5 τε — Χοιρ. om. **A** 6 De sequenti fabula cf. v. *Αἰσχύλος* et Suidas s. *ἰκρία* 9 *Ἀθήναις* vel *Ἀθήνησι* ex compendio in **A** proposuit *Gaisford* 10 λ′ **V**, qua de re cf. Welcker, Satyrspiel p. 280

DCLXIX *Eud.* p. 593. Cf. Müller IV p. 69 seq. 12 *Βυζαντιακήν* **ABVE** *Βυζαντικήν vulg. Eud.* 13 *καὶ τὰ* **AV** correxerat *Valesius τὰ* om. *vulg. Eud.* *Ἀττίλαν* correxit *Reinesius,* *Ἀττήλαν* vel *Ἀττήλα Bentley* *Ἀττήλαν* etiam *Kusterus* *Ἄτταλον vulg. Eud.* Non duo opera historica, sed unum idemque indicari recte statuit *Niebuhr*, praef. p. XXVIII (nec diversum ab eiusdem libro *ἱστορία Γοτθική*)

DCLXX *Eud.* l. c. Cf. Eunap. I p. 73 17 *μικρὸν* om. **ABV** del. *Gaisford* 18 *παρὰ* om. **AVE** iniuria del. *Gaisf.* 19 *οὗτος* — exit. ab Hesychio aliena esse patet, om. **V** et *Eud.* *οὗτος* om. **A**; voce *ἤκμασεν* enim alterum aetatis terminum dari ac verbis *γέγονε πρὸ* . . . apparet, quod ab Hesychii consuetudine recedit 20 seq. haec sensu carere videntur 21 *λείπῃ* vel *λείποι Reinesius*, quod merito respuit *Bernhardy*

DCLXXI *Eud.* p. 610. Cf. Philostrat. vit. I, 12 et schol. Platon.

Δημοκρίτου τοῦ Ἀβδηρίτου καὶ Γοργίου, μαθητὴς Πρωταγόρου τοῦ Ἀβδηρίτου. ἐν Ἀθήναις κώνειον πιὼν ἀπέθανεν ὡς διαφθείρων τοὺς νέους. φέρεται δὲ καὶ βιβλίον Προδίκου ἐπιγραφόμενον Ὧραι, ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλούσης ἑκατέρας ἐπὶ τὰ ἤθη αὐτῆς, προσκλῖναι τῇ ἀρετῇ τὸν Ἡρακλέα καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν.

DCLXXII. *Πρόκλος* Μαλλώτης ἐκ Κιλικίας, φιλόσοφος Στωικός. ἔγραψεν ὑπόμνημα τῶν Διογένους σοφισμάτων καὶ πρὸς Ἐπίκουρον.

DCLXXIII. *Πρόκλος* δεύτερος Μαλλώτης, φιλόσοφος καὶ αὐτὸς Στωικός.

DCLXXIV. *Πρόκλος* ὁ Προκλήιος χρηματίσας, Θεμισίωνος, Λαοδικείας τῆς Συρίας ἱεροφάντης. ἔγραψε θεολογίαν, εἰς τὸν παρ' Ἡσιόδῳ τῆς Πανδώρας μῦθον, εἰς τὰ χρυσᾶ ἔπη, εἰς τὴν Νικομάχου εἰσαγωγὴν τὴν ἀριθμητικὴν καὶ ἄλλα τινὰ γεωμετρικά.

DCLXXV. *Πρόκλος* ὁ Λύκιος, μαθητὴς Συριανοῦ, ἀκουστὴς δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου τοῦ φιλοσόφου. καὶ αὐτὸς φιλόσοφος Πλατωνικός. οὗτος προέστη τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς, καὶ αὐτοῦ μαθητὴς καὶ διάδοχος χρηματίζει Μαρῖνος ὁ Νεαπολίτης. ἔγραψε πάνυ πολλά, φιλόσοφά τε καὶ γραμματικά, ὑπόμνημα εἰς ὅλον τὸν Ὁμη-

---

VI p. 361, qui talia praebet: Πρόδικος, Κεῖος, φυσικὸς φιλόσοφος, Δημοκρίτου σύγχρονος τοῦ Ἀβδηρίτου, Γοργίου δὲ καὶ Πρωταγόρου μαθητής. τελευτᾷ κώνειον πιὼν ὑπ' Ἀθηναίων ὡς τοὺς νέους διαφθείρων (cf. VI p. 274) 22 Κεῖος V ὁ Κεῖος rel. 1 τοῦ om. *Eud.* 3 Post νέους *Suidas* inculcavit schol. Ar. Nub. 360, quod expunxi, om. etiam *Eud.* Cf. Mus. Rhen. l. c. Etiam haec de Horis fabula mutato verborum ordine extat apud eundem scholiastam Arist., sed eiicere nolui

DCLXXII *Eud.* p. 611, quae utrumque Mallotam tractavit 8 Μαλλότης *vulg. Eud.* Μαλλώτης ex *Par. Kusterus* 10 πρὸς Ἐπ. alterius Mallotae esse videtur *Gutschmidio*

DCLXXIII 11 καὶ ἕτερος *M. Eud.* ἔγραψε κατὰ Ἐπικούρου βιβλία δ', περὶ προνοίας βιβλία β' add. *Eud.*, quae olim etiam in Suidae exemplaribus extitisse non probavit *Daub*, de Viol. p. 8; unam Eudociam narrare post alios observat *Pulch* p. 88

DCLXXIV 13 Θεμεσίωνος V Θεμιστίωνος vel Θεμίσωνος coni. *Bernhardy* 14 θεολογίας V 15 de comm. in Pandorae fab. cf. Hesiod. carm. ed. Göttling-Flach p. LIX 16 τὴν ἀρ. A V τῆς ἀριθμ. *vulg.* corr. *Bernhardy*

DCLXXV *Eud.* p. 611. De additamentis dixi Mus. Rhen. l. c. 19 καὶ om. V 20 οὗτος — Νεαπολίτης om. *Eud.* 23 τε om. V

ρον, ὑπόμνημα εἰς τὰ Ἡσιόδου Ἔργα καὶ Ἡμέρας, περὶ χρηστομαθείας βιβλία γ', περὶ ἀγωγῆς β', εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δ', εἰς τὴν Ὀρφέως θεολογίαν, συμφωνίαν Ὀρφέως, Πυθαγόρου καὶ Πλάτωνος περὶ τὰ λόγια βιβλία ι', περὶ τῶν παρ' Ὁμήρῳ θεῶν, ἐπιχειρήματα κατὰ χριστιανῶν ιη'. [οὗτός ἐστι Πρόκλος ὁ δεύτερος μετὰ Πορφύριον κατὰ χριστιανῶν τὴν μιαρὰν καὶ ἐφύβριστον αὐτοῦ γλῶσσαν κινήσας· πρὸς ὃν ἔγραψεν Ἰωάννης ὁ ἐπικληθεὶς Φιλόπονος, πάνυ θαυμασίως ὑπαντήσας κατὰ τῶν ιη' ἐπιχειρημάτων αὐτοῦ, καὶ δείξας αὐτὸν κἀν τοῖς Ἑλληνικοῖς, ἐφ' οἷς μέγα ἐφρόνει, ἀμαθῆ καὶ ἀνόητον].

[ἔγραψε Πρόκλος μητρῳακὴν βίβλον, ἣν εἴ τις μετὰ χεῖρας λάβοι, ὄψεται ὡς οὐκ ἄνευ θείας κατακωχῆς τὴν θεολογίαν τὴν περὶ τὴν θεὸν ἐξέφηνεν ἅπασαν, ὥστε μηκέτι θράττεσθαι τὴν ἀκοὴν ἐκ τῶν ἀπεμφαινόντων θρήνων].

DCLXXVI. Προκόπιος Ἰλλούστριος, Καισαρεὺς ἐκ Παλαιστίνης, ῥήτωρ καὶ σοφιστής. γέγονεν ἐπὶ τῶν χρόνων Ἰουστινιανοῦ τοῦ βασιλέως, ὑπογραφεὺς χρηματίσας Βελισαρίου καὶ ἀκόλουθος κατὰ πάντας τοὺς συμβάντας πολέμους τε καὶ πράξεις τὰς ὑπ' αὐτοῦ συγγραφείσας. ἔγραψεν ἱστορίαν Ῥωμαϊκήν, ἤγουν τοὺς πολέμους Βελισαρίου πατρικίου, τὰ κατὰ Ῥώμην καὶ Λιβύην πραχθέντα. ἔγραψε <δὲ> καὶ ἕτερον βιβλίον, τὰ καλούμενα Ἀνέκδοτα τῶν αὐτῶν πράξεων, ὡς εἶναι ἀμφότερα βιβλία θ'.

πάντα τὸν Ὅμ. *Eud.* 3 Πλούτωνος **V** 4 comma ante περὶ om. *Eud.* del. *Bernhardy* v. Συριανός 6 Verba inclusa partim ex Marini vit. Procl. c. 33 fluxerunt: cf. Unters. p. 44 not. 4, Daub, de Viol. p. 7. Iam Bernhardy: „οὗτός ἐστι recens esse subiuncta, cuius rei causam attulit ἐπιχειρημάτων memoria, vel Eudociae arguit silentium". Eorum loco haec praestat Eudocia: καὶ μητρῳακὴν βίβλον (ἔτι δὲ περὶ τῶν θεᾶν θεολογία). ἔγραψε καὶ ἄλλα πολλά, ἅπερ οὐχ εὑρίσκεται, quorum partem ex insequente Suidae glossa deprompsisse, partem ipsam finxisse putat *Daub* (coll. v. Πλούταρχος) 15 βλάπτεσθαι *Reinesius*

DCLXXVI *Eud.* p. 593. 16 De cognomine Ἰλλούστριος cf. v. Χριστόδωρος Θηβαῖος; Teuffel, Studien p. 192 not. 11; Wietersheim, Gesch. d. Völkerwanderung III p. 132. Nec minus Hesychium eo ornatum esse docet Phot. cod. 69. Ἰλλούστριος καὶ Καισαρεὺς **V** 20 verba ἔγραψεν — πραχθέντα, quae post σοφιστής praebent libri, morem Hesychianum secutus huc transposui post συγγραφείσας. De libris cf. Dahn, Procop. von Caesarea (Berl. 1865) 21 πατρικίου add. **ABVE** om. *vulg. Eud.* 22 δὲ ipse inserui 23 αὐτοῦ **Ald.** αὐτοῦ **BE** *Eud.* quae mox om. ὡς εἶναι ἀμφότερα (τὰ ἀμφ. **V**) βιβλία θ' s. fin. add. Περσικά, Γοτθικά, quae

[ὅτι τὸ βιβλίον Προκοπίου τὸ καλούμενον Ἀνέκδοτα ψόγους καὶ κωμῳδίαν Ἰουστινιανοῦ βασιλέως περιέχει καὶ τῆς αὐτοῦ γυναικὸς Θεοδώρας, ἀλλὰ μὴν καὶ αὐτοῦ Βελισαρίου καὶ τῆς γαμετῆς αὐτοῦ.]

DCLXXVII. Πρωταγόρας Ἀβδηρίτης, υἱὸς Ἀρτέμωνος ἢ καὶ Μαιανδρίου· τινὲς δὲ αὐτὸν καὶ Τήιον ἔγραψαν. οὗτος πρότερον ἦν φορτοβαστάκτης, ἐντυχὼν δὲ Δημοκρίτῳ ἠράσθη λόγων, καὶ φιλοσοφήσας ἐπὶ ῥητορείαν ἐτράπη. καὶ ἐπεκλήθη πρῶτος οὗτος σοφιστής. πρῶτος δὲ οὗτος τοὺς ἐριστικοὺς λόγους εὗρε καὶ ἀγῶνα λόγων ἐποιήσατο καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς μνᾶς ρ′· διὸ καὶ ἐπεκλήθη Λόγος ἔμμισθος. διδάσκαλος δὲ γέγονε καὶ τοῦ ῥήτορος Ἰσοκράτους. [διεῖλέ τε πάντα λόγον πρῶτος οὗτος εἰς δ′, εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν· μετὰ δὲ τοῦτον ἕτεροι εἰς ζ′ διεῖλον ταῦτα, διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, εἰσαγγελίαν, εὐχωλήν, κλῆσιν. Ἀλκιδάμας δὲ δ′ εἶναί φησιν ἰδέας λόγων, φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν.] τοῦ δὲ Πρωταγόρου τὰ βιβλία ὑπὸ Ἀθηναίων ἐκαύθη, διότι λόγον ποτὲ εἶπεν οὕτως ἀρξάμενος ‘περὶ θεῶν οὐκ ἔχω εἰδέναι, οὔτε ὡς εἰσὶν οὔτε ὡς οὐκ εἰσί’. καὶ πρεσβύτερός ἐστι Πλάτωνος τοῦ φιλοσόφου. [διδάσκαλος δὲ Προδίκου τοῦ Κείου καὶ ἄλλων πολλῶν.]

---

diligentiam studiosi hominis prodere videbantur *Bernhardyo*. Ceterum *βιβλία η′* post *ἱστορίαν Ῥωμαικὴν* olim in libris fuisse censet *Gutschmid*. 1 Sequuntur excerpta Suidae, de quibus dixi Mus. Rhen. l. c. p. 221 *Ἀνέκδοτον* **AV**

DCLXXVII *Eud.* p. 594. Cf. Philostrat. Vit. I, 10, Steph. Byz. v. *Ἄβδηρα* et *Τέως*; Diog. IX, 50 seq. Tractant Blass, Att. Ber. I p. 23 et Rohde, Mus. Rhen. XXXIV p. 569; Hesychium descripsit etiam schol. Platon. VI p. 361: *Πρωταγόρας Ἀρτέμωνος, Ἀβδηρίτης. οὗτος φορτοβαστάκτης ἦν, ἐντυχὼν δὲ Δημοκρίτῳ ἐφιλοσόφησε καὶ ἐπὶ ῥητορείαν ἔσχε καὶ πρῶτος λόγους ἐριστικοὺς εὗρε καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς μνᾶς ρ′. διὸ καὶ ἐπεκλήθη λόγος. τούτου μαθητὴς Ἰσοκράτης ὁ ῥήτωρ καὶ Πρόδικος ὁ Κεῖος. ἐκαύθη δὲ τὰ τούτου βιβλία ὑπ᾽ Ἀθηναίων. εἶπε γάρ· περὶ θεῶν οὐκ ἔχω εἰδέναι οὔτε ὡς εἰσὶν οὔτε ὡς οὐκ εἰσίν. ἔγραψε δὲ εἰς αὐτὸν ὁ Πλάτων διάλογον. πλέοντος δὲ αὐτοῦ εἰς Σικελίαν ἐτελεύτησε ναυαγήσας ἐτῶν ἐνενήκοντα, σοφιστεύσας ἔτη τεσσαράκοντα.* Scholiastam ex parte uberiorem esse patet, itaque erravit Daub, de Viol. p. 24 5 *Δημοκρίτου* pro *Ἀρτ.* *Aelian.* V. H. I, 23 6 *Μαιανδρίου* (*vulg. Eud.*) vel *Μαιάνδρου* libri *Diog.* *ἢ καὶ Μαιανδρίδου* *Par. Kust.* *Μαιάνδρου* *Philostr.* *ἢ Νεανδρίδου* add. **V** *ἢ Νεανδρίου* **ABE** 7 *οὗτος — σοφιστής, καὶ μισθὸν — Ἰσοκράτους* et post *ἐντολήν* omnia om. *Eud.* 13 quae seclusi om. *schol. Platon.*, descripta ex Diog. IX, 54 vel illata ex Suidae glossa *πυθμήν*; *πάντα λ. πρ. οὗτος* **A** 20 *εἴτε — εἴτε* **B** 21 *διδάσκαλος* — exit.

DCLXXVIII. *Πρωτογένης* ζωγράφος, Ξάνθιος ἐκ Λυκίας, ὁ κατὰ τὴν γραφικὴν διαβόητος ἐπιστήμην, ὁ τὸ ἐν Ῥόδῳ Διονύσιον ἱστορήσας, τὸ ξένον καὶ θαυμαστὸν ἔργον, ὃ καὶ Δημήτριος ὁ Πολιορκητὴς μεγάλως ἐθαύμασεν, ὅτε τὴν Ῥόδον ἐπολιόρκησεν ὅλοις ἐν δυσὶν ἔτεσι, χιλίας ναῦς ἐπαγόμενος καὶ στρατὸν ὁπλίτην μυριάδας ὑπὲρ τὰς ε' καὶ πεντακισχιλίους. περὶ γραφικῆς καὶ σχημάτων βιβλία β'.

DCLXXIX. *Πτολεμαῖος* Κυθήριος ἐποποιός. οὗτος ἔγραψε περὶ ψαλακάνθης. ἐν τούτῳ δέ φησιν, ὅτι βοτάνη ἐστὶ θαυμαστήν τινα δύναμιν ἔχουσα.

DCLXXX. *Πτολεμαῖος* ὁ Κλαύδιος χρηματίσας, Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου τοῦ βασιλέως. οὗτος ἔγραψε μηχανικὰ βιβλία γ', περὶ φάσεων καὶ ἐπισημασιῶν ἀστέρων ἀπλανῶν βιβλία β', ἅπλωσιν ἐπιφανείας σφαίρας, κανόνα πρόχειρον, τὸν μέγαν ἀστρονόμον ἤτοι σύνταξιν καὶ ἄλλα.

DCLXXXI. *Πτολεμαῖος* Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐπεκαλεῖτο Πινδαρίων, υἱὸς δὲ ἦν Ὀροάνδου, μαθητὴς Ἀριστάρχου. ἔγραψεν Ὁμηρικῶν ὑποδειγμάτων βιβλία γ', περὶ τοῦ Ὁμηρικοῦ χαρακτῆρος, πρὸς Νεοθαλίδην περὶ λέξεως, περὶ τοῦ παρ' Ὁμήρῳ Οὔτιδος, περὶ Ἀστεροπαίου τοῦ παρ' Ὁμήρῳ μνημονευομένου καὶ ἕτερα.

---

merito suspecta Welckero, Kl. Schr. II p. 524 not.; Hesychius enim verba post Ἰσοκράτους vel ante καὶ collocaturus fuisset, ubi apte ea suppleas (ex schol. Platon.). Cf. etiam v. Ἰσοκράτης. Fortasse etiam post φιλοσόφου supplendum (ex schol. Platon.) ὃς καὶ λόγον εἰς αὐτὸν ἔγραψεν (cf. Diog. IX, 55)

DCLXXVIII om. *Westerm.* Cf. Aelian. V. H. XII, 41. Cf. v. Ἀπελλῆς, Πάμφιλος Ἀμφιπολίτης 1 Eundem Caunium dicunt Pausan. I, 3, 5, Plut. Demetr. 22, Plin. h. n. XXXV, 10, 36 2 γραφὴν **V** τὸν ἐν Ῥ. Διον. *vulg.* τὸ ἐν Ῥ. Διον. *Par. Kusteri* 3 Ἰάλυσον pro Διονύσιον post *Leopardum* proposuit *Kusterus* (coll. Plut. loco) Διόνυσον al. θαυματουργὸν **E**. Fortasse verba ὁ τὸ — πεντακισχιλίους ab Hesychio aliena sunt, sed unde profecta sint nescire me fateor, nec conspirant numeri ex aliis scriptoribus petiti ap. Droysen., Diadochen II² p. 158 5 ὅλως **A**

DCLXXIX *Eud.* p. 600. Vita suspecta, cum ex Ptolemaei Hephaestionis historiis fluxisse videatur. Cf. Phot. bibl. p. 146 seq. 9 ἐπικῶς post ψαλ. add. *Eud.*; ἐν τούτῳ seq., si vita Hesychiana est, a lectore vel ipso Suida addita videntur

DCLXXX *Eud.* p. 612 13 φάσεων **ABVE** φάσεως *vulg.*

DCLXXXI *Eud.* p. 601 18 Ὀροάνδου **V**, consentiens cum schol. Ven. Il. Ὀροάνδρου *vulg. Eud.* 19 γ' *Par. Kusteri* ς' *Eud.*, quod praefert *Gutschmid* ϙ' **Ald.** *vulg.*

DCLXXXII. *Πτολεμαῖος* γραμματικός, ὁ Ἐπιθέτης κληθείς, διότι εἵπετο τῷ Ἀριστάρχῳ. διηκηκόει δὲ Ἑλλανίκου τοῦ γραμματικοῦ, ὁ δὲ Ἀγαθοκλέους, ὁ δὲ Ζηνοδότου τοῦ Ἐφεσίου. ἔγραψε περὶ τῶν παρ' Ὁμήρῳ πληγῶν, ὑπόμνημα εἰς τὴν Ὀδύσσειαν.

DCLXXXIII. *Πτολεμαῖος* ὁ Ἀριστονίκου τοῦ γραμματικοῦ πατήρ, καὶ αὐτὸς γραμματικός· ἄμφω δὲ ἐπεδείκνυντο ἐν Ῥώμῃ. τὰ ὁμοίως εἰρημένα τοῖς τραγικοῖς, εἰς Ὅμηρον βιβλία ν', τὰ παρὰ τῷ ποιητῇ ξένως ἱστορημένα, τὰ περὶ Μουσῶν καὶ Νηρηίδων.

DCLXXXIV. *Πτολεμαῖος* Ἀλεξανδρεὺς γραμματικός, ὁ τοῦ Ἡφαιστίωνος, γεγονὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ τῶν αὐτοκρατόρων, προσαγορευθεὶς δὲ Χέννος. περὶ παραδόξου ἱστορίας, Σφίγγα (δρᾶμα δέ ἐστιν ἱστορικόν), Ἀνθόμηρον (ἔστι δὲ ποίησις ῥαψῳδιῶν κδ') καὶ ἄλλα τινά.

DCLXXXV. *Πτολεμαῖος* ὁ Ἀσκαλωνίτης, γραμματικός, ὃς ἐπαίδευσεν ἐν Ῥώμῃ. ἔγραψε προσῳδίαν Ὁμηρικήν, περὶ ἑλληνισμοῦ ἤτοι ὀρθοεπείας βιβλία ιε', περὶ μέτρων, περὶ τῆς ἐν Ὀδυσσείᾳ Ἀριστάρχου διορθώσεως, περὶ διαφορᾶς λέξεων καὶ ἕτερα γραμματικά.

DCLXXXVI. *Πυθαγόρας* Σάμιος, φύσει δὲ Τυρρηνός,

DCLXXXII *Eud.* p. 602. Cf. Daub, Stud. p. 116 1 **καὶ ἔτ. Πτολ.** *Eud.* **Ἐπίθετος** *Eustath.* Il. p. 966 2 **ἐπέθετο** corr. *Villoison.* praef. Il. p. 30 4 **πληγῶν** fortasse vitiosum, *γλωσσῶν* *Düntzer*, vulg. tuetur *Daub* coll. *Πτολ. Πινδ.* al.

DCLXXXIII *Eud.* p. 601 quae incipit *καὶ ἄλλος γραμματικός* 6 ὁ add. **AV** *ὁ Ἀριστονίκου, Ἀριστονίκου δὲ τ. γρ. πατήρ* eleganter coni. *Rohde* *Ἀριστωνίκου* post *αὐτός* add. **BE** 7 *δὲ* add. **AV** 9 **ἔγραψε περὶ τῶν παρὰ τῶν ποιητῶν** (sic et **BEM**) *ἱστορημένων Eud.* *εἰρημένα* **E**

DCLXXXIV *Eud.* p. 602. Cf. Hercher, Annal. phil. Suppl. I, Daub, Stud. p. 117. 12 De aetate cf. v. *Ἐπαφρόδιτος*; *Ἀδρ. καὶ Τρ. Eud.* 13 **ἔγραψε περὶ** *Eud.* *παρ. ἱστ.* idem esse quod Phot. p. 146 **περὶ τῆς εἰς πολυμαθίαν καινῆς ἱστορίας** manifestum est 14 quid sit **δρᾶμα ἱστορικόν** docuit *Rohde*, Gr. Roman p. 350 not. 1 15 **καὶ — τινά** om. *Eud.*

DCLXXXV *Eud.* l. c. Cf. Steph. Byz. v. **Ἀσκάλων**. Vitam om. **A**, qui in margine *Πτ. ὁ Ἀσκ. γραμματικός. καὶ ζήτει* 20 **λέξεως** **BV**

DCLXXXVI *Eud.* p. 616. Descripsit Hesychium etiam schol. Plat VI p. 360: *Πυθαγόρας Μνησάρχου δακτυλιογλύφου, Τυρρηνός.* **νέος δὲ ὢν ἦλθεν ἐκ Τυρρηνῶν εἰς Σάμον καὶ διήκουσε Φερεκύδου τοῦ Συρίου, εἶτα Ἑρμοδάμαντος, ἐν Σάμῳ ἀμφοῖν, εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου**

Μνησάρχου υἱὸς δακτυλιογλύφου. νέος δὲ ὢν σὺν τῷ πατρὶ ἐκ Τυρρηνίας ᾤκησεν εἰς Σάμον. οὗτος ἤκουσε πρῶτον Φερεκύδου τοῦ Συρίου ἐν Σάμῳ, εἶτα Ἑρμοδάμαντος ἐν τῇ αὐτῇ Σάμῳ, ὃς ἦν ἀπόγονος Κρεωφύλδυ, εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου καὶ Ζάρητος τοῦ μάγου. παιδευθεὶς δὲ καὶ παρ' Αἰγυπτίοις καὶ Χαλδαίοις ἦλθεν εἰς Σάμον, καὶ εὑρὼν αὐτὴν τυρραννουμένην ὑπὸ Πολυκράτους ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας καὶ σχολὴν συστησάμενος πλεῖον ἢ ἑξακοσίους ἔσχε γνωρίμους. ἦσαν δὲ αὐτῷ καὶ ἀδελφοὶ δύο, πρεσβύτερος μὲν Εὔνομος, μέσος δὲ Τυρρηνός. δοῦλος δὲ ἦν αὐτῷ Ζάμολξις, ᾧ Γέται ὡς Κρόνῳ θύουσι. γαμετὴν δ' ἐποιήσατο Θεανὼ τὴν Βροντίνου τοῦ Κροτωνιάτου θυγατέρα, ἐξ ἧς καὶ παῖδες αὐτῷ ἐγένοντο δύο, Τηλαύγης καὶ Δάμων, ἢ ὥς τινες Μνήσαρχος, κατὰ δέ τινας καὶ θυγάτηρ Μυῖα ὄνομα, κατὰ δὲ ἄλλους καὶ Ἀριγνώτη. συνέγραψε δὲ ὁ Πυθαγόρας μόνα τρία βιβλία· παιδευτικόν, πολιτικόν, τὸ δὲ φερόμενον τρίτον ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ γενομένου καὶ φυγόντος εἰς Θήβας καὶ καθηγησαμένου Ἐπαμεινώνδα. τινὲς δὲ ἀνατιθέασιν αὐτῷ καὶ τὰ

καὶ Ζάρατος τοῦ μάγου. μεθ' οὓς ὑπὸ Αἰγυπτίων καὶ Χαλδαίων ἐπαιδεύθη. εἶτα εἰς Σάμον ἐλθὼν διὰ Πολυκράτη τὸν τύραννον ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας, καί τ' ἔσχε μαθητάς, προτέρους τε ἀδελφοὺς Εὔνομον καὶ Τυρρηνὸν καὶ δοῦλον Ζάμολξιν, ᾧ Γέται θύουσιν ὡς Κρόνῳ, γαμετήν τε Θεανώ, ἐξ ἧς παῖδες Τηλαύγης ὁ σχολαρχήσας μετ' αὐτὸν καὶ Δάμων, ἢ ὥς τινες Μνήσαρχος, θυγάτηρ δὲ Μυῖα, ἢ ὥς τινες Ἀριγνώτη. συνεγράψατο δὲ βιβλία τρία, παιδευτικόν, πολιτικόν, φυσικόν. τὸ δὲ φερόμενον (add. *τρίτον*) *ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ, φυγόντος εἰς Θήβας ἐκ τοῦ ἐμπρησμοῦ καὶ καθηγησαμένου Ἐπαμεινώνδα. τινὲς δὲ καὶ τὰ χρυσᾶ ἔπη Πυθαγόρου φασὶν εἶναι. ἀπείχετο δὲ τῶν ἐμψύχων καὶ κυάμων καὶ τὴν ψυχὴν ἔφη ἀθάνατον. ἐνενηκοντούτης δὲ τελευτᾷ μετὰ μαθητῶν μ', ἐμπρησθέντων ἐν οἰκίᾳ τῇ αὐτῇ. ἄλλοι δέ φασιν, ὅτι πολεμῶν μετὰ τῶν μαθητῶν ὑπὸ Ἀκραγαντίνων ἀπώλετο.* Unde apparet, in Suidae articulo extrema Hesychii verba excidisse eorumque loco Diog. VIII, 39 compilatum esse. Dixi de vita eiusque additamentis Mus. Rhen. l. c. Ex Diogene Porphyriique vita Pythagorae (coll. § 4 et 12) conflatam esse docuit Rohde, Mus. Rhen. XXXIII p. 205 not. 1 *Μνηστάρχου* **BE** 2 *πρῶτος* **AE** 4 *Κρεοφύλου* **A** *Κρεοφίλου* **E** 12 *Βροτίνου* **A** *Βροντίνου* rel. 13 *Δάμων* filium pro filia *Δαμώ* (Diog. VIII, 1) errantes laudant Suidas et schol. Platon.: cf. Rohde, Mus. Rhen. XXXIII p. 205 not. 15 *ὁ Πυθάγορας* om. **V** *δύο μόνον βιβλία Eud.* *τρία* olim scriptum sed erasum *Eud.** 16 *φυσικὸν* post *πολιτικόν* excidisse suspicatus est *Menagius* in Diog. VIII, 6 19 *Ἐπαμεινώνδα Bernhardy* *Ἐπαμινώνδα* libri

χρυσᾶ ἔπη. πρῶτος δὲ ὁ Πυθαγόρας ἐμψύχων ἀπέχεσθαι τροφῆς παρέδωκε καὶ κυάμων.

[ἐτελεύτα δὲ ὁ Πυθαγόρας τοῦτον τὸν τρόπον. συνεδρεύοντος μετὰ τῶν συνήθων ἐν τῇ Μίλωνος οἰκίᾳ, τούτου ὑπό τινος τῶν μὴ παραδοχῆς ἀξιωθέντων διὰ φθόνου ὑποπρησθῆναι τὴν οἰκίαν συνέβη. τινὲς δὲ αὐτοὺς τοὺς Κροτωνιάτας τοῦτο πρᾶξαι, τυραννίδος ἐπίθεσιν εὐλαβουμένους. τὸν δὴ Πυθαγόραν καταληφθῆναι διεξιόντα, καὶ πρός τινι χωρίῳ γενόμενος πλήρει κυάμων, ἵνα διήρχετο, αὐτόθι ἔστη, εἰπὼν ἁλῶναι μᾶλλον ἢ πατῆσαι, ἀναιρεθῆναι δὲ κρεῖττον ἢ λαλῆσαι· καὶ ὧδε πρὸς τῶν διωκόντων ἀποσφαγῆναι. οὕτω δὲ καὶ τοὺς πλείστους τῶν ἑταίρων αὐτοῦ διαφθαρῆναι, ὄντας πρὸς τοὺς μ΄.]

DCLXXXVII. Πυθέας Ἀθηναῖος ῥήτωρ, υἱὸς δὲ ἦν μυλωθροῦ καὶ θρασὺς σφόδρα, φυγών τε Ἀθήνηθεν ἐκ τοῦ δεσμωτηρίου διὰ ὄφλημα εἰς Μακεδονίαν ἦλθεν, εἶτα ἐπανῆκε πάλιν. ἔγραψε λόγους δημηγορικοὺς καὶ δικανικοὺς καὶ ἄλλα τινά. ἀλλ' οὐκ ἐνεκρίθη μετὰ τῶν λοιπῶν ῥητόρων ὡς θρασὺς καὶ διεσπασμένος.

DCLXXXVIII. Πύρρων Πλειστάρχου Ἠλεῖος φιλόσοφος, ὃς ἦν ἐπὶ Φιλίππου τοῦ Μακεδόνος κατὰ τὴν ρια΄ ὀλυμπιάδα καὶ ἐπέκεινα, καὶ πρότερον μὲν ἦν ζωγράφος, ὕστερον δὲ ὥρμησεν ἐπὶ φιλοσοφίαν καὶ διήκουσε Βρύσωνος τοῦ Κλεινομάχου μαθητοῦ, εἶτα Ἀναξάρχου τοῦ Μητροδώρου

---

1 πρῶτος seq. susp. *Daubio* 9 χρόνῳ V γενόμενος corr. *Kusterus* γενόμενον *vulg*.

DCLXXXVII *Eud*. p. 594 14 Πυθίας et infra Μυλώθρου *Eud*. 15 μυλίθρου A μυλάθρου τοῦ μυλωνᾶ· ἔχοντος καὶ ἐργαζομένου V, in quo μυλωνάρου latere posse suspicatus est *Bernhardy* 16 Λακεδαιμονίαν V 18 ἐνεκρίθη corr. *Toupius* ἐκρίθη AV ἐκλήθη BC *vulg*. *Eud*. 19 ὡς θρασὺς — exit. om. *Eud*. τραχὺς tentavit *Ruhnkenius*. Ceterum dubitavi inserere vitam Pythoclidis musici a schol. Platon. VI p. 279 enarratam: Πυθοκλείδης μουσικὸς ἦν, τῆς σεμνῆς μουσικῆς διδάσκαλος Πυθαγόρειος, οὗ μαθητὴς Ἀγαθοκλῆς, οὗ Λαμπροκλῆς, οὗ Δάμων, cuius initium fortasse ex Hesychii thesauris fluxit. Cf. Plut. Per. 4

DCLXXXVIII *Eud*. p. 617. Cf. Diog. IX, 61 seq. 20 Πιστοκράτους pro Πλειστ. *Pausan*. VI, 24, 5 21 Ἀλεξάνδρου pro Φιλ. flagitat *Rohde*, Mus. Rhen. XXXIII p. 192 not. 1 φιλόσοφος γεγονὼς κατὰ τὴν ρα΄ ὀλ., ὃς ἦν ἐπὶ Φιλ. τοῦ Μακ. καὶ ἐπέκεινα *Clinton*, fast. III p. 476 ρια΄ *Par. Kust*. ρα΄ *Eud*. ρεαι V, quo innisus ρε΄ corr. *Gutschmid*, ρια΄ ex ραι (i. e. ρε΄) ortum esse ratus κατὰ τὴν ἑκατοστὴν πρώτην edd. vett. 23 διήκουσαν V ante Menagium apud Diog. legebatur Δρύσωνος 24 Sic

μαθητοῦ τοῦ Χίου, οὗ διδάσκαλος ἦν Δημόκριτος ὁ Ἀβδηρίτης. ἐδόξασε δὲ μηδὲν φύσει αἰσχρὸν ἢ καλόν, ἀλλ' ἔθει καὶ νόμῳ.

DCLXXXIX. [*Πύρρων Φλιάσιος, Τιμάρχου παῖς, μαθητὴς Τίμωνος φιλοσόφου.*]

DCXC. *Πωλίων ὁ Ἀσίνιος χρηματίσας, Τραλλιανὸς σοφιστὴς καὶ φιλόσοφος, |σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ Πομπηίου τοῦ μεγάλου| καὶ διαδεξάμενος τὴν σχολὴν Τιμαγένους. ἔγραψεν ἐπιτομὴν τῆς Φιλοχόρου Ἀτθίδος, || ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσόφου||, ἐπιτομὴν τῶν Διοφάνους γεωργικῶν ἐν βιβλίοις β', πρὸς Ἀριστοτέλην περὶ ζῴων βιβλία ι', | περὶ τοῦ ἐμφυλίου τῆς Ῥώμης πολέμου, ὃν ἐπολέμησαν Καῖσάρ τε καὶ Πομπήιος|.*

DCXCI. *Πωλίων Ἀλεξανδρεὺς ὁ Οὐαλέριος χρηματίσας, φιλόσοφος γεγονὼς ἐπὶ Ἀδριανοῦ, οὗ παῖς Διόδωρος φιλόσοφος ὁ γράψας ἐξήγησιν τῶν ζητουμένων παρὰ τοῖς ι' ῥήτορσιν. ἔγραψε συναγωγὴν Ἀττικῶν λέξεων κατὰ στοιχεῖον καὶ ἄλλα τινὰ φιλόσοφα.*

DCXCII. *Πωλίων ἢ Πολ⟨λ⟩ίων γραμματικός. περὶ τῶν παρὰ γράμμα ἁμαρτανομένων.*

DCXCIII. *Πῶλος Ἀκραγαντῖνος ῥήτωρ, μᾶλλον δὲ*

---

corr. cum *Ionsio Menagius* ad Diog. IX, 58 *Ἀλεξάνδρου* (et *Eud.*) et *Μητρόδωρος ὁ Ἀβδ.* libri 1 *οὗ* — exit. om. *Eud.* 2 *εἶναι* post *μηδέν* intercidisse putant *Bernhardy* et *Daub*

DCLXXXIX om. *Westerm.* Hoc monstrum narrationis esse perspexit *Bernhardy*; est enim *Τίμων Φλιάσιος — μαθητὴς Πύρρωνος* (cf. v. *Τίμων*). Sed quis peccaverit dubium. Ceterum cf. v. *Πολύευκτος* et *Χείρων*.

DCXC *Eud.* p. 592. Cf. v. *Ἀσίνιος* et quae dixi Mus. Rhen. XXXVI p. 317 6 *Πολλίων Kusterus* 7 de aetate Romani P. sermo est 8 cf. v. *Τιμαγένης* 9 *Φιλοχρόνου* V *Φιλοχώρου* E de altera Atthidis epitome cf. v. *Φιλόχορος* *ἀπομ. Μουσ.* ad Pollionem iuniorem pertinere vidit *Ionsius*, laudatus a *Clintonio* III p. 550 12 eundem esse librum, de quo Suidas (v. *Ἀσίνιος*) *Πολ. — ἱστορίας Ῥωμαϊκὰς συνέταξεν ἐν βιβλίοις ιζ'* et Romani esse, non Tralliani observaverunt viri docti

DCXCI Cf. v. *Διόδωρος* 14 *ὁ* add. A 16 *ζ'* V 17 Pollionis lexicon descripsit Phot. bibl. p. 99 (cod. 149), ubi legitur *Πολλίων*

DCXCII *Eud.* p. 601 19 *Πολίων* libri *Πολλίων* corr. *Kusterus*, om. *Eud.* Ceterum Pollionem grammaticum non diversum fuisse ab antecedenti philosopho recte perspexit *Bernhardy*

DCXCIII *Eud.* p. 592. Cf. schol. Platon. VI p. 274, quod ex Hermiae commentariis fluxisse intellexit *Mettauer*, de schol. Plat. p. 59. Cf.

σοφιστὴς τῶν πάλαι, διδάσκαλος Λικυμνίου. ἔγραψε γενεαλογίαν τῶν ἐπὶ Ἴλιον στρατευσάντων Ἑλλήνων καὶ βαρβάρων καὶ πῶς ἕκαστος ἀπήλλαξε (τινὲς δὲ αὐτὸ Δαμάστου ἐπιγράφουσι), νεῶν κατάλογον, περὶ λέξεως.

DCXCIV. *Ῥηγῖνος γραμματικός. ἔγραψε τὸν λεγόμενον Πολυμνήμονα.*

DCXCV. *Ῥιανὸς ὁ καὶ Κρής, ὢν Βηναῖος (Βήνη δὲ πόλις Κρήτης)· τινὲς δὲ Κεραΐτην, ἄλλοι δὲ Ἰθώμης τῆς Μεσσήνης αὐτὸν ἱστόρησαν. οὗτος δὲ ἦν τῆς παλαίστρας πρότερον φύλαξ καὶ δοῦλος, ὕστερον δὲ παιδευθεὶς ἐγένετο γραμματικός, σύγχρονος Ἐρατοσθένους. ἔγραψεν ... ἐμμέτρως ποιήματα, [Ἡρακλειάδα ἐν βιβλίοις δ′].*

DCXCVI. *Ῥίνθων Ταραντῖνος κωμικός, ἀρχηγὸς τῆς καλουμένης ἱλαροτραγῳδίας, ὅ ἐστι φλυακογραφία. υἱὸς δὲ*

Müller II p. 64. Videntur duo auctores confusi, historicus et rhetor cui liber *περὶ λέξεως* tribuendus 1 de Licymnio cf. etiam schol. Plat. VI p. 275 *ὁ Λικύμνιος δὲ Πῶλος διδάσκαλος κ. τ. λ.* 2 *στρατεμάτων* V *στρατευσαμένων Suidas* v. *Δαμάστης* 3 *Ἀμάστου Eud. Δαμάστῃ Reinesius* 4 intp. post *ἐπιγρ.* deleta parenthesin post *καταλ.* claudit *Gutschmid* *ἐθνῶν κατάλογον Nauck* coll. v. *Δαμ.* *λέξεως* **AVE** *λέξεων vulg. Eud.*

DCXCIV *Eud.* p. 621 5 Hoc opus laudari a Socrate, Hist. eccl. III c. 23 vidit *Kusterus*

DCXCV *Eud.* p. 621. Cf. Steph. Byz. v. *Βήνη*. Cf. Meineke, An. p. 171 seq. Tota vita inest etiam cod. Par. 2600 (Miller, Périple de Marcien p. 311), ubi sic descripta est: *Ῥιανός, Βηναῖος, πόλεως Κρήτης, γραμματικὸς οὗτος ἦν, πρότερον φύλαξ παλαίστρας, ὕστερον δὲ παιδευθεὶς γραμματικὸς ἐγένετο, σύγχρονος Ἐρατοσθένους. ἔγραψε δὲ εἰς γραμματικὴν καὶ ποιημάτων βιβλία τέσσαρα,* unde Suidam fortasse scripsisse *ἔγραψε δὲ καταλογάδην καὶ ἐμμέτρως* — suspiceris. Cf. Unters. p. 91, Daub, de Viol. p. 24 7 *Κρής, γραμματικὸς ἐκ τῆς Βήνης (πόλις δὲ αὕτη Κρήτης) Eud.*; post *καὶ* Rhiani cognomen quodpiam intercidisse putat *Bernhardy*, ipsum *Κρής* Rhiani cognomen fuisse propter patriam Cretensem vidit *Daub*, Mus. Rhen. XXXV p. 68 *καὶ* del. *Gutschmid* 8 *Κερεάτην* flagitat *Daub* coll. Steph. Byz. v. *Βήνη* *Ἰθώμης* A *Ἰθάκης vulg. Eud.* (*Εἰθάκης* unus cod.) 10 *δοῦλος*: cf. Wachsmuth, Symb. p. 141 sequens *δὲ* om. V 11 *ἐμμέτρως* libri, ut videtur, omnes, *ἔμμετρα* edd. vett. *Eud.* *ἐξαμέτρῳ* coni. *Toupius*, *ἐξάμετρα Meineke* *γραμματικὰ καὶ Gutschmid*; lacunam ego indicavi, infra cum *Bernhardyo* *Ἡρακλειάδα* — exit. a lectore aliquo studioso addita ratus; laudatur enim Etym. M. (p. 153, 6) v. *Ἀσέληνα*, *Ἡρακλεία* *ιδ′* ex Etym. M. corr. *Vossius*

DCXCVI Cf. Steph. Byz. v. *Τάρας*, ubi bene contulit Rohde, Mus. Rhen. XXXIV p. 572 *φέρονται δ' αὐτοῦ* (sc. *Ῥίνθωνος*) *δράματα λη′*. Tractat Sommerbrodt, de phlyacogr. p. 43 14 itaque audit *φλύαξ* apud Steph. Byz., *φλυακογράφος* apud Hesych. v. *ἄσεκτος* (cod. *φιλο-*

ἦν κεραμέως καὶ γέγονεν ἐπὶ τοῦ πρώτου Πτολεμαίου. δράματα δὲ αὐτοῦ κωμικὰ τραγικὰ λη'.

DCXCVII. Ῥοῦφος Ἐφέσιος ἰατρός, γεγονὼς ἐπὶ Τραϊανοῦ σὺν Κρίτωνι. φέρεται αὐτοῦ βιβλία πλεῖστα, ἐξ ὧν καὶ ταῦτα· περὶ διαίτης ε', περὶ διαίτης πλεόντων α', περὶ τραυματικῶν φαρμάκων α', περὶ τραυματισμοῦ ἄρθρων α', περὶ σύκων α', περὶ τῆς ἀρχαίας ἰατρικῆς βιβλίον α', περὶ γάλακτος βιβλίον α', περὶ οἴνου βιβλίον α', περὶ μέλιτος.

DCXCVIII. Σαβῖνος σοφιστής, γεγονὼς ἐπὶ Ἀδριανοῦ Καίσαρος. ἔγραψεν εἰσαγωγὴν καὶ ὑποθέσεις μελετητικῆς ὕλης [εἰς] βιβλία δ', εἰς Θουκυδίδην καὶ Ἀκουσίλαον καὶ ἄλλους ὑπομνήματα καὶ ἕτερά τινα ἐξηγητικά.

DCXCIX. Σαγχωνιάθων Τύριος φιλόσοφος, ὃς γέγονε κατὰ τὰ Τρωικά. περὶ τῆς Ἑρμοῦ φυσιολογίας, ἥτις μετεφράσθη, πάτρια Τυρίων τῇ Φοινίκων διαλέκτῳ, Αἰγυπτιακὴν θεολογίανκαὶ ἄλλα τινά.

DCC. Σαγχωνιάθης Σιδώνιος σοφός, τοῖς χρόνοις

σόφῳ corr. *Gaisford*). Cf. praeterea Lydus de Mag. I, 41 Ῥίνθωνα, ὃς ἐξαμέτροις ἔγραψε πρῶτος κωμῳδίαν, ἐξ οὗ πρῶτος λαβὼν τὰς ἀφορμὰς Λουκίλιος ὁ Ῥωμαῖος, et quae disputavit *Clinton,* fast. III p. 486. Ceterum φλυακογραφία **AV** φλυαρογραφία **B** al. φυλακογραφία *vulg.*, ut videtur 2 sic **AV** καὶ τραγ. *vulg.* λς' **V**

DCXCVII *Eud.* p. 622 4 φιλόπονα βιβλ. *Par.* 2624 (H) 6 ἤτοι ἐφοδίων post α' add. *Eud.* 7 ad σύκων add. **V** συκᾶς λέγει τὰ συκάμινα πάθη περὶ τὴν ἕδραν γινόμενα, nihilominus σικυῶν flagitat *Bernhardy* 8 περὶ οἴνου καὶ μέλιτος ἕν *Eud.* quae add. περὶ τῶν τοῦ ἀνθρώπου μορίων δύο, περὶ ὀστῶν ἕν. Cf. Unters. p. 36. De libro περὶ — μορίων (vel περὶ ὀνομασίας τῶν τ. α. μ.), cuius epitomen hodie extare notum, cf. doctam disputationem Rohdei, de Poll. font. p. 83 seq., qui nostris codicibus duas huius libelli formas servatas esse exposuit, et Dielsii, Doxogr. p. 208, qui ipse descripsit ex cod. Vat. ὀνοματοποιία τῆς τοῦ ἀνθρώπου θέσεως. De additamento Eudociae erravit Pulch p. 88

DCXCVIII *Eud.* p. 640 9 Σαβῖνος, ῥήτωρ *Eud.* 10 εἰσαγ. seq. suspectum *Kustero*, qui coni. εἰσ. καὶ ὑπόθεσιν ** (ubi nominis genetivus exciderit), περὶ μελ. etc. Ceterum ὑποθέσεις **ABVE** ὑπόθεσιν μελετικῆς *vulg. Eud.* 11 εἰς βιβλία libri ἐν βιβλίοις *Eud.* βιβλία corr. *Bernhardy*

DCXCIX om. *Westerm.* Cf. Eusebius, Praep. ev. I c. 9, Müller fr. hist. III p. 563 et quae disputaverunt Rohde, Mus. Rhen. XXXIII p. 178, Baudissin, Studien zur semit. Religionsgeschichte I p. 1 seq. 13 Σαγχονιάθων **A** Σουνιαίθων liibri Athen. III p. 126, ubi verum vidit *Casaubonus* 14 commentatum esse Philonem Byblium monuit *Gutschmid* coll. Ἐθωθεῶν (scrib. Θωθείων) apud Müller III p. 572
15 πάτριά τε **A**

DCC Vitam servavit **V**; quamquam alteram prioris recensionem esse

κατὰ Σεμίραμιν. ἔγραψε τῇ Φοινίκων διαλέκτῳ φυσιολογίαν καὶ ἄλλα τινά.

DCCI. *Σαλούστιος σοφιστής. ἔγραψεν εἰς Δημοσθένην καὶ Ἡρόδοτον ὑπόμνημα καὶ ἄλλα.*

DCCII. *Σαλούστιος Μοψεάτης ἰατρός, ἐπὶ Τιβερίου Καίσαρος. ἔγραψεν ἰατρικά.*

DCCIII. *Σάνδων Ἑλλανίκου φιλόσοφος. ἔγραψεν ὑποθέσεις εἰς Ὀρφέα, βιβλίαν α'.*

DCCIV. *Σαννυρίων Ἀθηναῖος κωμικός. δράματα αὐτοῦ ἐστι ταῦτα· Γέλως, Δανάη, Ἰώ, Ψυχασταί, ὡς Ἀθήναιος ἐν Δειποσοφισταῖς.*

DCCV. *Σαπφὼ Σίμωνος (οἱ δὲ Εὐνομίνου, οἱ δὲ Ἡερι-*

---

patet, tamen *Gutschmidio* suadente inserui, quoniam in nonnullis a priore discrepat 17 *ἀϊδώνιος* **V** corr. *Creuzer*

DCCI *Eud.* p. 640. Eiusdem meminit schol. Ar. Plut. 725

DCCII Articulus deest **V**. *Eud.* p. 641, quae de scriptis haec refert: *ἔγραψε περὶ πυρετῶν, περὶ κατασκευῆς τοῦ ἀνθρώπου καὶ ἄλλα ἰατρικά*. Scripta, quae apud Suidam desint, Eudociam aliunde sumpsisse non probavit *Daub*, de Viol. p. 6. De similibus titulis ex catalogo Veronensi depromptis cf. Pulch, de Viol. p. 89 not.: *Διονυσίου τινὸς καλουμένου ἁπλοῦ περὶ κατασκευῆς ἀνθρώπου*

DCCIII 7 *Σκάμων* pro *Σάνδων* legendum esse coni. *Müller,* fr. hist. I p. XXIV, quod improbavit *Gutschmid,* qui etiam patrem Hellanicum fortasse eundem esse, quem *Ὀρφικὴν θεολογίαν* scripsisse nonnulli tradiderunt, monuit coll. Damasc. de princ. III p. 253 (ed. Wolf)

DCCIV *Eud.* p. 642. Tractat Meineke I p. 283 10 *Ἰνὼ* et *Σαρδανάπαλος* add. *Eud.*, ex quibus *Ἰνὼ* per dittographiam v. *Ἰώ* ortum *Σαρδανάπαλος* ex insequente glossa *γέλως σαρδάνιος* inepte suspicatus est *Bernhardy*, quamvis laudatus *Pulchio*, de Viol. p. 89. Merito obloquuntur Wachsmuth, Symb. p. 152, Daub, Mus. Rhen. XXXV p. 64 et de Viol. p. 6 *ὡς* — exit. om. *Eud.* Cf. Athen. VII p. 286; XII p. 551 11 *ἐν* om. **V**

DCCV *Eud.* p. 642. Cf. schol. Platon. VI p. 266 *Σαπφώ, λυρικὴ ποιήτρια, Σκαμανδρωνύμου, Μιτυληναία* . . . quae verba num ex Hesychio fluxerint iniuria dubitavit *Mettauer*, de schol. Plat. p. 59. Tractat Clinton I p. 216 2 de variis patris nominibus cf. Schoene, Symb. p. 741 et 759, qui *ἐγαμήθη* — *Εὔνεικα Σαλ.* ad mediam rettulit comoediam, alia ad Chamaeleontem *περὶ Σαπφοῦς* (Athen. VIII p. 559) sive ad Calliam *τὸν Σαπφὼ καὶ Ἀλκαῖον ἐξηγησάμενον* (Strabo XIII p. 618). Cf. Daub, de Suid. p. 428. *Εὐνομίου Bernhardy Εὐμήνου* **BV** *Par. Kusteri Εὐμήλου Toupius Εὐνομίνου vulg.* *Ἡερηγύου* **A** *Ἡεριγύου*, ut videtur, *vulg. Εὐριγύου Eud. Ἐρυγίου*, quod et in *Ἐκρύτου* latere ait, *Hemsterhusius Ἐριγύου Schöne*

γύου, οἱ δὲ Ἐκρύτου, οἱ δὲ Σήμου, οἱ δὲ Κάμωνος, οἱ δὲ Ἐτάρχου, οἱ δὲ Σκαμανδρωνύμου), μητρὸς δὲ Κλειδός, Λεσβία ἐξ Ἐρεσσοῦ, λυρική, γεγονυῖα κατὰ τὴν μβ′ ὀλυμπιάδα, ὅτε καὶ Ἀλκαῖος ἦν καὶ Στησίχορος καὶ Πιττακός. ἦσαν δὲ αὐτῇ καὶ ἀδελφοὶ γ′, Λάριχος, Χάραξος, Εὐρύγιος. ἐγαμήθη δὲ ἀνδρὶ Κερκύλᾳ πλουσιωτάτῳ, ὡρμημένῳ ἀπὸ Ἄνδρου, καὶ θυγατέρα ἐποιήσατο ἐξ αὐτοῦ, ἣ Κλεὶς ὠνομάσθη. ἑταῖραι δὲ αὐτῆς καὶ φίλαι γεγόνασι γ′, Ἀτθίς, Τελεσίππα, Μεγάρα, πρὸς ἃς καὶ διαβολὴν ἔσχεν αἰσχρᾶς φιλίας. μαθήτριαι δὲ αὐτῆς Ἀναγόρα Μιλησία, Γογγύλα Κολοφωνία, Εὐνείκα Σαλαμινία. ἔγραψε δὲ μελῶν λυρικῶν βιβλία θ′, καὶ πρώτη πλῆκτρον εὗρεν. ἔγραψε δὲ καὶ ἐπιγράμματα καὶ ἐλεγεῖα [καὶ ἰάμβους καὶ μονῳδίας].

DCCVI. [Σαπφὼ Λεσβία ἐκ Μιτυλήνης, ψάλτρια. αὕτη δι' ἔρωτα Φάωνος τοῦ Μιτυληναίου ἐκ τοῦ Λευκάτου κατεπόντωσεν ἑαυτήν. τινὲς δὲ καὶ ταύτης εἶναι λυρικὴν ἀνέγραψαν ποίησιν.]

DCCVII. Σαραπίων ὁ Αἴλιος χρηματίσας, ῥήτωρ Ἀλεξανδρεύς. ἔγραψε περὶ τῶν ἐν ταῖς μελέταις ἁμαρτανομένων, ἀκροάσεων βιβλία ζ′, πανηγυρικὸν ἐπὶ Ἀδριανῷ τῷ βασιλεῖ, βουλευτικὸν Ἀλεξανδρεῦσιν, εἰ δικαίως Πλάτων Ὅμηρον ἀπέπεμψε τῆς πολιτείας καὶ ἄλλα συχνά [καὶ τέχνην ῥητορικήν].

---

1 Σιμοῦ *Koenius* in Gregor. p. 290 Σίμου *Schaefer* Σκάμωνος *Bernhardy* 2 δ' Ἐτεάρχου *Gutschmid* Κλειδοῦς **V** 3 Ἐρέσσου **AV** Ἐρεσσοῦ *vulg.* de Pittaci aetate concinit Diog. I, 79 ἤκμαζε κατὰ τεσσαρακοστὴν δευτέραν ὀλυμπιάδα (cf. v. Πιττακός) 4 ἦσαν — Σαλαμινία om. *Eud.*, quae cum ab Hesychii more abhorreant, forte expungenda αὐτῆς *vulg.* αὐτῇ **ABV** 5 Λάρυχος *vulg.* 6 ὁρμωμένῳ libri, corr. *Daub* 10 Ἀνακτορία Max. Tyr. I, 24 12 seq. haec sic descripta suspecta videntur, cum praeter morem Hesychianum de carminibus bis dicatur ἐλεγείαν **A** extrema verba expunxi, om. *Eud.*

DCCVI om. **A** et *Eud.*, habet *Pseudo-Hesych.* c. 60, memoraverunt Athen. XIII p. 596, Suidas v. Φάων, Aelian. V. H. XII, 19. Cf. Phot. v. Λευκάτης. Ex una poetria duas fictas esse constat: cf. Welcker, Kl. Schr. II p. 110, V p. 238; Unters. p. 47; Rohde, Mus. Rhen. XXXIII p. 214. Additam vitam ab iis esse, qui meretricem Phaonis amore abreptam a poetria distinguerent, observavit *Kusterus*. Certe ab Hesychii ingenio aliena est. De eadem cf. Maass, Biogr. p. 41 15 κατεπόντισεν *vulg.* κατεπόντωσεν **BVE**

DCCVII *Eud.* p. 640 22 τινὰ pro συχνά **BE** καὶ τέχνην ῥητορικὴν lectorem addidisse probabile est, nisi forte ante verba καὶ ἄλλα συχνά transponenda

DCCVIII. Σεβῆρος σοφιστὴς Ῥωμαῖος .... [ὁ Σεβῆρος οὗτος ἐπὶ Ἀνθεμίου βασιλέως ἦν, ἐν Ἀλεξανδρείᾳ δὲ ἀφικόμενος τὸν ἀπράγμονα βίον ἔζη, φιλοσοφῶν ἐν βιβλίοις ἀφθόνοις οὖσιν αὐτῷ καὶ παντοδαποῖς. εἴπερ δέ τις ἕτερος, ἱκανὸς ἦν ἐπαγαγέσθαι τοὺς ἐπὶ παιδείᾳ διενεγκόντας ὡς αὐτὸν ἰέναι πολλάκις· ἐπιεικής τε...]

DCCIX. Σεκοῦνδος Ἀθηναῖος σοφιστής, ὃς ἐχρημάτισε Πλήνιος, ἐπωνομάζετο δὲ καὶ Ἐπίουρος ὡς υἱὸς τέκτονος. καθηγητὴς δὲ γέγονε καὶ Ἡρώδου τοῦ σοφιστοῦ. ἔγραψε μελέτας ῥητορικάς.

DCCX. Σέλευκος Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐπεκλήθη Ὁμηρικός, ἐσοφίστευσε δὲ ἐν Ῥώμῃ. ἔγραψεν ἐξηγητικὰ εἰς πάντα ὡς εἰπεῖν ποιητήν, περὶ τῆς ἐν συνωνύμοις διαφορᾶς, περὶ τῶν ψευδῶς πεπιστευμένων, περὶ τῶν παρ' Ἀλεξανδρεῦσι παροιμιῶν, περὶ θεῶν βιβλία ρ' καὶ ἄλλα σύμμικτα.

DCCXI. Σέλευκος Ἐμισηνὸς | γραμματικός |. Ἀσπαλιευτικὰ δι' ἐπῶν βιβλία δ', | εἰς τοὺς λυρικοὺς ὑπόμνημα |, Παρθικὰ δύο. καὶ ἄλλον δέ τινα Σέλευκον εὗρον ἐν παραθήκῃ, βιβλία δὲ οὐκ εἶχε.

DCCVIII om. *Westerm.* 1 Lemma a Damascio petitum cum verbis Σεβῆρος — Ῥωμαῖος, a quibus eclogis ad Severum imperatorem spectantibus seiuncta fuerunt, cohaerere intellexit *Kusterus.* Excidit vitae Hesychianae pars, itaque lacunae signum posui; infra posuit *Gaisford*

DCCIX Cf. Philostrat. Vit. I, 26 8 Πλήνιος **ABEM Ald.** Πλυνιος rel. Πολεμώνιος coni. *Bernhardy.* Suidae erratum, qui omnino Plinium Secundum et sophistam confudit, notaverunt *Holstenius* et *Reinesius* 9 Ἡρώδου **AV** Ἡροδότου rel. Verum vidit *Holstenius* coll. loco Philostrati

DCCX *Eud.* p. 648. Cf. Müller III p. 500; M. Schmidt, Philol. III p. 436 seq.; Daub, Stud. p. 118 13 πάντα — ποιητήν „in omnes propemodum poetas"; perperam *Kusterus* τὸν ante ποιητήν inserens vertit: in totum poetam sc. Homerum. Quid enim ὡς εἰπεῖν significat? 15 ρ' susp. *Daubio*, nisi potius ad omnes libros Sel. referendum

DCCXI *Eud.* l. c., quae incipit καὶ ἕτερος Σ. 17 Ἐμεσηνός *vulg.* Ἐμισηνός **A Ald.** *Eud.* 18 βιβλ. α' **A** εἰς seq. Alexandrino dedit *Schmidt*, ad eundem etiam grammatici appellationem rettulit *Gutschmid* 19 παρθενικὰ **B** καὶ ἄλλον — exit. om. *Eud.*, quibus de verbis ad librorum indicem spectantibus, disputavit Volkmann, Quaest. nov. p. XI not. 13 ἐν παρα[θη] **A** ἔν ἐμπαρα[θη] **V** ἐν παραθήκῃ *Bernhardy* εὗρον παρ' Ἀθηναίῳ coni. *Rohde,* Mus. Rhen. XXXIII p. 182 coll. Athen. XV p. 697

DCCXII. [*Σέλλιος* ἢ *Σίλλιος*, ὁ καὶ Ὅμηρος, γραμματικός. περιοχὰς Μενάνδρου.]

DCCXIII. *Σέξτος* Χαιρωνεύς, ἀδελφιδοῦς Πλουτάρχου, γεγονὼς κατὰ Μάρκον Ἀντωνῖνον τὸν Καίσαρα, φιλόσοφος, μαθητὴς Ἡροδότου τοῦ Φιλαδελφηνοῦ. ἦν δὲ τῆς Πυρρωνείου ἀγωγῆς, καὶ τοσοῦτον πρὸς τιμῆς τῷ βασιλεῖ ἦν, ὥστε καὶ συνδικάζειν αὐτῷ. ἔγραψεν ἠθικά, | ἐπισκεπτικά, βιβλία ι' |.

DCCXIV. *Σέξτος* Λίβυς φιλόσοφος. σκεπτικὰ ἐν βιβλίοις ι', Πυρρώνεια.

DCCXV. *Σέργιος* Ζευγματεύς, Ἀφθονίου υἱός, ἀπὸ δικηγόρων τῶν ὑπάρχων, καὶ αὐτὸς ὕπαρχος πραιτωρίων γεγονὼς καὶ ἀπὸ ὑπάτων καὶ πατρίκιος. ἐπιτάφιον εἰς τὸν σοφιστὴν καὶ ἀδελφὸν αὐτοῦ Σαβῖνον. ἔγραψε καὶ ἑτέραν βίβλον ὑπὲρ τῶν δικολόγων πρὸς Ἀριστείδην.

DCCXVI. *Σερῆνος* ὁ καὶ Αἴλιος χρηματίσας, Ἀθηναῖος γραμματικός. ἐπιτομὴν τῆς Φίλωνος πραγματείας περὶ πόλεων καὶ τίνες ἐφ' ἑκάστης ἔνδοξοι, βιβλία γ', ἐπιτομὴν τῶν Φιλοξένου εἰς Ὅμηρον α'.

DCCXVII. *Σῆμος* Δήλιος γραμματικός. ἔγραψε Δηλια-

DCCXII Cf. v. Ὅμηρος Σέλλιος. Hesychii esse negat Daub, Stud. p. 115   2 πρὸ Μενάνδρου libri πατρὸς Μενάνδρου *Kusterus*, περὶ Μενάνδρου dubitanter *Toupius*, περιοχὰς corr. *Meineke*, praef. Men. p. XXXV coll. v. Ὅμηρος

DCCXIII *Eud.* p. 650. Cf. Diog. IX, 116, ubi nostrum ab Empirico diversum fuisse docuit *Menagius*   5 Φιλαδελφαίου libri, corr. *Gutschmid*   6 διαγωγῆς **V**   7 σκεπτικὰ corr. *Salmasius* ἔτι σκεπτικά maluit *Fabricius*, in ἐπὶ numerum librorum latere suspicatus est *Westerm.*, ex insequenti vita a lectore verba esse addita, qui Chaeronensem eundem crederet ac Empiricum, rectius perspexit *Menagius* laudatus *Kustero*; βιβλία ι' καὶ ἄλλα *Eud.*

DCCXIV *Eud.* p. 651.   8 Λίβυς fort. falsum; cf. v. Ἀφρικανὸς Σέξτος. Non diversum eum esse ab Empirico constat   9 Πυρρώνια **A** accuratius Empirici codices: Pyrrhoniarum hypotyposeon libri III

DCCXV Eundem esse, quem laudat Laur. Lydus de mag. II, 21 Σέργιος δὲ ὕστερον, ἐκ τῶν δικανικῶν ῥητόρων, ἀνὴρ σοφιστὴς καὶ διὰ τοὺς λόγους αἰδέσιμος Ἀναστασίῳ τῷ χρηστῷ (cf. III, 20) vidit *Bernhardy*   10 de verb. ἀπὸ — ὑπάρχων cf. v. Τριβων. Σιδ.   12 καὶ ante πατρίκιος add. **BVE** om. rel.   13 Βαβῖνον **V**

DCCXVI *Eud.* p. 649. Cf. v. Φίλων. Tractat Müller III p. 560 not. et 575   15 ὁ Αἴλ. ὁ καὶ Ἀθ. *Eud.* ὁ καὶ Ἀθηναῖος ὁ Αἴλ. χρημ. **ABVE Ald.** *vulg.*   16 ἔγραψεν ἐπ. *Eud.*   17 ἐφ' ἑκάστην *Eud.* Ceterum hac Philonis epitome Hesychium fortasse usum esse monet Rohde, Mus. Rhen. XXXIV p. 562 not. 1   18 Φιλοξένων **V**

DCCXVII *Eud.* p. 649. Cf. Müller IV p. 492, Daub, Stud. p. 140   19 Ση-

κῶν βιβλία η', περιόδους β', περὶ Πάρου α', περὶ Περγάμου α', περὶ παιάνων. [ἐν τούτῳ δὲ μνημονεύει μουσικῶν τινων ἰδεῶν τούτων, αὐτοκαβδάλων, ἰθυφάλλων, φαλλοφόρων. καὶ οἱ μέν, φησί, κιττοῦ στέφανον ἐφόρουν, ὠνομάσθησαν δὲ ὕστερον ἴαμβοι· οἱ δὲ ἰθύφαλλοι προσωπεῖα μεθυόντων εἶχον καὶ χειρῖδας ἀνθινὰς καὶ χιτῶνα μέχρι τῶν σφυρῶν. οἱ δὲ φαλλοφόροι οὐ χωρὶς ἐξ ἑρπύλλου καὶ παιδέρωτος ἔσκεπον τὰς ὄψεις, κιττῷ καὶ ἴοις στεφανούμενοι.]

DCCXVIII. *Σίβυλλα Δελφίς, ἣν καὶ Ἄρτεμιν προσηγόρευσαν. γέγονε δὲ αὕτη πρὸ τῶν Τρωικῶν, καὶ ἔγραψε χρησμοὺς δι' ἐπῶν.*

DCCXIX. *Σίβυλλα Ἀπόλλωνος καὶ Λαμίας, κατὰ δέ τινας Ἀριστοκράτους καὶ Ὑδάλης, ὡς δὲ ἄλλοι Κριναγόρου, ὡς δὲ Ἕρμιππος, Θεοδώρου, Ἐρυθραία παρὰ τὸ τεχθῆναι ἐν χωρίῳ τῶν Ἐρυθρῶν, ὃ προσηγορεύετο Βάττοι, νῦν δὲ αὐτὸ τὸ χωρίον πολισθὲν προσαγορεύονται Ἐρυθραί. τινὲς δὲ αὐτὴν Σικελήν, ἄλλοι Σαρδιανήν, ἄλλοι Γεργιθίαν, ἄλλοι δὲ Ῥοδίαν, ἄλλοι δὲ Λίβυσσαν, ἄλλοι Λευκανήν, ἄλλοι Σαμίαν ἐδόξασαν. γέγονε δὲ τοῖς χρόνοις τῆς Τρωικῆς ἁλώσεως μετὰ ἔτη υπγ' καὶ συνετάξατο βιβλία ταῦτα· περὶ παλμῶν, μέλη, χρησμούς. λέγεται δὲ καὶ τρίγωνον εἶδος λύρας αὐτὴν πρώτην εὑρεῖν.*

μὸς vulg. *Δήλιος* ex ipsius Suidae glossa v. *Πράμνιος οἶνος* (cf. Athen. XIV p. 622) corr. *Toupius*, *Ἠλεῖος* libri et *Eud.* *Δηλιακῶν* **AVE** *Δηλιακά vulg. Eud.* 2 *ἐν τούτῳ* — exit. expunxi, utpote manifesto compilata ex Athen. XIV p. 622, quamvis eadem praestet etiam *Eudocia* 3 *αὐτοκαβάλων* libri, corr. *Gaisford* 4 *φησί vulg. Eud.* *φασί* **V** 5 *πρόσωπα* **A** 7 *οὐ χωρίς* — *ἔσκεπον* incuria om. *Vill.*, ex codice in Violario addidi *ἐξερπύλλου* **A** *χωρὶς ἑρπύλου* **Ald.** *Eud.*

DCCXVIII—DCCXXV Cf. Cramer, Anecd. I p. 332, schol. Platon. VI p. 269 seq. Ceterum de Sibyllis cf. Maass, de Sibyll. ind. p. 53 seq., Biogr. p. 123 seq., et quae dixi Annal. Phil. 1880 p. 106 seq. 9 Hanc et Colophoniam omisisse Eudociam p. 643 dixi Mus. Rhen. XXXV p. 222.

DCCXIX 12 *Λαμίας, Ἐρυθραία, οἱ δὲ Σικελήν, ἄλλοι Σαρδιανὴν καὶ ἄλλοι ἄλλως Eud.* 13 *Ἰδαίας* corr. *Maass*, Syb. p. 28 not. 66, *Ὑδάλης* non graecum esse perspiciens 14 Hermippum Berytium esse recte iudicat *Müller* III p. 35 not., sed ubinam ille de Sib. dixerit, nescire me profiteor 17 *Σαρδιανήν* sola *Eud.*, revocavit etiam *Kusterus* ex Aelian. Var. hist. XII, 35 et schol. Ar. Aves 962 *Σαρδίνην* **E** *Σαρδώνην* **B** *γὰρ δάνην* **V**; de *Γεργιθία* cf. Steph. Byz. v. *Γέργις* et Daub, de Suid. p. 444 19 scripsi Suidam secutus, *μετὰ τὴν Τρωικὴν ἅλωσιν ἔτη υπγ' Eud.*

DCCXX. Σίβυλλα Ἔλισσα. ἔγραψε μαντείας καὶ χρησμοὺς δι' ἐπῶν.

DCCXXI. Σίβυλλα Κολοφωνία, ἥτις ἐκλήθη καὶ Λάμπουσα, ἀπόγονος Κάλχαντος. καὶ αὐτὴ μαντείας καὶ χρησμοὺς δι' ἐπῶν καὶ ἄλλα.

DCCXXII. Σίβυλλα Θετταλὴ ἡ κληθεῖσα καὶ Μαντώ, ἀπόγονος Τειρεσίου.

DCCXXIII. Σίβυλλα Φρυγία ἡ κληθεῖσα ὑπό τινων Σάρυσις, ὑπὸ δέ τινων Κασάνδρα, ἄλλων δὲ Ταραξάνδρα. καὶ αὐτὴ χρησμούς.

DCCXXIV. Σίβυλλα Κυμαία καὶ Σίβυλλα Θεσπρωτίς. ὁμοίως χρησμούς.

DCCXXV. Σίβυλλα Χαλδαία ἡ καὶ πρός τινων Ἑβραία ὀνομαζομένη, ἡ καὶ Περσίς, ἡ κυρίῳ ὀνόματι καλουμένη Σαμβήθη, [ἐκ τοῦ γένους τοῦ μακαριωτάτου Νῶε, ἡ τὰ κατ' Ἀλέξανδρον τὸν Μακεδόνα λεγομένη προειρηκέναι, ἧς μνημονεύει Νικάνωρ ὁ τὸν Ἀλεξάνδρου βίον ἱστορήσας, ἡ περὶ τοῦ δεσπότου Χριστοῦ μυρία προθεσπίσασα καὶ τῆς αὐτοῦ παρουσίας. ἀλλὰ καὶ αἱ λοιπαὶ συνᾴδουσιν αὐτῇ, πλὴν ὅτι ταύτης εἰσὶ βιβλία κδ' περὶ παντὸς ἔθνους καὶ χώρας περιέχοντα. ὅτι δὲ οἱ στίχοι αὐτῆς ἀτελεῖς εὑρίσκονται καὶ ἄμετροι, οὐ τῆς προφήτιδός ἐστιν ἡ αἰτία, ἀλλὰ τῶν ταχυγράφων οὐ συμφθασάντων τῇ ῥύμῃ τοῦ λόγου, ἢ καὶ ἀπαιδεύτων γενομένων καὶ ἀπείρων γραμματικῆς. ἅμα γὰρ τῇ ἐπιπνοίᾳ ἐπέπαυτο ἡ τῶν λεχθέντων μνήμη· καὶ διὰ τοῦτο εὑρίσκονται καὶ οἱ στίχοι ἀτελεῖς καὶ διάνοια σκάζουσα. εἴτε καὶ κατ' οἰκονομίαν Θεοῦ τοῦτο γέγονεν, ὡς μὴ γινώσκοιντο ὑπὸ τῶν πολλῶν καὶ ἀναξίων οἱ χρησμοὶ αὐτῆς.]

DCCXXVI. Σιβύρτιος Θεοδέκτου τοῦ Φασηλίτου ἀναγνώστης καὶ οἰκέτης, ὃς ἐρρητόρευσεν οἰκετῶν πρῶτος. ἔγραψε τέχνας ῥητορικάς.

DCCXX 1 *Λίβυσσα* corr. *Hemsterhusius*

DCCXXIII 8 *Φρυγία* e libr. *Par.* revocavit *Kusterus*, antea om. edd. 9 *Σάρυσις* **AV** *Σάρβις vulg. Eud.* 10 *ἔγραψε χρ. Eud.*

DCCXXIV 12 *ἔγραψε καὶ αὕτη ὁμοίως χρ. Eud.*

DCCXXV 13 *Χαλδ., πρός τινων Ἑβραία, ἡ περὶ Χρ. προφ.* rel. om. *Eud.* 14 *ἧς τὸ κ. ὁ. Anon.* 15 haec seq. ab Hesychio aliena sunt 17 Cf. Müller, Script. Alex. p. 152 18 *δεσπ. Θεοῦ Anon.*

DCCXXVI *Eud.* p. 640 29 *Σιβύρτιος* **ABE** *Σιβύρτις* **V** *Σιβύντιος* edd. vett. *Eud.* 30 *οἰκέτης*: cf. Wachsmuth, Symb. p. 142 31 *με-*

DCCXXVII. *Σιλβανὸς*... φιλόσοφος, [ὃς ἐπιεικὴς μὲν ἦν τὰ ἄλλα καὶ ἱερός, ἁπλούστερος δὲ τὰ ἤθη καὶ ἐπιπόλαιος].

DCCXXVIII. *Σιμμίας* Θηβαῖος φιλόσοφος, μαθητὴς Σωκράτους. ἔγραψε περὶ σοφίας, περὶ φιλίας, περὶ ἀληθείας, περὶ μουσικῆς, περὶ αἱρετοῦ καὶ φευκτοῦ, περὶ ἐπιμελείας, ⟨περὶ⟩ ψυχῆς καὶ ἄλλα φιλόσοφα.

DCCXXIX. *Σιμμίας* Ῥόδιος γραμματικός. ἔγραψε γλώσσας βιβλία γ', ποιήματα διάφορα βιβλία δ'.

DCCXXX. [*Σιμοκάττης* ἐπώνυμον Θεοφυλάκτου τοῦ σοφιστοῦ.]

DCCXXXI. *Σιμπλίκιος*... [ὄνομα κύριον]. [ὁ] ⟨φιλόσοφος⟩ ...

DCCXXXII. *Σιμωνίδης* Λεωπρεποῦς, Ἰουλιήτης τῆς ἐν Κέῳ τῇ νήσῳ πόλεως, λυρικός, μετὰ Στησίχορον τοῖς

λέτας τε καὶ ἐπιστολάς add. *Eud.*, quae ex pleniore Suida descripsisse putat *Daub*, de Viol. p. 6

DCCXXVII om. *Westerm. Eud.* p. 651. Num vita Hesychiana fuerit, merito dubitaveris; si fuit, ante φιλόσοφος lacunam indices oportet 1 ὃς — exit. ex *Suidae* glossa ἐπιπόλαιος descripta sunt. Ceterum totam vitam de Damascio pendere putavit *Kusterus*, qui diversum habuit rhetorem a Marc. Ant. X § 31 laudatum. Addidit *Hemsterhusius* rhetorem Christianum, cuius Socrates, Hist. eccl. VII 37 meminit 2 ἦν om. **V**

DCCXXVIII *Eud.* p. 651. Cf. Diog. II, 124, a quo Hesychius pendere videtur 4 περὶ φιλ. — ἀλ. om. **A** pro φιλίας vel φιλοσοφίας vel φίλου ex *Diog.* reponas 5 καὶ φευ. om. **V** 6 περὶ ψυχῆς correxi ex *Diog.* περὶ om. *Suid.* et *Eud.*

DCCXXIX *Eud.* p. 649. Cf. Clinton III p. 487; Düntzer, Ep. fr. II p. 4. Vitam om. **A** qui in marg. habet Σ. Ῥο. γραμματικός, ὃς ἔγραψε βιβλία διάφορα· ἦν δὲ τὸ ἐξαρχῆς Σάμιος. ἔγραψε μετὰ τῶν ἄλλων καὶ ἀρχαιολογίαν τῶν Σαμίων, ubi ἦν δὲ — exit. ad Simonidem Amorginum spectare praeter alios vidit *Clinton*. Nec minus ea quae auctiora ceteri *Suidae* libri habent, infra ad v. Σιμωνίδης Κρίν. transposita, et quae *Eud.* s. fin.: ἔγραψε πρῶτος κατά τινας ἰάμβους καὶ ἄλλα διάφορα ἀρχαιολογίαν τε τῶν Σαμίων. Si respicis Strabon. XIV p. 655, Phot. bibl. p. 319, verba ἦν δὲ τὸ ἐξ. Σάμιος vix etiam ad Rhodium referri possunt 8 de carminibus cf. Bergk, Poet. Lyr. p. 630

DCCXXX Ex gl. Θεοφύλακτος descripta

DCCXXXI Cf. v. Αἰθέριος. Fortasse ad philosophum spectat, quem laudat Hesychius v. Δαμάσκιος, schol. Platon. VI p. 369, cuius vita epitomatoris incuria excidit; verba ὁ φιλόσοφος addidi, om. **ABV** *Gaisford* et *Bernhardy*

DCCXXXII *Eud.* p. 644. Cf. v. Βακχυλίδης et Steph. Byz. v. Ἰουλίς. Ex Suidae exemplari aliquo vel ex Violario in schol. Ar. Vesp. 1402 intulit *Musurus* (Dindorf, Ar. IV, 2 p. 536) 13 λεοπρεποῦς **AV** 14 τοῖς χρόνοις om. *Eud.*

χρόνοις, ὃς ἐπεκλήθη Μελικέρτης διὰ τὸ ἡδύ. καὶ τὴν μνημονικὴν δὲ τέχνην εὗρεν οὗτος. προσεξεῦρε δὲ καὶ τὰ μακρὰ τῶν στοιχείων καὶ διπλᾶ, καὶ τῇ λύρᾳ τὸν τρίτον φθόγγον. γέγονε δ' ἐπὶ τῆς νϛ' ὀλυμπιάδος (οἱ δὲ ἐπὶ τῆς ξβ' γεγράφασι), καὶ παρέτεινε μέχρι τῆς οη', βιοὺς ἔτη πθ'. καὶ γέγραπται αὐτῷ Δωρίδι διαλέκτῳ ἡ Καμβύσου καὶ Δαρείου βασιλεία, καὶ Ξέρξου ναυμαχία καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία μελικῶς, ἡ δ' ἐν Σαλαμῖνι δι' ἐλεγείας, θρῆνοι, ἐγκώμια, ἐπιγράμματα, παιᾶνες [καὶ τραγῳδίαι] καὶ ἄλλα.

DCCCXXXIII. Σιμωνίδης Κεῖος, θυγατριδοῦς κατά τινας τοῦ προτέρου, ὃς ἐπεκλήθη Μελικέρτης. γέγονε δὲ πρὸ τῶν Πελοποννησιακῶν καὶ γέγραφε γενεαλογίαν ἐν βιβλίοις γ', εὑρήματα ἐν βιβλίοις γ'.

DCCCXXXIV. Σιμωνίδης Μάγνης ἀπὸ Σιπύλου, ἐποποιός, γέγονεν ἐπὶ Ἀντιόχου τοῦ μεγάλου κληθέντος καὶ γέγραφε τὰς Ἀντιόχου [τοῦ μεγάλου] πράξεις καὶ τὴν πρὸς Γαλάτας μάχην, ὅτε μετὰ τῶν ἐλεφάντων τὴν ἵππον αὐτῶν ἔφθειρεν.

---

1 *διὰ τὸ — ἔτη πθ'* om. *Eud.* 2 *δὲ* delevit *Daub* 4 *γέγονε* hic significare „natus est" docuit *Rohde*, Mus. Rhen. XXXIII p. 187 coll. fr. 147 Bergk., qui et *ὀλ. ξβ'* ad *ἀκμὴν* poetae spectare vidit 6 *ἡ Καμβύσου — βασιλεία* in suspicionem vocaverunt *Bernhardy* et *Bergk*, Poet. lyr. p. 1145, olim de aetate dictum fuisse rati, qua vixerit Simonides, coll. vit. Pindari p. 98 Westerm., quibus adversatus est *Daub*, de Suid. p. 427; *ἡ Καμβύσου καὶ Δαρείου βασιλεία καὶ Ξέρξου* (ita ut non librorum tituli significentur, sed omnino quibus de rebus carminibus egerit) *δι' ἐλεγείας, ἡ δ' ἐν Σαλαμῖνι ναυμαχία μελικῶς* (om. additamento vulgatae et Eudociae) scite coni. *Gutschmid* 7 Verba vulgo sic ex *Eudocia* supplent, coll. schol. Ar.; Suidas enim *καὶ Ξέρξου ναυμαχία δι' ἐλεγείας, ἡ δ' ἐν Σαλαμῖνι μελικῶς*: cf. Bergk, Poet. lyr. l. c. 8 *μελικῶς* et *δι' ἐλεγείας* mutavi secutus *Bergkium*, *Ξέρξου ναυμαχία ἡ ἐπ' Ἀρτ.* *Bernhardy* *Ξέρξου ναυμαχίαι, ἡ ἐπ' Ἀρτ.* seq. coni. *Wachsmuth* 9 *καὶ τραγῳδίαι* iure in suspicionem vocavit *Bernhardy*, *τραγῳδία* **A**, quod placuit *Hermanno*, de trag. lyr. p. 6

DCCCXXXIII *Eud.* p. 644, quae om. verba suspecta *εὑρήματα* — exit. Cf. Müller II p. 42; Daub, Stud. p. 17 seq.

DCCCXXXIV Cf. Müller III p. 71 14 *ἀπὸ* add. *Meineke*, An. p. 401 15 *γέγραφεν* **A** *κληθέντος — μεγάλου* om. **A** 16 *Σωτῆρος* corr. *Meineke*, Euph. p. 16, postea proposuit *τοῦ πρώτου κληθέντος*, postquam rem aperuit *Cuper*, Observ. 4, 11 *τοῦ μεγάλου* libri, *αὐτοῦ* *Eud.* om. **V**, itaque expunxi; forte cum **A** leg. et *ἐπὶ* quoque del. *κατὰ* coni. *Bernhardy* *καὶ* libri 17 *αὐτοῦ* *vulg.* *αὐτῶν* corr. edd. 18 *ἔφθειραν* *vulg.* *ἔφθειρε* **ABVE** (man. I)

DCCXXXV. *Σιμωνίδης Καρύστιος ἢ Ἐρετριεύς, ἐποποιός. τὴν εἰς Αὐλίδα σύνοδον τῶν Ἀχαιῶν, τριμέτρων βιβλία β', περὶ Ἰφιγενείας ἕν.*

DCCXXXVI. *Σιμωνίδης Κρίνεω Ἀμοργῖνος, ἰαμβογράφος. ἔγραψεν ἐλεγείαν ἐν βιβλίοις β', ἰάμβους. ἦν δὲ τὸ ἐξ ἀρχῆς Σάμιος, ἐν δὲ τῷ ἀποικισμῷ τῆς Ἀμοργοῦ ἐστάλη καὶ αὐτὸς ἡγεμὼν ὑπὸ Σαμίων. ἔκτισε δὲ εἰς Ἀμοργὸν γ' πόλεις, Μίνωαν, Αἰγιάλην, Ἀρκεσίνην. γέγονε δὲ μετὰ υϟ' ἔτη τῶν Τρωικῶν καὶ ἔγραψε κατά τινας πρῶτος ἰάμβους καὶ ἄλλα διάφορα, ἀρχαιολογίαν τε τῶν Σαμίων.*

DCCXXXVII. *Σιρίκιος Νεαπολίτης ἐκ Παλαιστίνης, σοφιστής, μαθητὴς Ἀνδρομάχου, σοφιστεύσας χρόνον τινὰ κατὰ τὰς Ἀθήνας. προγυμνάσματα καὶ μελέτας.*

DCCXXXVIII. *Σκάμων* [*ὄνομα κύριον*] ...

DCCXXXIX. *Σκοπελιανὸς Κλαζομένιος σοφιστής, γεγονὼς ἐπὶ Νέρβα, σοφιστεύσας ἐν Σμύρνῃ, ἀκροατὴς δὲ*

DCCXXXV *Eud.* p. 644. De hoc et antecedenti poeta cf. etiam Düntzer, Ep. fr. II p. 76 2 Carmen *περὶ Ἰφ.* non diversum fuisse a synodo Achaeorum suspicatus est *Bernhardy*

DCCXXXVI Cf. Steph. Byz. v. *Ἀμοργός.* Eud. l. c. quae cum libris Suidae talem vitam descripsit: *καὶ ἄλλος, Κρ., Ἀμ. ἰαμβ. ἔγραψεν ἐλεγείαν* (*ἐλεγεῖα Eud.*) *ἐν βιβλίοις β', ἰάμβους πρῶτος αὐτὸς κατά τινας. γέγονε μετὰ υ' καὶ ϟ'* (*ϛ' Eud.*) *ἔτη τῶν Τρωικῶν.* Quae omnia expungenda censuit *Schneidewin*. Stud. ant. 1836 p. 366. Sed *πρῶτος αὐτὸς* seq. adscripta sunt, postquam verba olim secuta *ἦν δὲ* — exit. in vitam *Σιμμίας* irrepserunt 6 *Σάμιος*: conspirat Phot. bibl. p. 319 7 sic **BE** *ἀπὸ Σ. vulg.* *δὲ Ἀμοργὸν εἰς* libri, corr. *Daub*, cui etiam *Αἰγιάλην* pro *Αἰγιαλόν* debetur *Ἀρκεσίμην* libri, corr. *Welcker* coll. Steph. Byz. v. *Ἀρκ.* 8 *καὶ αὐτός*: *σύγχρονος Ἀρχιλόχου* supplevit *Volkmann*, quaest. nov. p. IV, quode cf. Rohde, Mus. Rhen. XXXIII p. 194 not., qui ib. p. 198 ex Dion. Hal. *Χρονικοῖς* de aetate Simonidis et Archilochi iudicium pendere suspicatus est *υϟ'* **E** *υϛ' vulg.* 9 *καὶ ἔγρ.* **V** *καὶ* om. *vulg.* 10 *ἀρχ. Σαμίων* carmen elegiacum fuisse nec diversum ab *ἐλεγεῖα βιβλ. β'* vidit *Welcker*; sed haec sic mutare mavult *Bergk*, Poet. lyr. p. 734: *ἔγραψεν ἐλεγεῖα, ἰάμβους ἐν βιβλίοις β'.* Ceterum genuinum verborum ordinem violatum esse patet, cum *καὶ ἄλλα διάφορα* s. fin. totius vitae addenda fuerint

DCCXXXVII *Eud.* p. 641. 12 *ῥήτωρ καὶ σοφιστής Eud.* Cf. v. *Ἀνδρόμαχος*, quem Diocletiano supparem fuisse *Suidas* tradidit 13 *μελέτας οὐκ ὀλίγας Eud.*

DCCXXXVIII Cf. v. *Σάνδων.* Sed probabilius Mitylenei historici olim vita extabat, cuius meminit etiam *Suidas* v. *φοινικήϊα γρ.*

DCCXXXIX *Eud.* p. 641. Cf. Philostrat. Vit. I, 21

ἐγένετο Νικήτου, συγχρονῶν Ἀπολλωνίῳ τῷ Τυανεῖ. πρὸς ὃν καὶ ἐπιστολὰς ἔγραψεν Ἀπολλώνιος.

DCCXL. *Σκύλαξ Καρυανδεὺς (πόλις δέ ἐστι τῆς Καρίας πλησίον Ἁλικαρνασσοῦ τὰ Καρύανδα), |μαθηματικὸς καὶ μουσικός|. ‖περίπλουν τῶν ἐντὸς τῶν Ἡρακλέους στηλῶν‖, τὰ κατὰ τὸν Ἡρακλείδην τὸν Μυλάσσων βασιλέα, γῆς περίοδον, |ἀντιγραφὴν πρὸς τὴν Πολυβίου ἱστορίαν|.*

DCCXLI. *Σόλων Ἐξηκεστίδου, Ἀθηναῖος φιλόσοφος, νομοθέτης καὶ δημαγωγός. γέγονε δὲ ἐπὶ τῆς μζ' ὀλυμπιάδος, οἱ δὲ νς'. ἐπιβουλευθεὶς δὲ ὑπὸ Πεισιστράτου τοῦ τυράννου ἀπεδήμησεν ἐν Κιλικίᾳ καὶ ἔκτισε πόλιν, ἣν Σόλους ἐκάλεσεν ἐξ αὐτοῦ. οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασι καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ. ἔγραψε νόμους*

---

2 *ἐπιστολαὶ φαίνονται Ἀπολλωνίου Eud.*

DCCXL Cf. Steph. Byz. v. *Καρύανδα: ἐντεῦθεν ἦν καὶ Σκύλαξ ὁ παλαιὸς λογογράφος* (om. Daub, de Suid. p. 447); Strabo XIV p. 658. Duos Scylaces homonymos, alterum aequalem Darii primi, Suidam (vel Hesychium) confudisse vidit *Vossius.* Cf. etiam Müller III p. 183. Mathematicum, qui Halicarnassi oriundus erat, certe in animo habet Cic. div. II, 42 5 *τῶν* **AV** *τοῦ vulg.* *ἐκτὸς τῶν* add. *Westerm.* *ἐντὸς τῶν* flagitavit *Bernhardy*, idem praefert *Müller, ἐντὸς καὶ ἐκτὸς τῶν Vossius.* Cf. etiam v. *Χάρων Λαμψ.* Ceterum hunc libellum non diversum esse a Periodo terrae, et *τὰ κατὰ* etc. non diversum esse a libro *ἀντιγραφὴν* infra memorato suspicatus est *Müller*; sed unam *ἀντιγραφὴν* mathematici esse vidit *Gutschmid.* Periplum Scylacis nomen ferentem quarto saeculo a. Ch. n. concinnatum esse constat; ex cuius initio (*ἄρξομαι δὲ ἀπὸ Ἡρακλείων στηλῶν τῶν ἐν τῇ Εὐρώπῃ μέχρι Ἡρακλ. στηλ. τῶν ἐν τῇ Λιβύῃ*) Suidam titulum effecisse collegit *Gutschmid* 6 *τὸν* ante *Ἡρ.* om. **V**; de Heraclide, Carum duce, cf. Gutschmid, Mus. Rhen. IX p. 142, et quae dixit Müller, Geogr. min. I p. XXXVIII *γῆς περίοδον* vere ad logographum spectat

DCCXLI *Eud.* p. 651, quae adiunxit Nonn. I, 21. Cf. Diog. I, 45 seq. Eodem de fonte descendit Schol. Platon. VI p. 359: *Σόλων, Ἀθηναῖος Ἐξηκεστίδου υἱός, σοφὸς καὶ νομοθέτης καὶ δημαγωγὸς γεγονώς. οὗτος Πεισιστράτου κατειπὼν μέλλοντος τυραννεῖν διὰ τὴν ἐξ αὐτοῦ ἐπιβουλὴν ἀπεδήμησεν εἰς Αἴγυπτον καὶ Κύπρον, ἀλλὰ καὶ πρὸς Κροῖσον τὸν βασιλέα Λυδῶν, εἶτα εἰς Κιλικίαν, οὗ κτίζει πόλιν Σόλους λεγομένην, ἐν ᾗ τοὺς κατοικισθέντας ὑπ' αὐτοῦ Ἀθηναίους, πολλὰ τῆς Ἑλλάδος φωνῆς διὰ τὸ χρόνῳ βαρβαρωθῆναι παραφθεγγομένους, σολοικίζειν καὶ σολοίκους ἔλεγον, ἐξ οὗ καὶ σολοικισμός. τούτου τὸ μηδὲν ἄγαν. ἔγραψε δὲ νόμους, οὓς ἄξονας ἐκάλεσαν, καὶ ὑποθήκας δι' ἐλεγείας. ἔτη δὲ γεγονὼς ὀγδοήκοντα ἐν Κύπρῳ τελευτᾷ.* Hesychianum esse vidit *Rohde*, Mus. Rhen. XXXIII p. 205 not., neglexit *Mettauer* p. 57 not. 1, non recte disputavit *Daub,* de Viol. p. 24 8 *Ἐξηκ.* om. *Eud.* 9 *καὶ δημ.* om. *Eud.* 10 an *μς'* coll. *Clinton* p. 312 Kr.? sed cf. Rohde l. c. p. 183

Ἀθηναίοις, οἵτινες ἄξονες ὠνομάσθησαν διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι, ποίημα δι' ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται, ὑποθήκας δι' ἐλεγείων καὶ ἄλλα. ἔστι δὲ καὶ οὗτος εἷς τῶν ζ' ὀνομαζομένων σοφῶν [καὶ φέρεται αὐτοῦ ἀπόφθεγμα τόδε, 'μηδὲν ἄγαν', ἢ τὸ 'γνῶθι σαυτόν.']

DCCXLII. *Σοφοκλῆς Σοφίλλου, Κολωνῆθεν Ἀθηναῖος, τραγικός, τεχθεὶς κατὰ τὴν ογ' ὀλυμπιάδα, ὡς πρεσβύτερος εἶναι Σωκράτους ἔτη ιζ'. οὗτος πρῶτος τρισὶν ἐχρήσατο ὑποκριταῖς καὶ τῷ καλουμένῳ τριταγωνιστῇ καὶ πρῶτος τὸν χορὸν ἐκ ιε' εἰσήγαγε νέων, πρότερον ιβ' εἰσιόντων. προσηγορεύθη δὲ μέλιττα διὰ τὸ γλυκύ. καὶ αὐτὸς ἦρξε τοῦ δρᾶμα πρὸς δρᾶμα ἀγωνίζεσθαι, ἀλλὰ μὴ τετραλογίαν. καὶ ἔγραψεν ἐλεγείαν τε καὶ παιᾶνας καὶ λόγον [καταλογάδην] περὶ τοῦ χοροῦ, πρὸς Θέσπιν καὶ Χοιρίλον ἀγωνιζόμενος. παῖδας δὲ οὓς ἔσχεν, οὗτοι· Ἰοφῶν, Λεωσθένης, Ἀρίστων, Στέφανος, Μενεκλείδης. τελευτᾷ δὲ μετὰ Εὐριπίδην ἐτῶν ϙ. ἐδίδαξε δὲ δράματα ρκγ', ὡς δέ τινες, καὶ πολλῷ πλείω, νίκας δὲ ἔλαβε κδ'.*

DCCXLIII. *Σοφοκλῆς Ἀρίστωνος, υἱωνὸς δὲ τοῦ προτέρου Σοφοκλέους [πρεσβυτέρου], Ἀθηναῖος τραγικός. ἐδίδαξε δὲ δράματα μ', οἱ δέ φασιν ια', νίκας δὲ εἷλεν ζ'. ἔγραψε καὶ ἐλεγείας.*

DCCXLIV. *Σοφοκλῆς Ἀθηναῖος τραγικὸς καὶ λυρικός, ἀπόγονος τοῦ παλαιοῦ. γέγονε δὲ μετὰ τὴν Πλειάδα*

---

2 *δὲ δι' ἐ.* **Ald.** 3 *δι' ἐλεγείων* **V** correxit etiam *Kusterus*, *ὑπ.*, *ἐλεγείας Eud.* *δι' ἐλεγείας Plat.* *ὑπ. δὲ ἐλεγείας vulg.* 4 *καὶ* seq. ab Hesychio aliena

DCCXLII *Eud.* p. 645, quae om. *Σοφίλου*, *Κολωνῆθεν*, et *τεχθεὶς* — *ὡς* et *εἶναι*; infra *οὗτος* — *τετραλογίαν*. Cf. Mendelssohn, Act. Soc. Lips. II p. 180 seq. 6 *Σωφίλου* **A** 10 *νέος ὢν* corr. *Volkmannus* *προσώπων Dindorf.* *συγκείμενον Usener*, *ἀνδρῶν* vel *νέον* praefert *Daub* *προσηγορ.* — *γλυκύ* compilavit *Pseudo-Hesych.* c. 61 11 *πρῶτος* coni. *Bergk* 12 *τετραλογίαν* corr. *Meursius* *στρατολογεῖσθαι* **AV**, quod tuetur *F. Schöll* (unde *τετραλογεῖσθαι* vel *διὰ τετραλογίαν Naeke*, Choeril. p. 9) *στρατολογίαν* rel. 13 *ἐλεγείας* coni. *Bergk*, Poet. Lyr. p. 572, *ἐλεγεῖα Zurborg* in Herma X p. 204 *λόγον* del. *Daub* *καταλογάδην* om. **A** 14 *ἀγωνιζόμενον* **V** 15 *Ἰοφῶν* om. **A** 16 *ϙ'* ex *Par.* *Kusterus* *ϛ'* rel. *ριγ' Boeckh*, gr. trag. princ. p. 110

DCCXLIII *Eud.* l. c. Cf. Welcker, Gr. Trag. p. 978, Nauck, fr. trag. p. 606 19 *τοῦ προτέρου Σοφ. τ. π.* omnes (et *Eud.*) *τ. προτ.* om. **V** iniuria delevit *Bernhardy*, qui et alterum *τοῦ* (cum **AV**) omisit; ego *πρεσβ.* delevi

DCCXLIV *Eud.* l. c. in margine habet **A**. Cf. Welcker, Gr. Trag. p. 1275

ἤτοι μετὰ τοὺς ἑπτὰ τραγικούς, οἵτινες ὠνομάσθησαν καὶ Πλειάς. δράματα αὐτοῦ ιε΄.

DCCXLV. Σπεύσιππος Εὐρυμέδοντος, ἀδελφιδοῦς Πλάτωνος τοῦ φιλοσόφου ἀπὸ Ποτώνης τῆς αὐτοῦ ἀδελφῆς, ἀκουστὴς αὐτοῦ Πλάτωνος καὶ διάδοχος γενόμενος τῆς Ἀκαδημίας ἐπὶ τῆς ρη΄ ὀλυμπιάδος. συνέγραψε πλεῖστα καὶ μάλιστα φιλόσοφα. [αὐστηρὸς τὴν γνώμην καὶ εἰς ἄκρον ὀξύθυμος.]

DCCXLVI. Σπίνθαρος Ἡρακλεώτης. ἦν δὲ τραγῳδίας ποιητής. δράματα δὲ αὐτοῦ ἐστι ταῦτα· Περικαιόμενος Ἡρακλῆς, Σεμέλη κεραυνουμένη.

DCCXLVII. Στησίχορος Εὐφόρβου ἢ Εὐφήμου, ὡς δὲ ἄλλοι, Εὐκλείδου ἢ Ὑέτους ἢ Ἡσιόδου, ⟨ἐκ⟩ πόλεως Ἱμέρας τῆς Σικελίας (καλεῖται γοῦν Ἱμεραῖος), οἱ δὲ ἀπὸ Ματαυρίας τῆς ἐν Ἰταλίᾳ, οἱ δὲ ἀπὸ Παλαντίου τῆς Ἀρκαδίας φυγόντα αὐτὸν ἐλθεῖν φασιν εἰς Κατάνην, κἀκεῖ τελευτῆσαι καὶ ταφῆναι πρὸ τῆς πύλης, ἥτις ἐξ αὐτοῦ Στησιχόρειος προσηγόρευται. τοῖς δὲ χρόνοις ἦν νεώτερος Ἀλκμᾶνος τοῦ λυρικοῦ, ἐπὶ τῆς λζ΄ ὀλυμπιάδος γεγονώς. ἐτελεύτησε δὲ ἐπὶ τῆς νϛ΄. εἶχε δὲ ἀδελφὸν γεωμετρίας ἔμπειρον Μαμερτῖνον καὶ ἕτερον Ἡλιάνακτα νομοθέτην. γέγονε δὲ λυρικός. καὶ ἔστιν αὐτοῦ τὰ ποιήματα Δωρίδι διαλέκτῳ ἐν βιβλίοις κϛ΄· φασὶ δὲ αὐτὸν γράψαντα ψόγον Ἑλένης τυφλωθῆναι, πάλιν δὲ γράψαντα Ἑλένης ἐγκώμιον ἐξ ὀνείρου, τὴν παλινῳδίαν,

---

1 ἤτοι — ὠνομάσθησαν libri *Suid.* (praeter **V**; καὶ Πλειὰς **ABE** καὶ om. rel.) *Eud.*, iniuria expunxit *Bernhardy*, ab homine scholiastico illa profecta ratus

DCCXLV Cf. Diog. IV, 1, a quo tota pendet 6 ρν΄ **A** 7 Verba seclusa removi, quae ordinem Hesychianum violent; fortasse male intellecta ex Diog. l. c. καὶ γὰρ ὀργίλος καὶ ἡδονῶν ἥττων ἦν

DCCXLVI *Eud.* p. 647. Cf. Welcker, Gr. Trag. p. 1034 10 Ἡρακλειώτης **BE** an πυρικαιόμενος?

DCCXLVII *Eud.* p. 647, quae om. ὡς δὲ ἄλλοι — προσηγόρευται. Cf. Steph. Byz. v. Μάταυρος et *Rohde*, Mus. Rhen. XXXIV p. 569 13 Εὐεποῦς *Gutschmid* καὶ πόλεως *vulg.* καὶ om. **A** ἐκ πόλεως **V**, quod scripsi 14 Ματ. πόλις Σικελίας *Steph. Byz.*, quode cf. Meineke ad v. Σινόεσσα, et Daub, de Suid. p. 449 15 Παλλαντίου *vulg.* 17 καὶ — νϛ΄ s. fin. vitae add. **V** παρὰ τῆς πύλης *Kusterus* παρὰ τῇ πύλῃ *Kleine*, Stes. fr. p. 3 19 ἐτελεύτησε — νϛ΄ om. *Eud.* 20 γεωμετρῆν Μαμαρτῖνον **V** Ἀμέριστον fratrem vocat *Proculus* in Euclid. elem. 2 p. 19 21 seq. compilavit *Pseudo-Hesych.* c. 50 24 διὰ τὴν παλινῳδίαν coni. *Kusterus* sine idonea causa, τὴν λεγομένην vel καλουμένην παλ. *Hemsterhus.*

ἀναβλέψαι. ἐκλήθη δὲ Στησίχορος ὅτι πρῶτος κιθαρῳδίᾳ χορὸν ἔστησεν, ἐπεὶ τὸ πρότερον Τισίας ἐκαλεῖτο.

DCCXLVIII. Στίλπων Μεγαρεὺς φιλόσοφος, γεγονὼς παρὰ τῷ πρώτῳ Πτολεμαίῳ, μαθητὴς Πασικλέους τοῦ Θηβαίου, ὃς ἠκροάσατο Κράτητος τοῦ ἀδελφοῦ καὶ Εὐκλείδου τοῦ Μεγαρέως, οἱ δὲ Εὐκλείδου τοῦ Πλάτωνος γνωρίμου. προέστη δὲ καὶ τῆς Μεγαρικῆς σχολῆς καὶ ἔγραψε διαλόγους οὐκ ἐλάττους τῶν κ'.

DCCXLIX. Στράβων Ἀμασεὺς φιλόσοφος, γέγονεν ἐπὶ Τιβερίου Καίσαρος. ἔγραψε γεωγραφίαν ἐν βιβλίοις ιζ'.

DCCL. Στράττις Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· Ἀνθρωπορραίστης, Ἀταλάντη, Ἀγαθοὶ ἤτοι Ἀργυρίου ἀφανισμός, Ἰφιγέρων, Καλλιππίδης, Κινησίας, Λιμνομέδων, Μακεδόνες, Μήδεια, Τρωΐλος, Φοίνισσαι, Φιλοκτήτης, Χρύσιππος, Παυσανίας, Ψυχασταί, [ὥς φησιν Ἀθήναιος ἐν τῷ β' βιβλίῳ τῶν Δειπνοσοφιστῶν].

DCCLI. Στράττις Ὀλύνθιος ἱστορικός. περὶ τῶν Ἀλε-

1 κιθαρῳδίας V κιθαρῳδίᾳ *vulg. Eud.* κιθαρωδία (sic!) Ald. 2 τοι πρότερον libri, corr. *Daub*

DCCXLVIII *Eud.* p. 653. Cf. Diog. II, 113 6 Εὐκλείδου corr. *Reinesius*, quode cf. Diog. VI, 89 Διοκλείδου libri et *Eud.* οἱ δὲ — σχολῆς om. *Eud.*, quae vitiosa esse videntur, nisi praefers ὁ δὲ Εὐκλείδης — γνώριμος; interim οἱ δὲ scripsi cum prioribus edd., ut Stilponem secundum alios auctores Euclidem audivisse intellegas, ὁ δὲ ex *Par. Kusterus*

DCCXLIX *Eud.* p. 653, quae cum Suidae libris vulgatis hanc vitam descripsit: Στρ. Ἀμασ. φιλόσοφος καὶ γεωγράφος (κ. γεω. om. B). Quae hic scripsi, eadem cum Suidae libris (om. V) infra s. Στράτων habet, incipiens καὶ ἕτερος Στρ. Ἀμασεὺς φιλόσοφος — βιβλίοις ζ'. Genuino loco haec solus habet A, scripto Στράτων (repugnante literarum serie). Cf. Steph. Byz. v. Ἀμάσεια. Ad hanc vitam spectat glossa, quae ad calcem v. Πολύβιος adiecta est: ἔγραψε δὲ καὶ Στράβων Ἀμασεὺς τὰ μετὰ Πολύβιον ἐν βιβλίοις μγ' coll. Strab. XI p. 515 εἰρηκότες δὲ πολλὰ — δευτέρᾳ δὲ τῶν μετὰ Πολύβιον. Cf. v. Πολύβιος. De hoc opere v. Müller III p. 490 seq. 9 γεγονὼς? 10 ζ' libri, corr. *Gaisford*; cf. Daub, Stud. p. 18

DCCL *Eud.* p. 648. Tractat Meineke I p. 221 seq. 11 τραγικὸς *vulg.* στρατηγὸς τραγικὸς V κωμικός corr. *Kusterus* 12 Ἀνθρωπορέστης libri Ἀνθρωπορaίστης *Toupius* Ἀνθρωπορραίστης *Meineke* ἤτοι susp. *Meinekio*, qui diversas fuisse fabulas suspicatus est 14 Λιμνομέδων obscurus fabulae titulus, Λημνομέδα vel Λιμνομέδα libri *Athen.* VII p. 327, qua de inconstantia v. *Meineke* p. 231 15 ὡς — exit. om. *Eud.*, nebuloni deberi probavit *Wachsmuth*, Symb. p. 151 16 ἐν τῷ β nihili esse viderunt edd.; ἐν τῷ ιβ' *Bernhardy* coll. XII p. 551

DCCLI Habet A in marg. *Eud.* p. 639. Cf. Müller, Script. Alex.

ξάνδρου ἐφημερίδων καὶ τῆς Ἀλεξάνδρου τελευτῆς βιβλία πέντε, |ἔγραψε περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν|.

DCCLII. *Στράτων* κωμικὸς τῆς μέσης κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἦν Φοῖνιξ.

DCCLIII. *Στράτων* Λαμψακηνὴς φιλόσοφος, Θεοφράστου γνώριμος καὶ διάδοχος, υἱὸς δὲ Ἀρκεσιλάου ἢ Ἀρκεσίου, ὃς ἐπεκλήθη φυσικὸς διὰ τὸ παρ' ὁντιναοῦν ἐπιμεληθῆναι τῆς φυσικῆς θεωρίας. [καθηγήσατο δὲ καὶ Πτολεμαίου τοῦ ἐπικληθέντος Φιλαδέλφου] καὶ ἔγραψε βιβλία πολλά.

DCCLIV. *Συνέσιος* Πενταπόλεως τῆς ἐν Λιβύῃ Θηβαΐδος, φιλόσοφος, ἐπίσκοπος Πτολεμαΐδος, ἱερατικῶν γενόμενος. ἔγραψε βιβλία διάφορα γραμματικά τε καὶ φιλόσοφα, καὶ λόγους βασιλικούς, πανηγυρικοὺς ἢ ἐπιδεικτικούς, ἐγκώμιόν τε φαλάκρας, καὶ περὶ προνοίας λόγον θαυμάσιον, Ἑλληνικῷ χαρακτῆρι· καὶ τὰς θαυμαζομένας ἐπιστολάς καὶ ἄλλα πλεῖστα καὶ διάφορα βιβλία συνέταξε.

DCCLV. *Συριανὸς* Ἀλεξανδρεὺς φιλόσοφος, ἡγησάμενος τῆς ἐν Ἀθήναις σχολῆς τε καὶ διατριβῆς, διδάσκαλος γενόμενος Πρόκλου, ὃς καὶ διάδοχος αὐτοῦ ἐγένετο. ἔγραψεν |εἰς Ὅμηρον ὅλον ὑπόμνημα ἐν βιβλίοις ζ', εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δ', εἰς τὴν Ὀρφέως θεολογίαν βιβλία β',

---

p. 121 et 125 not.; Daub, Stud. p. 18 17 ἔγραψε hic add. *Eud.*, infra ante περὶ ποτ. **A** 1 quae scripsi monuerat *Bernhardy*; καὶ περὶ τ. Ἀλ. τελ. s. fin. exhibent omnes libri; βιβλία πέντε s. fin. **A** (qui etiam καὶ τῆς Ἀλ. τελ.), quod post ἐφημ. edd. vett. et *vulg.* habent. Ceterum aut Strattidem et Ephipphum Olynthium confusos esse, aut idem opus mox uni mox alteri datum probabile est; lectoris manu hic additum putat *Daub* 2 π. ποτ. Stratonis physici esse vidit *Gutschmid* καὶ ἄλλα add. *Eud.*

DCCLII *Eud.* p. 648. Tractat Meineke I p. 426 seq. Ab Hesychii Onomatologo alienam putat *Daub*, de Suid. p. 484 4 Φοινικίδης apud Athen. IX p. 382

DCCLIII *Eud.* p. 653. Cf. Diog. V, 58 8 καθηγήσατο — Φιλαδέλφου om. *Eud.*, certe ordinem turbant; transscripta sunt ex Diog. l. c.

DCCLIV *Eud.* p. 653 10 Συν. ἐπισκ. ἐκ Πτ. Πεντ. *Eud.* 14 πρὸς Ἀρκάδιον τὸν βασιλέα post βασιλικούς add. *Eud*, quae ex ipsius cognitione eam addidisse putat *Daub*, de Viol. p. 9 15 verba καὶ τὰς — ἐπιστολὰς huc collocavi Eudociam secutus; post συνέταξε male exhibent *Suidae* libri

DCCLV *Eud.* p. 654, quae om. ἡγησάμενος — ἐγένετο. Cf. Marini vit. Procli c. 26; Lobeck, Agl. p. 344 17 ἰσοκρατίων post φιλ. add. **AVE** 20 Verba seclusa ad Procli vitam spectare, unde lectoris manu in Syriani immigraverint, vidit *Bernhardy*; **B** inter vers. habet ζήτει, quod recte coniungas cum εἰς τὰ Πρόκλου

[εἰς τὰ Πρόκλου] περὶ τῶν παρ' Ὁμήρῳ θεῶν, συμφωνίαν Ὀρφέως, Πυθαγόρου καὶ Πλάτωνος περὶ τὰ λόγια, βιβλία ι' | καὶ ἄλλα τινὰ ἐξηγητικά.

DCCLVI. Σωκράτης Σωφρονίσκου λιθοξόου καὶ μητρὸς Φαιναρέτης μαίας, πρότερον γενόμενος λιθοξόος, ὥστε καί φασιν αὐτοῦ ἔργον εἶναι τὰς Ἀθήνησιν ἐνδεδυμένας Χάριτας, εἶτα φιλοσοφήσας διὰ τὸ ἀκοῦσαι Ἀναξαγόρου τοῦ Κλαζομενίου, εἶτα Δάμωνος, εἶτα Ἀρχελάου. Ἀριστόξενος δὲ Ἀρχελάου πρῶτον αὐτὸν διακοῦσαι λέγει, γεγονέναι δὲ αὐτοῦ καὶ παιδικά, σφοδρότατόν τε περὶ τὰ ἀφροδίσια, ἀλλ' ἀδικήματος χωρίς, ὡς Πορφύριος ἐν τῇ φιλοσόφῳ ἱστορίᾳ φησίν. ἐς δὲ ἄνδρας ἐλθὼν ἐστρατεύσατο εἴς τε Ἀμφίπολιν καὶ Ποτίδαιαν καὶ ἐπὶ Δηλίῳ. καὶ γαμεταῖς δὲ συνῴκησε δύο, Ξανθίππῃ, ἀφ' ἧς ἔσχεν υἱὸν Λαμπροκλέα, καὶ δευτέρᾳ Μυρτοῖ τῇ Ἀριστείδου τοῦ δικαίου θυγατρί, ἐξ ἧς ἐγένετο Σωφρονίσκος καὶ Μενέδημος, ἢ Μενέξενος, ὥς τισι δοκεῖ. καὶ ἐπὶ μὲν τῶν Πελοποννησιακῶν γέγονεν, ὡς τύπῳ εἰπεῖν, ὀλυμπιάδι πζ', ἐβίω δὲ ἔτη ο'· εἶτα ἀλογίᾳ, μᾶλλον δὲ ἀπονοίᾳ τῶν Ἀθηναίων βιασθεὶς πιεῖν κώνειον ἀπέθανεν, ἔγγραφον οὐδὲν καταλιπών, ἢ ὥς τινες βούλονται ὕμνον εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν καὶ μῦθον Αἰσώπειον δι' ἐπῶν. φιλοσόφους δὲ εἰργάσατο Πλάτωνα, ὃς καταλιπὼν τὸ Λύκειον (τόπος δὲ οὗτος Ἀθηνῶν) μετήγαγε τὴν σχολὴν ἐν προαστείῳ, τῇ Ἀκαδημείᾳ προσαγορευομένῃ, (καὶ οἱ ἀπ' αὐτοῦ Ἀκαδημαϊκοὶ [φιλόσοφοι] προσηγορεύθησαν μέχρι Ἀριστοτέλους· αὐτὸς γὰρ ἀκροατὴς τοῦ Πλάτωνος γενόμενος, εἰς κῆπόν τινα πρὸ τῆς πόλεως τὰς διατριβὰς ποιησάμενος ἐκ τοῦ κατ' αὐτὸν περιπάτου Περιπατητικοὺς ὠνόμασε τοὺς ἀπ' αὐτοῦ)· [καὶ] Ἀρίστιππον Κυρηναῖον, ὃς ἰδίαν αἵρεσιν εἰσήγαγε καὶ σχολὴν συνεστήσατο τὴν Κυρηναϊκὴν κληθεῖσαν·

DCCLVI Cf. Diog. II, 18 seq. Hesychio fortasse tribuenda esse Σωκράτης — Ἀρχελάου et καὶ ἐπὶ μὲν — δι' ἐπῶν dixi Mus. Rhen. XXXV p. 198. Porphyrii ἱστορίαν φιλόσοφον ab Hesychio adhibitam esse docuit *Rohde* 4 λιθοξόος V 8 Δήμωνος V *Müller* II p. 280 (fr. 25) 9 πρώτου V 14 παῖδα ἔσχε V 16 ὥς τισι δοκεῖ et mox ὡς τύπῳ εἰπεῖν om. V 18 πζ' — ο' flagitavit *Bernhardy* laudatus *Rohdeo*, Mus. Rhen. XXXIII p. 190 οζ' — π' libri, quod librariorum errore ortum suspicor 20 ἄλλον post οὐδὲν addit *Kusterus* 21 Cf. Menagius in Diog. II, 42 22 seq. — exit. Porphyrio descripta videntur esse 25 φιλόσοφοι om. AV 29 καὶ delevi

Φαίδωνά [τε] *Ἠλεῖον καὶ αὐτὸν ἰδίαν συστήσαντα σχολήν, τὴν Ἠλειακὴν ἀπ' αὐτοῦ κληθεῖσαν (ὕστερον δὲ αὕτη Ἐρετριακὴ ἐκλήθη, Μενεδήμου εἰς Ἐρέτριαν διδάξαντος· ἐκ τούτου δὲ τοῦ διδασκάλου καὶ ὁ Πύρρων γέγονεν)· Ἀντισθένην, ὃς τὴν κυνικὴν εἰσήγαγεν αἵρεσιν· Εὐκλείδην Μεγαρέα καὶ αὐτὸν ἰδίαν συστησάμενον σχολήν, ἥτις ἀπ' αὐτοῦ ἐκλήθη Μεγαρική, ἀπὸ δὲ Κλεινομάχου τοῦ μαθητοῦ Εὐκλείδου ἐκλήθη διαλεκτική· Ξενοφῶντα Γρύλλου, Αἰσχίνην Λυσανίου Σφήττιον, Κέβητα Θηβαῖον, Γλαύκωνα Ἀθηναῖον, Βρύσωνα Ἡρακλεώτην, ὃς τὴν ἐριστικὴν διαλεκτικὴν εἰσήγαγε μετὰ Εὐκλείδου (ηὔξησε δὲ Κλεινόμαχος, καὶ πολλῶν δι' αὐτῆς ἐλθόντων ἔληξεν εἰς Ζήνωνα τὸν Κιτιέα· οὗτος γὰρ ἀπ' αὐτοῦ Στωικὴν ἐκ τοῦ τόπου τὴν σχολὴν ὠνόμασε, γεγονὼς ἐπὶ τῆς ρκε' ὀλυμπιάδος· τινὲς δὲ Βρύσωνα οὐ Σωκράτους ἀλλ' Εὐκλείδου ἀκροατὴν γράφουσι· τούτου δὲ καὶ Πύρρων ἠκροάσατο, ἀφ' οὗπερ οἱ Πυρρώνειοι προσαγορευόμενοι)· Ἀλκιβιάδην, Κριτόβουλον, Ξενομήδην, Ἀπολλόδωρον Ἀθηναίους, ἔτι δὲ Κρίτωνα καὶ Σίμωνα, Εὐμάρη Φλιάσιον, Σιμμίαν Θηβαῖον, Τερψίωνα Μεγαρικόν,* [*Εὔηνον*], *Χαιρεφῶντα. καὶ Θεόδωρος δὲ ὁ ἐπικληθεὶς ἄθεος αὐτοῦ διήκουσεν, ἀδιαφορίαν δὲ δοξάζων καὶ παραδιδοὺς αἵρεσιν ἰδίαν εὗρεν, ἥτις Θεοδώρειος ἐκλήθη. ταῦτα περὶ Σωκράτους.*

DCCLVII. *Σώπατρος Ἀπαμεὺς σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἰαμβλίχου, ὃν ὁ Καῖσαρ Κωνσταντῖνος ἀνεῖλεν εἰς πίστιν τοῦ μὴ ἑλληνίζειν ἔτι τὰ κατὰ θρησκείαν· ἦν γὰρ αὐτῷ συνήθης πρότερον. ἔγραψε περὶ προνοίας καὶ τῶν παρὰ τὴν ἀξίαν εὐπραγούντων ἢ δυσπραγούντων.*

DCCLVIII. *Σώπατρος Ἀπαμεὺς σοφιστής, ἢ μᾶλλον Ἀλεξανδρεύς. ἐπιτομὰς πλείστων. τινὲς δὲ καὶ τὴν ἐκλογὴν τῶν ἱστοριῶν τούτου εἶναί φασι.*

DCCLIX. *Σώπατρος κωμικός. τῶν δραμάτων αὐτοῦ*

---

1 *τε* om. **A** 4 *διδασκαλεῖον* praefert *Westerm.* 9 *Λυσανίαν* libri corr. *Hemsterhus.* 18 *Εὐμαρῆ vulg.* corr. *Bernh.* 19 *Φιλιάσιον* **V** *Εὔηνον* om. **ABV** del. *Bernhardy*

DCCLVII om. *Westerm. Eud.* p. 641. Cf. Eunap. I p. 21 seq. Valesius in Sozom. Hist. eccl. I, 5 24 *υἱός* pro *μαθ.* **E** 26 *τὰ* add. **AV** om. *vulg. Eud.*

DCCLVIII *Eud.* l. c. 28 *ἢ — Ἀλεξ.* om. *Eud.* 29 *ἐκλογὴν* **V** corr. *Kusterus ἐκλογίαν vulg. Eud. ἐκλογιῶν* **B** man. I. Ceterum de eclogis agi, quae decerpserit Photius bibl. p. 103 seq., vidit *Kusterus*

DCCLIX *Eud.* p. 645. De vita egit Daub, de Suid. p. 484

ἐστιν Ἱππόλυτος, Φυσιολόγος, Σίλφαι [ἢ] Κνιδία, Νέκυια, Πύλαι, Ὀρέστης, Φακῆ, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

DCCLX. [*Σώπατρος παρῳδός. τούτου ἐστὶ δρᾶμα Βακχίς, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.*]

DCCLXI. *Σωρανός Μενάνδρου καὶ Φοίβης, Ἐφέσιος ἰατρός, διατρίψας ἐν Ἀλεξανδρείᾳ καὶ ἐν τῇ Ῥώμῃ δὲ ἰατρεύσας ἐπὶ Τραϊανοῦ καὶ Ἀδριανοῦ τῶν βασιλέων, βιβλία τε συντάξας πλεῖστα καὶ κάλλιστα.*

DCCLXII. *Σωρανὸς Ἐφέσιος, ἰατρὸς νεώτερος. γυναικεῖα βιβλία δ', βίους ἰατρῶν καὶ αἱρέσεις καὶ συντάγματα βιβλία ι' καὶ ἄλλα διάφορα.*

DCCLXIII. *Σωσίβιος Λάκων γραμματικός, τῶν ἐπιλυτικῶν καλουμένων, [ἐν τούτοις δὲ ἱστορεῖ καὶ τοῦτο, ὅτι εἶδός τι κωμῳδίας ἐστὶ καλούμενον Δικηλιστῶν καὶ Μιμηλῶν], περὶ τῶν Μιμηλῶν ἐν Λακωνικῇ ἱστορουμένων παιδιῶν καὶ ἄλλα.*

DCCLXIV. *Σωσίθεος Συρακούσιος ἢ Ἀθηναῖος, μᾶλλον δὲ Ἀλεξανδρεὺς τῆς Τρωικῆς Ἀλεξανδρείας, τῶν τῆς Πλειάδος εἷς, ἀνταγωνιστὴς Ὁμήρου τοῦ τραγικοῦ τοῦ υἱοῦ Μυροῦς τῆς Βυζαντίας, ἀκμάσας κατὰ τὴν ρκδ' ὀλυμπιάδα, γράψας δὲ καὶ ποιήματα καὶ καταλογάδην.*

---

1 *ἡ Κνιδία* pars libr. **M Ald.** *Eud.* *ἢ* expungendum esse vidit *Hemsterhus.* coll. Athen. III p. 109 et p. 102, quo ex loco *Σίλφαι* pro *Σιλφία* reposuit 2 *καὶ ἄλλα* post *Φακῆ* add. *Eud.*

DCCLX Totam vitam om. **A** et *Eud.*, itaque ex uno poeta duos factos esse perspexit *Bernhardy*; alterum lectorem ex loco Athen. IV p. 158 male intellecto elicuisse manifestum est. Cf. Sommerbrodt l. c. p. 31, Daub, Mus. Rhen. XXXV p. 64.

DCCLXI *Eud.* p. 642. Cf. Voss. hist. Graec. p. 499 West. 6 *τῇ* add. **AV** 7 *βιβλία συνέταξε πρακτικὰ πλεῖστα* melius, ut videtur, *Eud.*

DCCLXII *Eud.* l. c. 9 *γυναικεῖα* ex **ABV** revocavit *Bernhardy*, *γυναικείων vulg. Eud.* 11 *ἄλλα πλεῖστα διάφορα Eud.*

DCCLXIII *Eud.* p. 650. Tractant Clinton III p. 508; Müller II p. 627; Daub, Stud. p. 141 12 *Λυτικῶν* proposuit *Bernhardy* coll. Athen. XI p. 493, sed cf. Menag. in Diog. VI, 81; Lehrs, Arist. p. 203 not. 13 *Λακωνικά* ante *ἐν* suppl. *Kusterus* *ἐν τούτοις — Μιμηλῶν* fortasse lector adscripsit, ad sequentem librum rettulit *Daub* 14 sic codd. *Par.* *Δικλειστῶν* edd. vett. *Eud.* *Δεικηλιστῶν* **BE** *ἤτοι* pro *καὶ* coni. *Müller* 15 *Μιμηλῶν* expunxit *Müller*, coll. Athen. XIV p. 621 *παιδιῶν* pro *παλαιῶν* corr. *Bernhardy*; post *παλαιῶν* idem addi mavult *Müller*

DCCLXIV Cf. Anth. Pal. VII, 707. Tractat Welcker, Gr. Trag. p. 1252 17 cf. v. *Ὅμηρος Ἀνδρ.* 20 *Βυζαντίδος* **V** *ρκδ'* corr. *Pearson.* *ρξδ'* libri

DCCLXV. *Σωσιφάνης Σωσικλέους Συρακούσιος, τραγικός. ἐδίδαξε δράματα ογ', ἐνίκησε δὲ ζ'. ἔστι δὲ καὶ αὐτὸς ἐκ τῶν ζ' τραγικῶν, οἵτινες ὠνομάσθησαν Πλειάς. ἐγένετο δὲ ἐπὶ τῶν τελευταίων χρόνων Φιλίππου, οἱ δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος. [τελευτᾷ δὲ ρια' ὀλυμπιάδι, οἱ δὲ ριδ'.] οἱ δὲ ἀκμάσαι αὐτὸν γράφουσι.*

DCCLXVI. *Σωτάδας Βυζάντιος φιλόσοφος, ... ὡς ἐν τῷ ς' περὶ φιλοσοφίας Ἀριστοκλῆς.*

DCCLXVII. *Σωτάδης Ἀθηναῖος κωμικὸς τῆς μέσης κωμῳδίας.*

DCCLXVIII. *Σωτάδης Ἀθηναῖος φιλόσοφος ὁ γράψας περὶ μυστηρίων βιβλίον α'.*

DCCLXIX. *Σωτάδης Κρὴς ⟨ἢ⟩ Μαρωνείτης, δαιμονισθείς, ἰαμβογράφος. ἔγραψε φλύακας, ἤτοι κιναίδους διαλέκτῳ Ἰωνικῇ· καὶ γὰρ Ἰωνικοὶ λόγοι ἐκαλοῦντο οὗτοι. ἐχρήσατο δὲ τῷ εἴδει τούτῳ καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Πύρης ὁ Μιλήσιος καὶ Θεοδωρίδας καὶ Τιμοχαρίδας καὶ Ξέναρχος. εἰσὶ δὲ αὐτοῦ εἴδη πλεῖστα, οἷον εἰς Ἅιδου κατά-*

DCCLXV *Eud.* p. 646. Cf. Welcker p. 1266 1 Veram lectionem ex tribus Par. (et *Vat. Pears.*) restituit *Kusterus*, *Σωσιφάνης ὁμοίως κύριον. Σωσικλῆς Σωσικλέους* E *vulg.* edd. vett. *Σωσικλῆς Σωσικλέους* om. *Σωσιφάνης Eud. Σωσιφάνης ὄνομα κύριον, υἱὸς Σωσικλέους* V olim erat *Σωσ. ὄν. κυρ. Σωσιφ. ὁμ. κυρ. Σοσιφά. Σωσικλέους* 2 *ἐδίδαξε* seq. haec s. fin. vitae expectasses 4 *οἱ δὲ* — exit. om. *Eud.* 5 *ρκα'* — *ρκδ'* corr. *Clinton* III p. 5, sed causam erroris perspexit *Rohde,* Mus. Rhen. XXXIII p. 219 not., unde ab ipso Suida vel a lectore verba ineptissima adscripta esse suspicor

DCCLXVI om. *Westerm.* Mutilam esse vitam suspicor. *Σωτᾶς Βυζάντιος* apud *Tzetz.* Lyc. 1350 legi monuit *Bernhardy*; laudatur etiam ex Ptolem. Chenno (cf. Hercher p. 23) 7 de Arist. v. *Müller* IV p. 329 not.

DCCLXVII Tractat Meineke I p. 426, qui comoedias eius affert infra Sot. Maronitae a Suida datas (cf. Athen. VII p. 293)

DCCLXVIII *Eud.* p. 657. De locutione cf. v. *Πολυκράτης* 12 *βιβλία τρία Eud.*

DCCLXIX *Eud.* p. 646. Cf. Strabo XIV p. 648. Tractant Clinton III p. 500, Sommerbrodt l. c. p. 11 13 *ἢ* post *Κρής* supplevit *Westerm.*, quo de vitio cf. v. *Ἄψυρτος*; *Μαρωνίτης* V et Athen. XIV p. 620, sed cf. Steph. Byz. v. *Μαρώνεια*; *δαιμονισθείς* corruptum est, cum vix „maledicentia furiosus“ significare queat. An *καταλειφθείς* (cf. Diog. IX, 109)? *δαιμόνιός τις* coni. *Gutschmid* *Μαρ. δὲ νομισθεὶς Rohde* 14 *βλύακας* V 15 *ἐχρήσαντο*? 17 *Πύρης* scripsi cum *Athenaeo* *Πύρρος vulg.* Cf. Meineke, Anal. p. 245 seq. *Θεοδωρίδας* corr. *Toupius* *Θεόδωρος* V *Θεοδώρας vulg. Eud.* *Τιμοχαρίδας* suspectum; an *Τιμοχάρης* aut *Τιμόχαρις*? 18 *Ξέναρχος* Sophronis nempe filius

βασις, Πρίηπος, εἰς Βελεστίχην, Ἀμαζών, καὶ ἕτερα. |*καὶ Ἐγκλειόμεναι καὶ Παραλυτρούμενος, ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς*|.

DCCLXX. *Σωτηρίδας γραμματικός, ἀνὴρ Παμφίλης, ᾗ καὶ τὰς ἱστορίας περιῆψεν. ἔγραψεν ὀρθογραφίαν, ζητήσεις Ὁμηρικάς, ὑπόμνημα εἰς Μένανδρον, περὶ μέτρων, περὶ κωμῳδίας, εἰς Εὐριπίδην.*

DCCLXXI. [*Σωτηρίδας Ἐπιδαύριος, πατὴρ Παμφίλης, ᾗ τὰ ὑπομνήματα ἐπέγραψεν, (ὡς ὁ Διονύσιος ἐν λ' τῆς μουσικῆς ἱστορίας), βιβλία γ'.*]

DCCLXXII. *Σωτήριχος Ὀασίτης ἐποποιός, γεγονὼς ἐπὶ Διοκλητιανοῦ. ἐγκώμιον εἰς Διοκλητιανόν, Βασσαρικὰ ἤτοι Διονυσιακὰ βιβλία δ', τὰ κατὰ Πάνθειαν τὴν Βαβυλωνίαν, τὰ κατὰ Ἀριάδνην, βίον Ἀπολλωνίου τοῦ Τυανέως, Πύθωνα ἢ Ἀλεξανδριακόν (ἔστι δὲ ἱστορία Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅτε Θήβας παρέλαβε) καὶ ἄλλα.*

DCCLXXIII. *Σώφιλος* [*ὄνομα κύριον*] *Σικυώνιος ἢ Θηβαῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. δράματα αὐτοῦ Κιθαρῳδός, Φύλαρχος, Τυνδάρεως ἢ Λήδα καὶ Δηλία, ὡς ⟨δέ⟩ φησιν Ἀθήναιος, καὶ Ἐγχειρίδιον καὶ Παρακαταθήκη.*

---

1 *Βελιστίχην Pausan.* V, 8, 11 et *Athen.* XIII p. 576 *Βελεστίχην vulg. Eud. Βελετίσχην* **V** verba *καὶ* — exit. ad poetam comicum spectant, cuius vitae verba adiunxit *Meineke.* Cf. v. *Σωτ. Ἀθ.* 2 *ὡς* — exit. om. *Eud.*

DCCLXX *Eud.* p. 650. Cf. v. *Παμφίλη*. Tractat Daub, Stud. p. 119 4 *Σωκρατίδας* corr. *Gutschmid* 5 *ᾧ* — *περιῆψαν* (vel *περιῆψεν*) *Daub* coll. v. *Παμφίλη* de libro *ζητήσεις* cf. schol. Il. IV, 412 6 *ὑπόμνημα εἰς Ὅμηρον καὶ Μεν. Eud.*, nomen Homeri ab ipsa additum esse aut in Suidae libris ob literarum aequalitatem intercidisse putat *Daub,* de Viol. p. 6; de Menandro v. *Meineke*, praef. Men. p. XXXIV 6 fort. intp. ante *περὶ* del. *ὑπόμνημα εἰς Εὐρ.* — *καὶ περὶ κωμ.* rectius *Eud.*

DCCLXXI om. *Westerm.* 9 *ᾗ vulg. ἧς* **AV** *ἐπεγρ. Par. ἔγρ. vulg.* quod laudat *Daub ὑπεγρ.* **VE** *ὡς* — *ἱστορίας* ex vita Pamphilae misere repetita et inde totam glossam ortam esse docuit *Daub,* de Suid. p. 411 not. 10 *λγ'* ex v. *Παμφ.* corrigas

DCCLXXII *Eud.* p. 646. Cf. Düntzer, Ep. fr. II p. 107 11 *Ὀασίτης* corr. *Pearson.* coll. Steph. Byz. v. *Ὕασις, ὀασίτης* vel *ὁ ἀσίτης* libri *Eud.* 12 de libro *Βασσαρικά* cf. Rohde, Gr. Roman p. 131 not. 2 15 de Pythone cf. Müller, Pseudocall. p. XXIV 16 *κατέλαβε Daub*

DCCLXXIII *Eud.* p. 647. Tractat Meineke I p. 425 seq. Hesychio abiudicavit *Daub,* de Suid. p. 484 17 verba seclusa ad glossam grammaticam spectant; om. *Eud.* 19 *Φίλαρχος* pars libr. et *Eud.* Athen. III p. 100, *Φύλαρχος* **ABV** et edd. Athen. ante Dindorfium *Δηλία* ex

DCCLXXIV. *Σώφρων Συρακούσιος, Ἀγαθοκλέους καὶ Δαμνασυλλίδος.* τοῖς δὲ χρόνοις ἦν κατὰ Ξέρξην καὶ Εὐριπίδην, καὶ ἔγραψε μίμους ἀνδρείους καὶ μίμους γυναικείους. εἰσὶ δὲ καταλογάδην, διαλέκτῳ Δωρίδι. καί φασι Πλάτωνα τὸν φιλόσοφον ἀεὶ αὐτοῖς ἐντυγχάνειν, ὡς καὶ καθεύδειν ἐπ' αὐτῶν ἔσθ' ὅτε.

DCCLXXV. [*Σώφρων κωμικός.* τούτου ἐστὶ δράματα καὶ κωμῳδία Πενθερά, ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς.]

DCCLXXVI. *Ταῦρος Βηρύτιος,* φιλόσοφος Πλατωνικός, γεγονὼς ἐπὶ Ἀντωνίνου τοῦ Εὐσεβοῦς. ἔγραψε περὶ τῆς τῶν δογμάτων διαφορᾶς Πλάτωνος καὶ Ἀριστοτέλους, περὶ σωμάτων καὶ ἀσωμάτων καὶ ἄλλα πλεῖστα.

DCCLXXVII. *Τελέσιλλα* ... ποιήτρια ... [ἐπὶ στήλης τὰ μὲν βιβλία ἀπέρριπται, κράνος δὲ τῇ κεφαλῇ περιέθηκε. καὶ γὰρ ὅτε Λακεδαιμόνιοι τοὺς ἐν τῷ ἱερῷ τοῦ Ἄργου καταφυγόντας διέφθειρον καὶ πρὸς τὴν πόλιν ᾔεσαν ὡς αἱρήσοντες, τότε Τελέσιλλα τὰς ἐν ἡλικίᾳ γυναῖκας ὁπλίσασα ὑπήντησεν οἳ προσῄεσαν. ὅπερ ἰδόντες οἱ Λακεδαιμόνιοι εἰς τοὐπίσω ὑπέστρεψαν, αἰσχρὸν νομίσαντες γυναιξὶ πολεμεῖν, ἃς καὶ τὸ νικᾶν ἄδοξον καὶ ἡττᾶσθαι μέγα ὄνειδος. ἐς τοῦτο καὶ ὁ χρησμὸς πεπλήρωτο Ἀργείοις λέγων 'ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρρενα νικήσασα ἐξελάσῃ καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται, πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει'].

DCCLXXVIII. *Τελέστης κωμικός.* τούτου δράματά

Par. Kusterus Δημία *vulg.* et *Eud.* ὡς — Ἀθ. om. *Eud.* ὡς δέ φησιν Ἀθ. coni. *Rohde,* καί, ὥς φησιν Ἀθ., Ἐγχ. *Daub* 20 χοιρίδιον vett. edd. *Eud.* χειρίδιον **ABVE** verum dedit *Athenaeus* Παρακαταθήκη ex Athen. XIV p. 640 *Kusterus* Παραθήκη *vulg. Eud.* Ceterum cf. Athen. III p. 123 et 125, IV p. 228, X p. 431 4 καί seq. susp.

DCCLXXIV Descripsit *Pseudo-Hesych.* c. 62, qui om. καὶ Δαμν. — Εὐρ. 3 ἔγραψε καταλ. *Hesych.*

DCCLXXV Male hunc Sophronem ab antecedenti distinxit Suidas, quem fefellit titulus ab Athen. III p. 110 servatus 7 δρᾶμα καὶ κωμῳδία *Kusterus* κωμῳδία **BE** κωμῳδίαι *vulg.*

DCCLXXVI De eo cf. Gell. I, 26; XII, 5; XVII, 8 9 Τύριος sec. Philostr. Vit. II, 1 (p. 243 K.), quode cf. Hertz, Annal. phil. 1881 p. 287 10 περὶ — Ἀριστοτέλους om. **V** 11 commentarium in Gorgiam Platonis memoravit Gell. VI, 14

DCCLXXVII Initium vitae fortasse Hesychio debetur. Reliqua omisit Suidas addens narratiunculam ex Pausan. II, 20

DCCLXXVIII Tractat Meineke I p. 527, qui manifestum Suidae errorem aperuit; cf. Athen. XIV p. 616 et 617. Dithyramborum enim

ἐστιν Ἀργὼ καὶ Ἀσκληπιός, ὥς φησιν Ἀθήναιος ἐν τῷ ιδ′ τῶν Δειπνοσοφιστῶν.

DCCLXXIX. *Τέρπανδρος Ἀρναῖος, ἢ Λέσβιος ἀπὸ Ἀντίσσης, ἢ Κυμαῖος (οἱ δὲ καὶ ἀπόγονον Ἡσιόδου ἀνέγραψαν, ἄλλοι δὲ Ὁμήρου, Βοίου λέγοντες αὐτὸν τοῦ Φωκέως τοῦ Εὐρυφῶντος τοῦ Ὁμήρου), λυρικός, ὃς πρῶτος ἑπτὰ χορδῶν ἐποίησε τὴν λύραν, καὶ νόμους λυρικοὺς πρῶτος ἔγραψεν, εἰ καί τινες Φιλάμμωνα θέλουσι γεγραφέναι.*

DCCLXXX. *Τεῦκρος ὁ Κυζικηνὸς |ὁ γράψας περὶ χρυσοφόρου γῆς|, περὶ τοῦ Βυζαντίου, Μιθριδατικῶν πράξεων βιβλία ε′, περὶ Τύρου ε′, Ἀραβικῶν ε′, Ἰουδαϊκὴν ἱστορίαν ἐν βιβλίοις ς′, ἐφήβων τῶν ἐν Κυζίκῳ ἄσκησιν γ′, καὶ ⟨τὰ⟩ λοιπά.*

DCCLXXXI. *Τηλαύγης Σάμιος, Πυθαγόρου τοῦ πάνυ υἱὸς καὶ μαθητής, φιλόσοφος, διδάσκαλος Ἐμπεδοκλέους. ἔγραψε περὶ τῆς τετρακτύος βιβλία δ′.*

DCCLXXXII. *Τηλεκλείδης Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἀμφικτύονες καὶ Πρυτάνεις καὶ Στερροί, ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφισταῖς.*

DCCLXXXIII. *Τήλεφος Περγαμηνὸς γραμματικός. ἔγραψε καὶ αὐτός, ἐν οἷς παρατίθεται πόσα χρὴ εἰδέναι τὸν*

---

poetam fuisse constat (cf. XIV p. 637). Cf. Bergk, Poet. Lyr. p. 1274 seq. 1 *δ′ vulg. ιδ′* **ABVE** corr. *Kusterus* et *Reinesius*

DCCLXXIX Cf. Steph. Byz. v. *Ἄντισσα*, et quae dixit Rohde, Mus. Rhen. XXXIV p. 568 6 de *Εὐρ.* cf. v. *Ὅμηρος*, ubi *Ἐριφῶν* codd. 6 *ἑπτὰ χορδῶν* **AV** *ἑπτάχορδον* rel. 8 *Φιλάμμονα* **A** *Φιλάμμωνα* **BVE**. Cf. v. *Θάμυρις* et Suid. v. *Φιλάμμων*: — *ὃν ᾄδουσι Θαμύρου τοῦ Θρᾳκὸς πατέρα γενέσθαι*

DCCLXXX Tractat Müller IV p. 508. Pompeii tempore eum vixisse docuit Gutschmid, Zeitsch. d. D. Morg. Ges. XV p. 105 9 *περὶ χρυσ. γῆς* Teucro Babylonio (quem laudat *Westermann*, Paradox. p. 147) dedit *Gutschmid* 11 *Ἰουδ. ἱστορίαν* potius *Χαλδαϊκὴν* fuisse improbabiliter suspicatur *Müller* 12 *καὶ τὰ λοιπά* **V** *καὶ λοιπά vulg.*

DCCLXXXI Cf. v. *Θεανὼ Κρῆσσα*. Cf. Diog. VIII, 43; Athen. V p. 220 16 At Diogenes: *σύγγραμμα δὲ φέρεται τοῦ Τηλαύγους οὐδέν, τῆς δὲ μητρὸς αὐτοῦ Θεανοῦς τινα*

DCCLXXXII Tractat Meineke I p. 86 seq. De vita dixit Daub, de Suid. p. 482. Cf. Athen. IX p. 399, XIV p. 639, 648, 656.

DCCLXXXIII Cf. v. *Φιλητᾶς*, ubi alter Telephus laudatur, Alexandri Magni aequalis. De hoc Telepho, Hadriani aequale, cf. Müller III p. 634, Daub, Stud. p. 120 21 *ἔγραψε καὶ αὐτὸς* post *τὸν γραμματικὸν* habet **V** *καὶ αὐτὸς* susp. *Kustero*, eorum vicem *κανόνας* coni. *Hemsterhusius*,

γραμματικόν. περὶ τῶν παρ' Ὁμήρῳ σχημάτων ῥητορικῶν βιβλία β', περὶ συντάξεως λόγου Ἀττικοῦ βιβλία ε', περὶ τῆς καθ' Ὅμηρον ῥητορικῆς, περὶ τῆς Ὁμήρου καὶ Πλάτωνος συμφωνίας, ποικίλης φιλομαθείας βιβλία β', βίους τραγικῶν καὶ κωμικῶν, βιβλιακῆς ἐμπειρίας βιβλία γ', ἐν οἷς διδάσκει τὰ κτήσεως ἄξια βιβλία (ὅτι μόνος Ὅμηρος τῶν ἀρχαίων ἑλληνίζει), περιήγησιν Περγάμου, περὶ τοῦ ἐν Περγάμῳ Σεβαστίου βιβλία β', περὶ τῶν Ἀθήνησι δικαστηρίων, περὶ τῶν Ἀθήνησι νόμων καὶ ἐθῶν, περὶ τῶν Περγάμου βασιλέων βιβλία ε', περὶ χρήσεως ἤτοι ὀνομάτων ἐσθῆτος καὶ τῶν ἄλλων οἷς χρώμεθα (ἔστι δὲ κατὰ στοιχεῖον), περὶ τῆς Ὀδυσσέως πλάνης, ὠκυτόκιον (ἔστι δὲ συναγωγὴ ἐπιθέτων εἰς τὸ αὐτὸ πρᾶγμα ἁρμοζόντων, πρὸς ἕτοιμον εὐπορίαν φράσεως) βιβλία ι'.

DCCLXXXIV. Τιβέριος φιλόσοφος καὶ σοφιστής. περὶ ἰδεῶν λόγου βιβλία γ', περὶ παρασκευῆς, περὶ μεταποιήσεως, περὶ ἱστορίας, περὶ λόγου τάξεως καὶ συνθέσεως, περὶ διαιρέσεως λόγου, περὶ μεταβολῆς λόγου πολιτικοῦ, περὶ λόγων ἐπιδεικτικῶν, περὶ προλαλιῶν καὶ προοιμίων, περὶ ἐπιχειρημάτων, περὶ Δημοσθένους καὶ Ξενοφῶντος, περὶ Ἡροδότου καὶ Θουκυδίδου.

DCCLXXXV. Τιμαγένης βασιλικοῦ ἀργυραμοιβοῦ υἱός, Ἀλεξανδρεύς, ὡς δέ τινες, Αἰγύπτιος, ῥήτωρ, ὃς ἐπὶ Πομπηίου τοῦ μεγάλου αἰχμάλωτος ἀχθεὶς ἐν Ῥώμῃ ὑπὸ τοῦ Γαβινίου ἐξωνήθη ὑπὸ Φαύστου τοῦ υἱοῦ Σύλλου καὶ ἐσο-

---

qui etiam ante ἐν οἷς nonnulla excidisse opinatus est; ἐγρ. κ. αὐτ. Γραμματικόν, βιβλία ** ἐν οἷς vel Γραμματικὸν ἔγρ. καὶ αὐτὸς γραμματικός *Müller* coll. schol. Il. X, 545, καὶ αὐτὸς γραμματικά, ἐν οἷς *Daub* 4 φιλομαθείας A φιλομαθίας *vulg.* 5 Hoc opus Telephi ab ipso Hesychio in describendis vitis adhibitum esse suspicatur *Daub,* de Suid. p. 437 6 ὅτι AV καὶ ὡς *vulg.* 11 κατὰ στοιχεῖον post πλάνης habet V 12 ὠκυτόκιον — exit. in marg. habet V, in cuius textu leguntur haec: ὠκυτόκιον τηλέφου. τοῦτο δέ ἐστιν ἄξιον καὶ κτήσεως πρὸς εὐπορίαν φράσεως καὶ ἐράσμιον

DCCLXXXIV 15 φιλόλογος coni. *Hemsterhusius* 17 περὶ συνθ. V 18 ποιητικοῦ V 20 περὶ Ἡρ. — exit. om. V. Ceterum ab indice unum abesse libellum nobis servatum περὶ τῶν παρὰ Δημοσθένει σχημάτων monuit *Bernhardy*

DCCLXXXV Cf. Daub, Stud. p. 72. De eius morte cf. Suidas v. σφηνωθείς 23 ῥήτωρ post Ἀλ. libri 24 αἰχμάλωτος: cf. Wachsmuth, Symb. p. 142 25 Σύλον VM

φίστευσεν ἐν Ῥώμῃ ἐπί τε αὐτοῦ Πομπηίου καὶ μετ' αὐτόν, ἐπί τε Καίσαρος τοῦ Αὐγούστου καὶ μετέπειτα ἅμα Καικιλίῳ. ἐκπεσὼν δὲ τῆς σχολῆς διὰ τὸ παρρησιαστὴς εἶναι ἐν ἀγρῷ διῆγε, Τουσκλάνῳ λεγομένῳ. ἐτελεύτησε δὲ ἐν Ἀλβάνῳ, ἐμέσαι βουληθεὶς καὶ σφηνωθείς. βιβλία δὲ ἔγραψε πολλά.

DCCLXXXVI. *Τιμαγένης* ἱστορικός. περίπλουν πάσης θαλάσσης ἐν βιβλίοις ε'.

DCCLXXXVII. *Τιμαγένης* ἢ Τιμογένης Μιλήσιος ἱστορικὸς | καὶ ῥήτωρ |· περὶ Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ καὶ τῶν ἐξ αὐτῆς λογίων ἀνδρῶν βιβλία γ' | καὶ ἐπιστολάς. |

DCCLXXXVIII. ⟨*Τιμοχάρης*⟩ ... ἔγραψε περὶ Συρίας καὶ τῶν ἐν αὐτῇ πόλεων καὶ βασιλέων βιβλία γ'.

DCCLXXXIX. *Τίμαιος* Ἀνδρομάχου Ταυρομενείτης, Φιλίσκου μαθητὴς τοῦ Μιλησίου, ὃν Ἀθηναῖοι Ἐπιτίμαιον ὠνόμασαν (παρωνόμαστο δὲ τοῦτο διὰ τὸ πολλὰ ἐπιτιμᾶν, καὶ Γραοσυλλέκτρια δὲ διὰ τὸ τὰ τυχόντα ἀναγράφειν). ἔγραψεν Ἰταλικὰ καὶ Σικελικὰ ἐν βιβλίοις λη', [Ἑλληνικὰ καὶ

---

2 *Καίσαρος Γαΐου Ἰουλίου καὶ μετέπειτα Αὐγούστου Reinesius*, *Κ. καὶ μετ. κ. τοῦ Αὐγούστου Gutschmid καὶ* expunxit *Bernhardy*, *καὶ μετέπειτα* post *Καικιλίῳ* transposuit *Daub*   *σύναμα vulg.* *ἅμα* **ABV** *Κιλίῳ* **A**. Successorem Tim. fuisse Polionem docet *Suidas* v. *Πωλίων*   4 *τοῦ Σκλάνω* **A**   *καὶ ἐτελ. δὲ Westerm.* *Ἀλβάνῳ* corr. *Hemsterhusius* coll. Sueton. Domit. 4 (et Casaubonus ad loc.) al. *Δαβάνῳ* libri

DCCLXXXVI Hunc ab in sequenti historico non diversum esse statuit *Müller* III p. 317, ab Alexandrino certissime diversum *Gutschmid*   7 *γ'* **ABE** *ε'* rel.

DCCLXXXVII Cf. Müller l. c.   8 de nominum discrimine cf. v. *Φανίας* al.   9 *καὶ ῥήτωρ* ex rhetoris vita illapsum, ad quem etiam *καὶ ἐπιστολάς* spectant; cf. v. *Ὀνάσιμος*. Ceterum cum hic auctor Heracleae versatus esse videatur, *Müller* eundem esse opinatur, quem laudat Suidas (v. *Δημοσθ. Θρᾷξ*) *Δαμαγήτου τοῦ Ἡρακλεώτου*, ut *Τιμάγητος* verum nomen fuerit. Idem etiam *μεταβολάς* pro *ἐπιστολάς* dubitanter proposuit epitomen Demosthenis Thracis respiciens, quod vix probaveris

DCCLXXXVIII Haec vita Suidae glossae *Τιμ. ὁ ἱστ.* subiuncta, certe Hesychiana est, quamquam auctoris nomen in libris desideratur. Timaeum non esse viderunt editores. *Τιμοχάρης* ingeniose supplevit *Gutschmid* (coll. Euseb. Praep. ev. 9, 35; cf. Müller III p. 228), de Timagene Syro cogitat *Daub*, Stud. p. 21, coll. Pseud. Plut. de fluv. 6   12 *ἐν αὐτῇ* **A** *αὐτῆς* rel.

DCCLXXXIX Tractant Müller I p. XLIX; Beloch, Annal. phil. 1881 p. 697; Kothe, de Tim. (Vrat. 1874); Daub, Stud. p. 19 seq. Cf. v. *Φιλίσκος Μιλ.*   13 sic **ABV**   *Ταυρομενίτης vulg.*   14 *Ἀθηναῖοι* absurdum est; auctor cognominis traditur Ister Callimacheus apud Athen. VI p. 272 *Ἀθήναιος — ὠνόμασε Daub*. Ceterum verba *ὃν — ὠνόμασαν* male a sequentibus distracta et in codd. post *Ταυρομενείτης* posita ad genuinum locum reduxi   15 haec compilavit *Pseudo-Hesych.* c. 64   17 *λη' Gutschmid*

Σικελικά,] |*συλλογὴν ῥητορικῶν ἀφορμῶν βιβλία ξη'*|, *ὀλυμπιονίκας ἤτοι χρονικὰ πραξίδια*.

DCCXC. *Τίμαιος Λοκρός*, *φιλόσοφος Πυθαγόρειος. μαθηματικά*, *περὶ φύσεως*, *περὶ τοῦ Πυθαγόρου βίου*.

DCCXCI. *Τιμησίθεος τραγικός*. *δράματα αὐτοῦ Δαναΐδες β'*, *Ἕκτορος λύτρα*, *Ἡρακλῆς*, *Ἰξίων*, *Καπανεύς*, *Μέμνων β'*, *Μνηστῆρες*, *Ζηνὸς γοναί*, *Ἑλένης ἀπαίτησις*, *Ὀρέστης* ⟨*καὶ*⟩ *Πυλάδης*, *Κάστωρ καὶ Πολυδεύκης*.

DCCXCII. *Τιμόθεος Ἀθηναῖος*, *κωμικὸς τῆς μέσης κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἦν Πύκτης*, *Παρακαταθήκη*, *Μεταβαλλόμενος ἢ Μεταφερόμενος*. [*καὶ Κυνάριον Τιμοθέου δρᾶμα*, *ὥς φησιν Ἀθήναιος ἐν τοῖς αὐτοῦ*.]

DCCXCIII. *Τιμόθεος Θερσάνδρου ἢ Νεομούσου ἢ Φιλοπόλιδος*, *Μιλήσιος*, *λυρικός*, *ὃς τὴν δεκάτην καὶ ἐνδεκάτην χορδὴν προσέθηκε*, *καὶ τὴν ἀρχαίαν μουσικὴν ἐπὶ τὸ μαλακώτερον μετήγαγεν. ἦν δὲ ἐπὶ τῶν Εὐριπίδου χρόνων τοῦ τραγικοῦ*, *καθ' οὓς καὶ Φίλιππος ὁ Μακεδὼν ἐβασίλευεν*, *καὶ ἐτελεύτησεν ἐτῶν* ⟨*ὢν*⟩ *ϟζ'*, *γράψας δι' ἐπῶν νόμους μουσικοὺς*

η' vulg. Hoc opus non diversum esse ab antecedenti monuit *Müller*, cum pleniorem titulum fuisse putat *Ἑλλήνων τῶν κατὰ Ἰταλίαν καὶ Σικελίαν ἱστορίαι* 1 *συλλογὴν* — *ξη'* rhetori tribuit *Ruhnkenius* 2 *ἤτοι* **ABVE** *ἢ vulg.* his adiungit *Suidas* aliqua deprompta ex Polybio et Diodoro

DCCXC Cf. schol. Platon. VI p. 364 *Τίμαιος ἐκ Λοκρῶν τῶν Ἐπιζεφυρίων*, *τῆς ἐν Ἰταλίᾳ πόλεως*, *φιλόσοφος Πυθαγόρειος. ἔγραψε μαθηματικά τε καὶ περὶ φύσεως σύγγραμμα*, *τὸν Πυθαγορικὸν τρόπον*, quae ex Hesychio fluxisse patet, quamquam dissentit *Mettauer* p. 59. Eiusdem meminit Diog. VIII, 85

DCCXCI Tractant Kayser, hist. trag. p. 327, Welcker, Gr. Trag. p. 1046 7 *β' μνηστῆρες* **A** *α' μνηστῆρες* **V** *Ἑλένης μνηστῆρες* eleganter coni. *Meineke* I p. 391 coll. *Ἑλένης ἁρπαγή* apud Priscian. XVIII p. 205; *Ζηνὸς γοναὶ* comico T. dat *Gutschmid*; *Ὀρέστης καὶ Πυλάδης* corr. *Meineke*, *καὶ* om. libri

DCCXCII Tractat Meineke I p. 428 11 *καὶ* — exit. ex *Athen.* VI p. 243 add. Suidas: cf. Daub, de Suid. p. 484 12 *τοῖς αὐτοῖς αὐτοῦ* **AV** *τοῖς αὐτοῦ* rel.

DCCXCIII Cf. Steph. Byz. v. *Μίλητος*: *Τιμ. κιθαρῳδός*, *ὃς ἐποίησε νόμων κιθαρῳδικῶν βίβλους ὀκτωκαίδεκα*, *εἰς ἐπῶν ὀκτακισχιλίων τὸν ἀριθμὸν καὶ προνόμια ἄλλων χιλίων* (*Salmasius* pro *χίλια*), quem eodem indice usum esse vidit *Rohde*, Mus. Rhen. XXXIV p. 572; idem duos indices Suidam conflasse suspicatus est 13 sic **BV** *Νεομύσου vulg.* 17 *Ἀρχέλαος Reinesius*, cui adversatur *Rohde*, Mus. Rhen. XXXIII p. 192 not. Nunc (ib. XXXIV p. 573) *Rohde* de altero Timotheo cogitat, qui Philippi Alexandrique temporibus vixit. Elegantius et simplicius coni.

ιθ′, προοίμια λς′, Ἄρτεμιν, διασκευὰς η′, ἐγκώμια, Πέρσας ἢ Ναύπλιον, Φινείδας, Λαέρτην, διθυράμβους ιη′, ὕμνους κα′ καὶ ἄλλα τινά.

DCCXCIV. *Τιμόθεος* Γαζαῖος γραμματικός, γεγονὼς ἐπὶ Ἀναστασίου βασιλέως, εἰς ὃν καὶ τραγῳδίαν ἐποίησε περὶ τοῦ δημοσίου τοῦ καλουμένου χρυσαργύρου. ἔγραψε δὲ καὶ ἐπικῶς περὶ ζῴων τετραπόδων [θηρίων] τῶν παρ' Ἰνδοῖς καὶ Ἄραψι καὶ Αἰγυπτίοις καὶ ὅσα τρέφει Λιβύη, καὶ περὶ ὀρνέων ξένων τε καὶ ἀλλοκότων καὶ ὄφεων βιβλία δ′.

DCCXCV. *Τιμοκλῆς* Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Δημοσάτυροι, Κένταυρος, Καύνιοι, Ἐπιστολαί, Ἐπιχαιρέκακος, Φιλοδικαστής, Πύκτης, ὥς φησιν Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

DCCXCVI. *Τιμοκλῆς* ἕτερος, καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Διονυσιάζουσαι, Πολυπράγμων, Ἰκάριοι, Δῆλος, Λήθη, Διόνυσος, Κονίσαλος, Πορφύρα, ἥτις καὶ δοκεῖ Ξενάρχου εἶναι, Ἥρωες, Δρακόντιον, Νέαιρα (ἑταίρας δὲ ὄνομά ἐστιν ἡ Νέαιρα), Ὀρέστης, Μαραθώνιοι καὶ ἄλλα.

DCCXCVII. *Τιμοκρέων* Ῥόδιος, [κωμικὸς καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας]. διεφέρετο δὲ πρὸς Σιμωνίδην τὸν τῶν μελῶν ποιητὴν καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, εἰς ὃν

Wachsmuth καὶ καθ' οὓς apud *Daub.* de Suid. p. 429 not. („fuit Eur. aequalis T., sed vixit etiam regnante Philippo") 18 ὧν add. *Daub* 1 προνόμια ex Steph. Byz. v. Μίλητος *Reinesius*; utrumque idem esse manifestum 2 Ναύπλειον V Ναυτίλον ex Athen. VIII p. 338 *Kusterus*, ubi ex Suidae lexico Ναυπλίῳ corr. *Casaubonus*. Cf. Schmidt, diatribe de Dithyr. p. 12 Ναυτίλον revocavit *Bergk*, Poet. Lyr. p. 1268 sed scripto Πέρσας, Ναυτίλον ἢ Ναύπλιον

DCCXCIV Cf. Tzetzes Chil. IV, 128, schol. antiq. Holstenii ad Steph. Byz. v. Γάζα 5 τραγῳδίαν claudicare patet; an Byzantinorum more dictum? Cf. Cedren. I p. 627 Bonn. 7 καὶ θηρίων *vulg.* καὶ om. **AVE** θηρ. glossema esse apparet

DCCXCV—DCCXCVI Tractat Meineke I p. 428 seq. Hesychio abiudicavit *Daub*, de Suid. p. 483. Errantem Suidam duos poëtas comicos distinxisse monuerunt *Meursius Kusterus Schweighaeuser*: cf. etiam Bergk, Graec. Lit. I p. 294 n. 54; Rohde, Mus. Rhen. XXXIII p. 214; ceterum v. Athen. IV p. 165, VI p. 240, 241, 243, 245, 246, VI p. 223, VIII p. 339, 341, 342, IX p. 407, X p. 430 et 431, VII p. 319, VI p. 244, X p. 455, VI p. 237, XIII p. 561, 567, 570

DCCXCVII Cf. Diog. II, 46. Tractat Clinton p. 39 Kr., qui recte perspexit κωμικός erratum esse pro μελοποιός coll. Plut. Themist. 21 19 κωμικός — κωμῳδίας intrusa esse suspicor, postquam Suidas vel

ἐξύφανε ψόγον δι' ἐμμελοῦς τινος ποιήματος. ἔγραψε δὲ [κωμῳδίαν εἴς τε τὸν αὐτὸν Θεμιστοκλέα καὶ εἰς Σιμωνίδην τὸν μελοποιόν] καὶ ἄλλα.

DCCXCVIII. *Τιμόλαος* Λαρισαῖος ἐκ Μακεδονίας, ῥήτωρ, Ἀναξιμένους τοῦ Λαμψακηνοῦ μαθητής, ὃς καὶ ποιητικῶς ἔχων παρενέβαλε τῇ Ἰλιάδι στίχον πρὸς στίχον καὶ ἐπέγραψε τὸ σύνταγμα Τρωικά. 'μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος, ἣν ἔθετο Χρύσου κεχολωμένος εἵνεκα κούρης, οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε μαρναμένοις, ὅτε Τρωσὶν ἄτερ πολέμιζον ἄνακτος. πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄιδι προΐαψεν Ἕκτορος ἐν παλάμῃσι δαϊζομένων ὑπὸ δουρί'. ἔγραψε καὶ ἄλλα τινά.

DCCXCIX. *Τίμων* Φλιάσιος, καὶ αὐτὸς φιλόσοφος τῆς Πύρρωνος ἀγωγῆς, ὁ γράψας τοὺς καλουμένους Σίλλους, ἤτοι ψόγους τῶν φιλοσόφων, βιβλία γ'.

DCCC. [*Τίμων* ὁ μισάνθρωπος, καὶ αὐτὸς φιλόσοφος, ἀποστρεφόμενος πᾶσαν αἵρεσιν.]

DCCCI. *Τουσκιανός* . . . ῥήτωρ δεινότατος . . .

DCCCII. *Τράγκυλλος* ὁ Σουητόνιος χρηματίσας, γραμματικὸς Ῥωμαῖος. ἔγραψε περὶ τῶν παρ' Ἕλλησι παιδιῶν βιβλίον α', περὶ τῶν παρὰ Ῥωμαίοις θεωριῶν καὶ ἀγώνων

---

lector, ut titulum efficeret, κωμῳδίαν — μελοποιόν adscripsit, quibus nil novi dicitur. Ceterum epitaphium Timocreontis ab ipso Simonide compositum adhuc extare apud Athen. X p. 412 (Anth. Pal. VII, 348) monuerunt editores

DCCXCVIII Cf. v. Ἰδαῖος et Πίγρης. Eustath. Prooem. Odyss.; Cramer, Anecd. Par. I p. 392 5 seq. narrationem compilavit *Pseudo-Hesych.* c. 65 7 Τρωικά Eustath., quod praetulit *Kusterus* Τρωικόν *vulg.* Τρωικός *Bekker*

DCCXCIX v. Πύρρων. Cf. Steph. Byz. v. Φλιοῦς; Diog. IX, 109 seq. Tractat Wachsmuth, de Tim. Phliasio p. 5 seq. 14 Diog. IX, 111 τῶν δὲ σίλλων τρία ἐστὶν seq.

DCCC om. *Westerm.* Addidit Suidas ex Diog. IX, 112, unde verba οἱ δὲ φεύγοντες (sc. τὴν φιλοσοφίαν) καθάπερ καὶ ὁ Τίμων (sc. καὶ ἕτερος Τ. ὁ μισάνθρωπος) sic mutavit ἀποστρεφόμενος πᾶσαν αἵρεσιν

DCCCI om. *Westerm.* Legitur in marg. V. Aut frustum vitae Hesychianae est, aut, quod ego suspicor, ex Suid. v. Ἀκάκιος extrema parte a lectore insertum. Cf. Eunap. I p. 72, II p. 300 Boiss.

DCCCII Cf. Suid. v. Σευητόνιος — Ῥωμαῖος, quem expunxit *Bernhardy.* Tractat Reifferscheid, Sueton. rel. p. XVIII et p. 476 seq.; cf. quae dixi Mus. Rhen. XXXVI p. 319 19 Σευητόνιος *vulg.* Σουητώνιος pars edd. 20 de παιδιῶν, quod laudavit *Eustathius* Od. p. 1397, cf. Meineke, Anal. p. 132 21 περὶ τῶν παρ' Ἑλλ. παιδ. καὶ ἀγώνων

βιβλία β', περὶ τοῦ κατὰ Ῥωμαίους ἐνιαυτοῦ βιβλίον α', περὶ τῶν ἐν τοῖς βιβλίοις σημείων α', περὶ τῆς Κικέρωνος πολιτείας α' (ἀντιλέγει δὲ τῷ Διδύμῳ), περὶ ὀνομάτων κυρίων καὶ ἰδέας ἐσθημάτων καὶ ὑποδημάτων καὶ τῶν ἄλλων οἷς τις ἀμφιέννυται, περὶ δυσφήμων λέξεων ἤτοι βλασφημιῶν καὶ πόθεν ἑκάστη, περὶ Ῥώμης καὶ τῶν ἐν αὐτῇ νομίμων καὶ ἠθῶν βιβλία β', συγγενικόν, Καισάρων (περιέχει δὲ βίους κατὰ διαδοχὰς αὐτῶν ἀπὸ Ἰουλίου ἕως Δομετιανοῦ) βιβλία η', στέμμα Ῥωμαίων ἀνδρῶν ἐπισήμων.

DCCCIII. **Τριβωνιανὸς** Μακεδονιανοῦ. ἀπὸ δικηγόρων τῶν ὑπάρχων. [οὗτος ὁ Τριβωνιανὸς Ἕλλην ὑπῆρχε καὶ ἄθεος καὶ ἀλλότριος κατὰ πάντα τῆς τῶν χριστιανῶν πίστεως, κόλαξ δὲ καὶ ἀπατεὼν καὶ πείθων Ἰουστινιανὸν τὸν βασιλέα ὡς ὅτι οὐκ ἀποθανεῖται, ἀλλ' εἰς τοὺς οὐρανοὺς μετὰ σαρκὸς ἀναληφθήσεται. ἦν δὲ κοιαίστωρ Ἰουστινιανοῦ.]

DCCCIV. **Τριβωνιανὸς** Σιδήτης, ἀπὸ δικηγόρων τῶν ὑπάρχων καὶ αὐτός, ἀνὴρ πολυμαθής. ἔγραψεν ἐπικῶς ὑπόμνημα εἰς τὸν Πτολεμαίου κανόνα, συμφωνίαν τοῦ κοσμικοῦ καὶ ἁρμονικοῦ διαθέματος, εἰς τὸν πολεύοντα καὶ διέποντα, εἰς τοὺς τῶν πλανωμένων οἴκους, καὶ διὸ ἑκάστῳ οἶκος ὁ δεῖνα, εἰς τοὺς κδ' πόδας τοὺς μετρικοὺς καὶ τοὺς κη' τοὺς ῥυθμικούς, μετάφρασιν τοῦ Ὁμηρικοῦ τῶν νεῶν καταλόγου, διάλογον Μακεδόνιον ἢ περὶ εὐδαιμονίας, [καὶ] βίον Θεοδότου

βιβλ. β', περὶ τῶν παρὰ Ῥωμ. παιδ. καὶ ἀγ. βιβλ. β' ita ut περὶ θεωριῶν casu irrepserit, sagaciter proposuit *Reiff.* p. 461 seq. 3 de rep. cf. Schmidt, Did. p. 400 κυρίων non quadrare videbatur *Rothio* et *Bernhardyo*; sed cf. Reiff. p. 453 7 post συγγενικόν interpunxit *Reifferscheid* (cf. ind. p. 563), qui contulit Ἀριστοφ. ἐν τῷ συγγενικῷ (*Nauck*, Ar. p. 130), antea συγγενικὸν Καισάρων coniunctum, στέμμα συγγ. coni. *Rothius*; cf. Cohn, Annal. Philol. Suppl. XII p. 372 καισάρωνι **V**, ubi ιβ' latere vidit *Bernhardy*, probante *Reiff.* 8 κατὰ corr. *Ritschl* laudante *Reifferscheidio* καὶ *vulg.* 9 στέμματα coni. *Bernh.*

DCCCIII om. *Westerm.* Verba seclusa non ab Hesychio profecta esse, cui fortasse ne ulla quidem vitae pars debeatur, monui Mus. Rhen. XXXV p. 223. Cf. *Pseudo-Hes.* c. 66 10 ἀπὸ δικ. cf. Wietersheim, Völkerwand. III p. 105 11 οὗτος — exit. de quaestore agi, diverso illo ab causidico praef. praet., hunc vero eundem cum Sidete; monet *Gutschmid*

DCCCIV 19 πολεύοντα **AV** *Hemsterhusius*, πολιτεύοντα rel. 23 πρὸς Μακεδόνιον *Bernhardy*, de eo epigrammatum poeta cogitans, cuius meminit v. Ἀγαθίας, cum Μακ. inscriptum fuisse dialogum pateat Θεοδοσίου mavult *Bernhardy*, scil. mathematicum, cuius vitam S. ipse supra descripsit

φιλοσόφου ἐν βιβλίοις γ', ὑπατικὸν καταλογάδην εἰς Ἰουστινιανὸν αὐτοκράτορα, βασιλικὸν εἰς τὸν αὐτόν, περὶ μηνῶν ἐναλλαγῆς ἐπικῶς.

DCCCV. *Τρυφιόδωρος Αἰγύπτιος γραμματικὸς καὶ ποιητὴς ἐπῶν. ἔγραψε Μαραθωνιακά, Ἰλίου ἅλωσιν, τὰ καθ' Ἱπποδάμειαν, Ὀδύσσειαν λειπογράμματον (ἔστι δὲ ποίημα τῶν Ὀδυσσέως καμάτων καὶ ὅσα μυθολογοῦσι περὶ αὐτοῦ) καὶ ἄλλα.*

DCCCVI. *Τρυφιόδωρος διάφορα ἔγραψε δι' ἐπῶν, παράφρασιν τῶν Ὁμήρου παραβολῶν καὶ ἄλλα πλεῖστα.*

DCCCVII. *Τρύφων Ἀμμωνίου Ἀλεξανδρεὺς γραμματικὸς |καὶ ποιητής|, γεγονὼς κατὰ τοὺς Αὐγούστου χρόνους καὶ πρότερον. περὶ πλεονασμοῦ τοῦ ἐν τῇ Αἰολίδι διαλέκτῳ βιβλία ζ', περὶ τῶν παρ' Ὁμήρῳ διαλέκτων καὶ Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ Ἀλκμᾶνι καὶ τοῖς ἄλλοις λυρικοῖς, περὶ τῆς Ἑλλήνων διαλέκτου καὶ Ἀργείων καὶ Ἱμεραίων καὶ Ῥηγίνων καὶ Δωριέων καὶ Συρακουσίων, περὶ τῆς ἐν κλίσεσιν ἀναλογίας α', περὶ τῆς ἐν εὐθείᾳ ἀναλογίας, περὶ ὀνομάτων συγκριτικῶν α', περὶ τῆς ἐν μονοσυλλάβοις ἀναλογίας, περὶ ὀνομάτων χαρακτήρων α', περὶ ῥημάτων ἀναλογίας βαρυτόνων α', περὶ ῥημάτων ἐγκλιτικῶν καὶ ἀπαρεμφάτων καὶ προστακτικῶν καὶ εὐκτικῶν καὶ ἁπλῶς πάντων, περὶ ὀρθογραφίας καὶ τῶν ἐν αὐτῇ ζητουμένων, περὶ πνευμάτων καὶ τρόπων καὶ ἄλλα.*

DCCCV Cf. *Νέστωρ Λαρανδεύς*. Post Nonnum Panopolitam eum vixisse constat. Cf. Düntzer, Ep. fr. II p. 114 5 *Ἰουλίου* V hoc carmen 691 versibus servatum extat 6 de eo cf. Eustath. Prooem. p. 1379, 54

DCCCVI ab antecedenti non diversus esse videtur 10 *περιβολῶν* V

DCCCVII Cf. *Δημήτριος Ἰξ.* Fragmenta coll. Ar. Velsen, Berol. 1853. De aetate qua vixerit (Demetrii Ixionis enim aequalem fuisse constat), cf. Rohde, Mus. Rhen. XXXIII p. 168 not. 6. Cf. etiam Daub, de Suid. p. 458 not. 48 et Stud. p. 122 11 Verba *καὶ ποιητὴς* hic sententia privata sunt; quod si recte suspicor, corr. *καὶ αὐτὸς ποιητὴς* et in alteram Tryphiodori vitam inseras, in qua tale quid desideratur; verum vidit etiam *Bernhardy*, *κατὰ τοὺς Θεοδοσίου Αὐγούστου χρ.* infeliciter *Reinesius* 14 *καὶ Πινδάρῳ* om. E 15 hos titulos perturbatos esse vidit *Bernhardy*; spectant enim *Ἱμεραίων καὶ Ῥηγίνων διαλ.* ad libros de Stesichoro et Ibyco, neque Argivorum et Syracusanorum dialectus a Doriensi distinguendae erant; *καὶ Δωρ.* ante *κ. Ἀργ.* transposuit *Gutschmid.* Ceterum de aliis Tr. scriptis v. Athen. II p. 53, IV p. 174 (ad *περὶ ὀνομασιῶν* cf. Rohde, de Polluc. p. 14 not. 2), VII p. 324, Apoll. de adv. p. 548 al. 20 de his libris v. Lange, Phil. VII p. 211 seq. 21 *ἀποτελεστικῶν* pro *ἁπλ. πάντων* *Lange*

DCCCVIII. *Τρωΐλος σοφιστής, παιδεύσας ἐν Κωνσταντίνου πόλει. λόγους πολιτικούς, ἐπιστολῶν βιβλία ζ'.*

DCCCIX. *Τυραννίων Ἐπικρατίδου καὶ Λινδίας Ἀλεξανδρίνης, Ἀμισηνός, ἐχρημάτιζε δὲ Κορύμβου, γεγονὼς ἐπὶ Πομπηΐου τοῦ μεγάλου καὶ πρότερον, μαθητὴς ἄλλων τε καὶ Ἑστιαίου τοῦ Ἀμισηνοῦ, ὑφ' οὗ καὶ Τυραννίων ὠνομάσθη ὡς κατατρέχων τῶν ὁμοσχόλων, πρότερον καλούμενος Θεόφραστος. εἶτα διήκουσε καὶ Διονυσίου τοῦ Θρᾳκὸς ἐν Ῥόδῳ. ἀντεσοφίστευσε δὲ Δημητρίῳ τῷ Ἐρυθραίῳ. ἤχθη δὲ εἰς Ῥώμην ληφθεὶς αἰχμάλωτος ὑπὸ Λουκούλλου, ὅτε κατεπολέμησε Μιθριδάτην τὸν Πόντου βασιλεύσαντα. διαπρεπὴς δὲ γενόμενος ἐν Ῥώμῃ καὶ πλούσιος ἐκτήσατο καὶ βιβλίων ὑπὲρ τὰς τρεῖς μυριάδας. ἐτελεύτησε δὲ γηραιός, ὑπὸ ποδάγρας παραλυθείς, ὀλυμπιάδι ρπη', ἐν τῷ γ' ἔτει τῆς ὀλυμπιάδος.*

DCCCX. *Τυραννίων ὁ νεώτερος, Φοῖνιξ, πατρὸς Ἀρτεμιδώρου, μαθητὴς Τυραννίωνος τοῦ πρεσβυτέρου, διὸ καὶ ὠνομάσθη Τυραννίων, πρότερον καλούμενος Διοκλῆς. αἰχμάλωτος δὲ γενόμενος καὶ αὐτὸς ἐπὶ τοῦ πολέμου Ἀντωνίου καὶ Καίσαρος ὑπό τινος Δύμαντος ὠνήθη, τοῦ Καίσαρος ὄντος ἀπελευθέρου, εἶτα ἐδωρήθη Τερεντίᾳ τῇ τοῦ Κικέρωνος γυναικί. ἐλευθερωθεὶς δὲ ὑπ' αὐτῆς ἐσοφίστευσεν ἐν Ῥώμῃ καὶ ἔγραψε βιβλία πρὸς η' καὶ ξ', ὧν καὶ ταῦτα· περὶ τῆς Ὁμηρικῆς προσῳδίας, περὶ τῶν μερῶν τοῦ λόγου (ἐν ᾧ*

DCCCVIII Eiusdem meminit Socrates, Hist. eccl. VI, 6 et VII, 1 et 27, fortasse Synes. ep. 26, 73, 90, 128 al. De eius aetate cf. Müller, fr. hist. IV p. 4; erravit enim Codinus, de orig. Const. p. 18 Bonn., qui eum Constantini Magni aequalem fuisse tradidit

DCCCIX Cf. Clinton III p. 165; Planer, de Tyrann. gramm. (Ber. 1852); Daub, Stud. p. 102. De aetate consulas Diels, Doxogr. p. 216 not. 3. Pauca excerpsit *Pseudo-Hesych.* c. 68 4 *Ἐμισηνός Hesych.* *Ἀμινσηνός* **BE** *Κόρυμβος* maluit *Toupius* 5 *πρότερον* **A** 9 Cf. v. *Διον. Θρᾷξ* de Demetrio cf. Müller IV p. 381; Amisum a. 684 a. u. expugnatam esse constat; ceterum v. Wachsmuth, Symb. p. 142 11 post *βασιλεύσαντα* olim add. fuisse *εἶτα ἠφείθη διὰ τὴν παίδευσιν* *Daub* coll. v. *Ἀλ. Μιλ.*, *Παρθέν.*, *Τυρ. Φοῖνιξ* 14 *ρπ' Kusterus*, *ριη'* **ABVE**, quode cf. Clinton III p. 185 *ρκ' vulg.* *ρπη'* vel *ροη' Bernhardy*; illud probat *Daub*

DCCCX Cf. Clinton p. 227; Rohde, Mus. Rhen. XXXV p. 470; Daub, Stud. p. 103 18 Cf. Wachsmuth l. c. 19 *Πομπηΐου* pro *Ἀντ. Daub*, Stud. p. 104 23 sic **AV** *η' πρὸς τοῖς ξ' vulg.* *ἑκατὸν καὶ ξ'* coni. *Bernhardy* *ρ' πρὸς η' καὶ ξ' Daub*

λέγει ἄτομα μὲν εἶναι τὰ κύρια ὀνόματα, θεματικὰ δὲ τὰ προσηγορικά, ἀθέματα δὲ τὰ μετοχικά), περὶ τῆς Ῥωμαϊκῆς διαλέκτου, ὅτι ἔστιν ἐκ τῆς Ἑλληνικῆς κ' οὐκ αὐθιγενής [*ἡ Ῥωμαϊκὴ διάλεκτος*], *ὅτι διαφωνοῦσιν οἱ νεώτεροι ποιηταὶ πρὸς Ὅμηρον, ἐξήγησιν τοῦ Τυραννίωνος μερισμοῦ, διόρθωσιν Ὁμηρικήν, ὀρθογραφίαν.*

DCCCXI. *Τυραννίων Μεσσήνιος φιλόσοφος. οἰωνοσκοπικὰ ἐν βιβλίοις γ'.* |*καὶ ἄλλα δὲ βιβλία αὐτοῦ φέρεται χρήσιμα*|.

DCCCXII. *Τύραννος σοφιστής. περὶ στάσεων, διαιρέσεως λόγου βιβλία ι'.*

DCCCXIII. *Τυρταῖος Ἀρχεμβρότου, Λάκων ἢ Μιλήσιος, ἐλεγειοποιὸς καὶ αὐλητής, ὃν λόγος τοῖς μέλεσι χρησάμενον παροτρῦναι Λακεδαιμονίους πολεμοῦντας Μεσσηνίοις καὶ ταύτῃ ἐπικρατεστέρους ποιῆσαι. ἔστι δὲ παλαίτατος, σύγχρονος τοῖς ζ' κληθεῖσι σοφοῖς ἢ καὶ παλαίτερος. ἤκμαζε γοῦν κατὰ τὴν λε' ὀλυμπιάδα. ἔγραψε πολιτείαν Λακεδαιμονίοις καὶ ὑποθήκας δι' ἐλεγείας καὶ μέλη πολεμιστήρια βιβλία ε'.*

DCCCXIV. *Ὑπατία ἡ Θέωνος τοῦ γεωμέτρου θυγάτηρ,*

---

3 verba corruptelis inquinata sunt; *ἐκ τοῦ Ἀντιγένους ὅτι Ἀντιγένης* **ABV**, ubi *ὅτι* seq. glossemate vocis *Ἀντιγένους* esse ortum patet, *ὅτι ἀρτιγενὴς ἡ Ῥωμ. διαλ.* vix probabiliter tentavit *Gaisford κ' οὐκ οἰκογενὴς* coni. *Westerm. κ' οὐκ αὐθιγενὴς Planer* et *Rohde*, quod recepi. Duas interpolationes *ἐκ τοῦ αὐτογενοῦς* et *ὅτι αὐτ.* sc. *ἐστίν* agnoscit *Daub, αὐτογενοῦς* et ipse conieceram *ἡ Ῥωμ. διαλ.* glossemate ortum

DCCCXI 7 *ἢ* post *Τυρ.* add. **AVE** *Τυραννίων μέν, Μεσσήνιος φίλος* **Ald.** 8 *καὶ ἄλλα* seq. ad grammaticum potius reiciunt *Bernhardy* et *Daub*

DCCCXII 10 *διαιρέσεως* **A** *περὶ διαιρ.* **BVE** *καὶ διαιρ.* rel.

DCCCXIII Cf. Bergk, Poet. lyr. p. 393 seq. Eiusdem vitam a Proclo enarratam servavit schol. Platon. VI p. 375: *ὁ Τυρτ. οὗτος Ἀθηναῖος ἐγένετο, εὐτελὴς τὴν τύχην· γραμματιστὴς γὰρ ἦν καὶ χωλὸς τὸ σῶμα, καταφρονούμενος ἐν Ἀθήναις. τοῦτον Λακεδαιμονίοις ἔχρησεν ὁ Ἀπόλλων μεταπέμψασθαι* etc. 12 sic **BVE** *Ἀρχιμβ. vulg.* 15 *καὶ* ante *ταύτῃ* **BVE** ante *πολεμοῦντας* rel. 16 De aetate cf. v. *Δράκων*, al. 17 *πολιτείαν* quam alii *Εὐνομίαν* dicunt, al. non diversam fuisse ab *ὑποθήκαις* putavit *Bernhardy καὶ ὑποθ. Λακεδαιμονίοις* eleganter coni. *Gutschmid* 18 *δι' ἐλεγείας* ad inscriptionem carminum rettulit *O. Müller*, Lit. Hist. I[3] p. 184

DCCCXIV Totam vitam a Damascio pendere veri simile est. Nonnulla deprompsit *Pseudo-Hesych.* c. 69. Diversam esse ab Hypatia,

τοῦ Ἀλεξανδρέως φιλοσόφου, καὶ αὐτὴ φιλόσοφος καὶ πολλοῖς γνώριμος, γυνὴ Ἰσιδώρου τοῦ φιλοσόφου, ἤκμασεν ἐπὶ τῆς βασιλείας Ἀρκαδίου. ἔγραψεν ὑπόμνημα εἰς Διόφαντον, τὸν ἀστρονομικὸν κανόνα, εἰς τὰ κωνικὰ Ἀπολλωνίου ὑπόμνημα. [αὕτη διεσπάσθη παρὰ τῶν Ἀλεξανδρέων, καὶ τὸ σῶμα αὐτῆς ἐνυβρισθὲν καθ' ὅλην τὴν πόλιν διεσπάρη. τοῦτο δὲ πέπονθε διὰ φθόνον καὶ τὴν ὑπερβάλλουσαν σοφίαν καὶ μάλιστα εἰς τὰ περὶ ἀστρονομίαν, ὡς μέν τινες, ὑπὸ Κυρίλλου, ὡς δέ τινες, διὰ τὸ ἔμφυτον τῶν Ἀλεξανδρέων θράσος καὶ στασιῶδες. πολλοῖς γὰρ καὶ τῶν κατ' αὐτοὺς ἐπισκόπων τοῦτο ἐποίησαν· τὸν Γεώργιον σκόπει καὶ τὸν Προτέριον.]

DCCCV. Ὑπερέχιος Ἀλεξανδρεὺς γραμματικός, ἐπὶ τῶν χρόνων Μαρκιανοῦ τοῦ βασιλέως. ἔγραψε τέχνην γραμματικήν, περὶ ὀνομάτων, περὶ ῥήματος καὶ ὀρθογραφίας.

DCCCXVI. Ὑπερίδης υἱὸς Γλαυκίππου τοῦ ῥήτορος (οἱ δὲ Πυθοκλέους), Ἀθηναῖος ῥήτωρ, τῶν πρώτων κεκριμένων δέκα εἷς, μαθητεύσας ἅμα Λυκούργῳ Πλάτωνι τῷ φιλοσόφῳ καὶ Ἰσοκράτει τῷ ῥήτορι. καὶ ἀπέβη μὲν δεξιὸς ῥήτωρ, γυναικῶν δὲ ἡττήθη. ἀνῃρέθη δὲ καὶ αὐτὸς ὑπὸ Ἀντιπάτρου τοῦ βασιλέως, ἐξαγαγόντος αὐτὸν τοῦ ἐν Ἑρμιόνῃ ναοῦ τῆς Δήμητρος δι' Ἀρχίου τοῦ ἐπικληθέντος Φυγαδο-

---

Erythrii filia (v. Πανόλβιος) vidit *Fabricius* 1 itaque τῇ φιλοσόφῳ literas mittit Synesius ep. 15, 16 al. 3 Διόφαντον **AB** Διοφάντην rel. Διοφάντου Ἀστρονομικὸν κανόνα. εἰς τὰ κανονικὰ Ἀπ. *Kusterus*; antea etiam distinguebatur ὑπ. εἰς Διοφ. τὸν ἀστρονομικόν. κανόνα εἰς τὰ κωνικά. Ἀπ. ὑπομ.; εἰς ante τὸν ἀστρ. inserit *Bernhardy*, τὸν ex antec. syllaba ortum del. *Gutschmid* 4 κανονικὰ **A** 5 αὕτη seq. ab Hesychio aliena sunt; ex Socratis Hist. eccl. VII, 15 fluxisse monent *Wolfius*, Progr. Czernow. p. 40 (1879), *Daub*, de Suid. p. 476. Cf. etiam Diels, Doxogr. p. 12 (p. 254 not. 2 et 575) 6 καθ' ὅλης τῆς πόλεως *Hesych.* 8 περὶ ἀστρονομίας *Hesych.* 10 πολλοῖς — exit. ab ipso Suida addita esse dixi Mus. Rhen. XXXV p. 223; expunxit *Westerm.*

DCCXV Eiusdem meminit Suidas v. Λέων βασ. (Malch. fr. 2 a ap. Müller IV p. 114) 15 ὀρθογραφίαν praefert *Bernhardy*

DCCCXVI Cf. Daub, Stud. p. 35 seq. 16 erratum de patre notavit *Blass*, Att. Ber. III, 2 not. 3 18 verba sanavi ex Diog. III, 46 et Phot. bibl. p. 495, itaque prius καί, quod ante Πλάτωνι legebatur, transposui post φιλοσόφῳ 19 Ἰσοκράτει τε pars libr. edd. ante *Bernhardyum*, sed τε om. **AV** Ἰσοκράτει om. **A** 20 κ. αὐτ. sc. ut Demosthenes 21 Cf. Suidas v. Ἀνθ' Ἑρμίωνος. Cf. Clinton p. 175 Kr. 22 Φυγαδοθήρα **AVEM** φυγαδοθήρας rel. Cf. Suidas v. ὑπερόριον

θήρα, καὶ ἀποτμηθεὶς τὴν γλῶτταν ἀπέθανεν. ὁ δὲ υἱὸς αὐτοῦ Γλαύκιππος τὰ ὀστᾶ λαβὼν εἰς τὸ πατρῷον ἔθαψε μνῆμα. εἰσὶ δὲ οἱ πάντες λόγοι αὐτοῦ νϛ'.

DCCCXVII. **Φαβωρῖνος** Ἀρελάτου τῆς ἐν Γαλλίᾳ πόλεως, ἀνὴρ πολυμαθὴς κατὰ πᾶσαν παιδείαν, γεγονὼς δὲ τὴν τοῦ σώματος ἕξιν [ἀνδρόγυνος], ὃν φασιν ἑρμαφρόδιτον, φιλοσοφίας μεστός, ῥητορικῇ δὲ μᾶλλον ἐπιθέμενος, γεγονὼς ἐπὶ Τραϊανοῦ τοῦ Καίσαρος, καὶ παρατείνας μέχρι τῶν Ἀδριανοῦ χρόνων τοῦ βασιλέως. ἀντεφιλοτιμεῖτο γοῦν καὶ ζῆλον εἶχε πρὸς Πλούταρχον τὸν Χαιρωνέα ἐς τὸ τῶν συνταττομένων βιβλίων ἄπειρον. γέγραπται γοῦν αὐτῷ φιλόσοφά τε καὶ ἱστορικά, ὧν πολὺς ἀριθμός. ἔστι δὲ καὶ τῶν βιβλίων αὐτοῦ ταῦτα· περὶ τῆς Ὁμήρου φιλοσοφίας, περὶ Σωκράτους καὶ τῆς κατ' αὐτὸν ἐρωτικῆς τέχνης, περὶ Πλάτωνος, περὶ τῆς διαίτης τῶν φιλοσόφων καὶ ἄλλα. οὗτος ἔγραψε καὶ γνωμολογικά.

DCCCXVIII. **Φαίδων** Ἠλεῖος φιλόσοφος, Σωκράτους ἀκουστής, ὃς ἦρξε τῆς Ἠλιακῆς ἀπ' αὐτοῦ κληθείσης αἱρέσεως, ἥτις ὕστερον ἀπὸ Μενεδήμου τοῦ Ἐρετριέως Ἐρετριακὴ προσηγορεύθη. τοῦτον συνέβη πρῶτον αἰχμάλωτον ὑπὸ Ἰνδῶν ληφθῆναι, εἶτα πραθεὶς πορνοβοσκῷ τινι προέστη ὑπ' αὐτοῦ πρὸς ἑταίρησιν ἐν Ἀθήναις. ἐντυχὼν δὲ Σωκράτει ἐξηγουμένῳ ἠράσθη τῶν λόγων αὐτοῦ καὶ αἰτεῖ λύσασθαι. ὁ δὲ πείθει Ἀλκιβιάδην πρίασθαι αὐτόν, καὶ ἦν τὸ ἐντεῦθεν φιλόσοφος. διάλογοι δὲ αὐτοῦ Ζώπυρος, Μήδιος, Σίμων, Ἀντίμαχος ἢ Πρεσβύτης, Νικίας, Σιμμίας, Ἀλκιβιάδης, Κριτόλαος.

---

3 *νβ'* corrigendum esse vidit *Bernhardy*

DCCCXVII Cf. Philostrat. Vit. I, 8. Praeceptorem fuisse Herodis Attici docet v. *Ἡρώδης* 4 *Ἀρελάτου* corr. ex *Philostr.* *Ἀρλεάτου* **AVM** **Ald.** *Ἀρλεώτου* **BE** *Ἀρελλάτου* **Bas.** 6 glossema de seclusi 11 *βιβλίον* **V** *γοῦν* **AV** *οὖν vulg.* 14 desideratur *Παντοδαπὴ ὕλη*, de qua omnino cf. Müller III p. 579 seq.

DCCCXVIII *Eud.* p. 719. Cf. Diog. II, 105. Pauca deprompsit *Pseudo-Hesych.* c. 70 17 *Σωκρ. ἀκ.* om. **A** 18 *ὃς ἦρξε — φιλόσοφος* om. *Eud.* pergens *φέρονται αὐτοῦ διάλογοι* 21 *ληστῶν* pro *Ἰνδ.* *Portus* *τινων* *Menagius* ad Diog. *ὑπ' Ἀρκάδων* haesitans *Gutschmid*; v. Wachsmuth, Symb. p. 142 22 sic corr. *Menagius*, *ἑταίρισιν* (vel *ἑταιρίσιν*, sic **Ald.**) **BM** *vulg.*, *ἑταίροισιν* **V**, *ἑταίρισιν* *Bernhardy* 26 *Σκαμίας* *Eud.* quae s. fin. add. *καὶ ἄλλα*

DCCCXIX. *Φάλαρις* Ἀκραγαντῖνος, τυραννήσας δὲ Σικελίας ὅλης κατὰ τὴν νβ' ὀλυμπιάδα. ἔγραψεν ἐπιστολὰς πάνυ θαυμασίας. [Αἰλιανός φησι περὶ τούτου ὅτι Λοξίας δὲ καὶ — προσηνέχθη].

DCCCXX. *Φανίας* ἢ Φαινίας Ἐρέσιος, φιλόσοφος περιπατητικός, Ἀριστοτέλους μαθητής. ἦν δὲ ἐπὶ τῆς ρια' ὀλυμπιάδος καὶ μετέπειτα, ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος.

DCCCXXI. *Φερεκράτης* Ἀθηναῖος κωμικός, |ὃς Ἀλεξάνδρῳ συνεστράτευσεν|. ἐδίδαξε δράματα ιζ'.

DCCCXXII. *Φερεκύδης* Βάβυος Σύριος (ἔστι δὲ νῆσος μία τῶν Κυκλάδων ἡ Σύρα, πλησίον Δήλου). γέγονε δὲ κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην, ὡς συγχρονεῖν τοῖς ζ' σοφοῖς καὶ τετέχθαι περὶ τὴν με' ὀλυμπιάδα. διδαχθῆναι δὲ ὑπ' αὐτοῦ Πυθαγόραν λόγος, αὐτὸν δὲ οὐκ ἐσχηκέναι καθηγητὴν ἀλλ' ἑαυτὸν ἀσκῆσαι, κτησάμενον τὰ Φοινίκων ἀπόκρυφα βιβλία. πρῶτον δὲ συγγραφὴν ἐξενεγκεῖν πεζῷ λόγῳ τινὲς ἱστοροῦσιν, ἑτέρων τοῦτο εἰς Κάδμον τὸν Μιλήσιον φερόντων, καὶ πρῶτον τὸν περὶ τῆς μετεμψυχώσεως λόγον εἰσηγήσασθαι. ἐξηλοτύπει δὲ τὴν Θάλητος δόξαν. καὶ τελευτᾷ ὑπὸ πλήθους φθειρῶν. ἔστι δὲ ἅπαντα ἃ συνέγραψε ταῦτα· ἑπτάμυχος |ἤτοι θεοκρασία ἢ θεογονία. (ἔστι δὲ θεολογία ἐν βιβλίοις ι', ἔχουσα θεῶν γένεσιν καὶ διαδοχάς)|.

DCCCXIX om. *Westerm.* Cf. Clinton I p. 230 et p. 4 Kr. De aetate eius auctoris, qui Phalaridis nomen mentitur, v. *Bentlei* diss. de Phal. ep. p. 27 seq. 1 δὲ add. **AV** 3 θαυμασίας πάνυ *vulg.*, recte **AV** Αἰλιανός seq. *Suidas* ex gl. ἀναβολή iteravit (Var. Hist. II, 4)

DCCCXX Cf. Müller II p. 293 5 De ambiguitate nominis cf. v. Τιμαγένης. Sinceram formam Φανίας esse constat Ἐφέσιος vitiose legitur Suid. v. κύρβεις Αἰρέσιος **BV** om. **E**

DCCCXXI *Eud.* p. 722. Tractat Meineke I p. 66 seq. 8 Mirabilem de Alexandro narrationem notavit *Meineke*; similem errorem ex v. Νεόφρων perstrinxit *Welcker*, Gr. Trag. p. 937. Certe ad alium spectant; de Philemone cogitat *Gutschmid*

DCCCXXII *Eud.* p. 719. Cf. Diog. I, 116, Clinton p. 9 Kr., Müller I p. XXXIV. Nonnulla descripsit *Pseudo-Hesych.* c. 71. Porphyrium partem vitae Hesychio ministrasse docuit *Rohde*, Mus. Rhen. XXXIII p. 203 not. p. 211 10 Βάβιος *vulg.* Βάβυος **BVE** ὁ τοῖς ἑπτὰ συγχ. σοφ. etc. *Eud.* 11 ἡ Σύρος coni. *Kusterus* 13 καὶ — ὀλυμ. om. *Eud.*, ab Hesychio ea aliena esse dixi Unters. p. 55, Mus. Rhen. XXXV p. 224 τετάχθαι **E** μ' coni. *Gutschmid* 17 cf. v. Κάδμος 21 ἑπτάμυγχος **V** θεοκρατία ἢ θεολογία. ἔτι δὲ θεογονία *Kusterus* θεολογία — ἔστι δὲ θεογονία *Müller* δεκάμυχος aut infra βιβλ. ζ' *Sturz*

DCCCXXIII. *Φερεκύδης Ἀθηναῖος*, |πρεσβύτερος τοῦ Συρίου, ὃν λόγος τὰ Ὀρφέως συναγαγεῖν|. ἔγραψεν Αὐτόχθονας (ἔστι δὲ περὶ τῆς ἀρχαιολογίας τῆς Ἀττικῆς) ἐν βιβλίοις ι'. |παραινέσεις δι' ἐπῶν. Πορφύριος δὲ τοῦ προτέρου οὐδένα πρεσβύτερον δέχεται, ἀλλ' ἐκεῖνον μόνον ἡγεῖται ἀρχηγὸν συγγραφῆς|.

DCCCXXIV. *Φερεκύδης Λέριος* ἱστορικός, γεγονὼς πρὸ ὀλίγου τῆς οε' ὀλυμπιάδος. περὶ Λέρου, |περὶ Ἰφιγενείας, περὶ τῶν Διονύσου ἑορτῶν| καὶ ἄλλα.

DCCCXXV. *Φιλάγριος Λύκιος* ἀπὸ Μάκρης, ὡς εὕρηται παρὰ Εὐγενάτορι (ὡς δὲ αὐτὸς ἐν τῇ πρὸς Φιλήμονα περὶ ἥπατος ἐσκιρρωμένου ἐπιστολῇ φησιν [ὁ Φιλάγριος], εἴη ἂν μᾶλλον Ἠπειρώτης), ἰατρός, μαθητὴς Ναυμαχίου, τοῖς χρόνοις μετὰ Γαληνόν, ἰατρεύσας τὰ πλεῖστα ἐν Θεσσαλονίκῃ, συντάξας βιβλία ἰατρικὰ μονόβιβλα μὲν ο', ὑπομνηματικὸν εἰς Ἱπποκράτην, συντάγματα δὲ ἕτερα οὐκ ὀλίγα.

DCCCXXVI. *Φιλέταιρος* [ὄνομα κύριον] Ἀθηναῖος κωμικός, υἱὸς Ἀριστοφάνους τοῦ κωμικοῦ. δράματα δὲ αὐ-

---

21 *ἤτοι* — exit. logographi esse Atheniensis, quem Suidas etiam *Λέριον* vocat, monet *Gutschmid* 22 *καὶ ἄλλα πολλά* add. *Eud.*

DCCCXIII *Eud.* p. 713. Cf. Sturz p. 2 seq., Müller l. c. Quae seclusi ad alterum (quem nonnulli fuisse putant) Pherecydem Syrium spectant, quem negant fuisse Porphyrius al., reliqua ad Atheniensem iuniorem, de Ath. rebus sacris scriptorem, cui tribuenda fr. 1a et 2a apud Müller. IV p. 637 et fr. 101 ap. Müller. I p. 95. 3 Librorum numerus ex logographi fortasse libro desumptus. Haec mihi suppeditavit *Gutschmid* 1 *πρεσβύτης* V 4 *Πορφύριος* — exit. om. *Eud.*

DCCCXXIV *Eud.* p. 713. Non diversus est a logographo Atheniensi. Cf. Diog. I, 119, Maass, Biogr. p. 40. Tractant Clinton p. 383 Kr., Rohde, Mus. Rhen. XXXIII p. 210 seq. 8 i. e. *ἐπὶ τῶν Περσικῶν*: cf. *Ἵππυς*; *ἔγραψε* add. *vulg.* 9 quae uncis seclusi Atheniensi iuniori dat *Gutschmid*

DCCCXXV *Eud.* p. 719 10 *Λύκιος* — *μᾶλλον* om. *Eud.* sed infra add. *Εὐγ. δὲ Λυκ. αὐτόν φησιν ἀπὸ Μάκρης* *ἀπὸ Μάκρης* om. **BE**; de hac insula cf. Steph. Byz. v. *Μάκρα*, forma ionica *Μάκρης* Eugenatora usum esse suspiceris 11 unus meminit Eugenatoris Suid. v. *Εὐγενάτορος σοφιστοῦ τινος* quod ex nostra glossa ortum putavit *Bernhardy*. Quid ille scripserit, nescimus. Cf. Unters. p. 58 12 *ὁ Φιλάγριος* expunxi utpote a lectore adscripta; cf. v. *Φρυν. τραγ.*, *Τυρ. νεώτερος* 13 *Ναυμάχου* V 15 *συνέταξε δὲ Eud.* *μόναβιβλα* V 16 transposui *συντάγματα* — *ὀλίγα*, quae ante *ὑπομ.* perperam libri exhibent

DCCCXXVI *Eud.* p. 722. Tractat Meineke I p. 349 seq. 18 *υἱὸς* — *κωμικοῦ*, mox *δὲ* et infra *ὧν ἐστι καὶ* — exit. om. **A**, priora verba

τοῦ κα', ὧν ἐστι καὶ ταῦτα· Ἀχιλλεύς, Κορινθιαστής, Κυνηγίας, Φίλαυλος, Κέφαλος, Τηρεύς, Οἰνοπίων, Ἄντυλλος (καὶ αὐτὸ Φιλεταίρου, ὡς δέ τινες Νικοστράτου), Ἀταλάντη, Λαμπαδηφόροι.

DCCCXXVII. *Φιλήμων Συρακούσιος, υἱὸς Δάμωνος, καὶ αὐτὸς κωμικὸς τῆς νέας κωμῳδίας, ἤκμαζεν ἐπὶ τῆς Ἀλεξάνδρου βασιλείας, βραχὺ Μενάνδρου πρότερος. ἔγραψε δὲ κωμῳδίας ⟨ζ'⟩ πρὸς ϙ' καὶ ἐβίωσεν ἔτη ϙθ'· εἰσὶ δὲ οἳ λέγουσιν α' καὶ ρ'. ἐτελεύτησε δὲ ὑπὸ σφοδροῦ γέλωτος.*

DCCCXXVIII. *Φιλήμων ὁ νεώτερος, καὶ αὐτὸς κωμικός, υἱὸς Φιλήμονος τοῦ κωμικοῦ. ἐδίδαξε δὲ δράματα νδ'.*

DDCCCXXIX. *Φιλητᾶς Κῷος, υἱὸς Τηλέφου, ὢν ἐπί τε Φιλίππου καὶ Ἀλεξάνδρου, γραμματικὸς κριτικός, ὃς ἰσχνωθεὶς ἐκ τοῦ ζητεῖν τὸν καλούμενον ψευδόμενον λόγον ἀπέθανεν. ἐγένετο δὲ καὶ διδάσκαλος τοῦ δευτέρου Πτολεμαίου. ἔγραψεν ἐπιγράμματα καὶ ἐλεγείας καὶ ἄλλα.*

DCCCXXX. *Φιλιππίδης Ἀθηναῖος, κωμικὸς καὶ αὐτὸς τῆς νέας κωμῳδίας, υἱὸς Φιλοκλέους. ἦν δὲ ἐπὶ τῆς ρια' ὀλυμπιάδος. ἐδίδαξε καὶ αὐτὸς δράματα με'.*

---

ex v. *Φίλιππος* translata esse videntur. De re cf. v. *Ἀριστοφάνης* et schol. Platon. VI p. 227 *Φίλιππον — Ἀραρότα — καὶ τρίτον, ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλέταιρον* 1 *κορινθιατής* (*vulg.*) — *οἰνωπίων* (*vulg.*) — *αὐτοφιλέταιρος* (*vulg.*) — *νικοστράτη* (*vulg.*) — *λαμπαδοφόρος* (*vulg.*) *Eud.* *κορινθιαστής* **V** *αὐτοφιλεταίρου* **BV** *νικοστράτου* **V** *λαμπαδιφόροι* **V** *λαμπαδηφόροι* **E**

DCCCXXVII *Eud.* p. 723. Extrema verba leguntur *Pseudo-Hes.* c. 72. Cf. Ins. A. III, n. 948 *Φιλήμων Δάμωνος Διομαιεύς, κωμικὸς ποιητής* et quae exposuit Dittenberger ib. p. 193 6 *ἐπὶ Ἀλ.* *Eud.* 7 *βραχεῖ* **BV** *πρότερον* *Eud.*, nescio an rectius 8 *ζ'* ante *πρὸς* add. *Meineke* *ἐνενήκοντα* *Eud.* rel. omissis *πρὸς ἐνεν.* *vulg.*

DCCCXXVIII 10 *καὶ υἱὸς τούτου* *Eud.* l. c.

DCCCXXIX *Eud.* p. 717. Cf. v. *Ζηνοδ. Ἐφ.* 12 de *ὢν ἐπί* cf. Rohde, Mus. Rhen. XXXIII p. 173 13 *γραμματικὸς καὶ κρ.* maluit *Toupius* coll. *Ἑκαταῖος Ἀβδ.* 14 *καὶ διώκειν ἀνίχητα* post *ζητεῖν* add. **V**, qui *ἰσχνωθεὶς — ἀνίχητα* s. fin. art. praebet 16 *καὶ τὰ καλούμενα Ναξιακά* add. *Eud.*, quae interpolatoris esse monuit *Meineke*, Anal. p. 352. Cf. Unters. p. 166, Daub, de Viol. p. 6. Ad Philteam historicum spectare persuadet *Müller* IV p. 478; itaque in fonte Eudociae genuino de loco ea mota fuisse patet

DCCCXXX om. *Westerm.* De eodem cf. insignem titulum Atticum Insc. A. II, n. 324. Tractat Meineke I p. 470 seq. 18 *ρκα'* mavult *Meineke*; sed cf. Clinton, p. XLV not. Kr.

DCCCXXXI. *Φίλιππος Ἀμφιπολίτης ἱστορικός. Ῥοδιακὰ βιβλία ιθ′ (ἔστι δὲ τῶν πάνυ αἰσχρῶν), Κῳακὰ βιβλία β′, Θασιακὰ βιβλία β′ καὶ ἄλλα.*

DCCCXXXII. *Φίλιππος σοφιστὴς ὁ γράψας περὶ πνευμάτων ἐκ τῶν Ἡρωδιανοῦ κατὰ στοιχεῖον καὶ περὶ συναλοιφῆς.*

DCCCXXXIII. *Φίλιππος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Κωδωνιασταί,* [*ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς*].

DCCCXXXIV. *Φιλίσκος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἄδωνις, Διὸς γοναί, Θεμιστοκλῆς, Ὄλυμπος, Πανὸς γοναί, Ἑρμοῦ καὶ Ἀφροδίτης γοναί, Ἀρτέμιδος καὶ Ἀπόλλωνος.*

DCCCXXXV. *Φιλίσκος Κερκυραῖος, Φιλώτου υἱός, τραγικὸς καὶ ἱερεὺς τοῦ Διονύσου ἐπὶ τοῦ Φιλαδέλφου Πτολεμαίου γεγονώς. καὶ ἀπ᾽ αὐτοῦ τὸ Φιλίσκειον μέτρον προσηγορεύθη, ἐπείπερ αὐτῷ ἐνεδαψιλεύετο. ἔστι δὲ τῆς δευτέρας τάξεως τῶν τραγικῶν, οἵτινές εἰσιν ζ′ καὶ ἐκλήθησαν Πλειάς. αἱ δὲ τραγῳδίαι αὐτοῦ εἰσι μβ′.*

DCCCXXXVI. *Φιλίσκος ... Αἰγινήτης ὁ διδάξας γράμματα Ἀλέξανδρον τὸν Μακεδόνα. αὐτὸς δὲ ἀκουστὴς ἦν τοῦ κυνὸς Διογένους, κατὰ δὲ Ἕρμιππον Στίλπωνος. ἔγραψε διαλόγους, ὧν ἐστι Κόδρος.*

DCCCXXXI *Eud.* p. 713. Cf. Müller IV p. 475. Tractat Rohde, Gr. Roman p. 346 not. 3 2 *Κῳακά* **AV** *Eud. Κῳανά vulg.* 3 *Θυσιακά* **V** *vulg. Eud. Θασιακά* solus **A**. Ceterum Suidam v. *ἀποτιμῶσαι* non hunc Philippum intellegere, ut putabat *Toupius*, vidit *Meineke* I p. 342

DCCCXXXII *Eud.* p. 715 4 *ῥήτωρ καὶ σοφ. Eud.* 6 *συναλιφῆς* **A**, qui pergit *Φίλιππος σοφιστής, ὁ γράψας περὶ πνευμάτων, ἕτερος*, quae aut ad alterum sophistam spectant aut per dittographiam orta

DCCCXXXIII *Eud.* p. 723. Tractat Meineke I p. 340 seq. 8 *Κωνιασταί Eud. Κορωνισταί* vel *Κορωνιασταί Casaubonus Κωμασταί* vel *Κωνειασταί* vel *Κονιαταί* vel *Κωδωνισταί* vel *Κωθωνισταί Meineke* *ὡς* — exit. om. *Eud.*, sed apud Athenaeum ea non inveniri vidit *Kusterus*; cf. etiam Clinton p. XLV not. Kr.

DCCCXXXIV *Eud.* p. 723. Tractat Meineke I p. 423 10 *Ἄδωνες* om. *Διός* **V** 11 *Ἑρμοῦ — γοναί* om. *Eud.*

DCCCXXXV *Eud.* p. 723. Cf. Hephaest. p. 30 14 *ἦν δὲ ἱερεὺς Eud. ὑπὸ* **ABVE** 17 Cf. *Σοφοκλῆς νεώτερος* al.

DCCCXXXVI Pars fluxit ex Diog. VI, 75 seq. 19 pater *Ὀνησίκριτος* laudatur Diog. VI, 75, cuius nomen apud Suidam fortasse excidit

DCCCXXXVII. *Φιλίσκος Μιλήσιος ῥήτωρ, Ἰσοκράτους ἀκουστὴς τοῦ ῥήτορος. ἐγένετο δὲ πρότερον αὐλητὴς παραδοξότατος, διὸ καὶ Αὐλοτρύπην Ἰσοκράτης αὐτὸν ἐκάλει. γέγραπται δὲ αὐτῷ τάδε· Μιλησιακός, Ἀμφικτυονικός, τέχνη ῥητορικὴ ἐν βιβλίοις β΄, Ἰσοκράτους ἀπόφασις.*

DCCCXXXVIII. [*Φιλίσκος, ἢ*] *Φίλιστος, Συρακούσιος ἱστορικός. ἦν δὲ συγγενὴς Διονυσίου τοῦ τυράννου Σικελίας καὶ ἐν τῇ πρὸς Καρχηδονίους ναυμαχίᾳ ἐτελεύτησε. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ἔγραψε Σικελικὰ (ἔστι δὲ τὰ πρὸς Ἕλληνας αὐτοῖς πραχθέντα διαφόρως) καὶ γενεαλογίαν, | περὶ Φοινίκης, | καὶ ἄλλα τινὰ περὶ τῆς νήσου Σικελίας.*

DCCCXXXIX. *Φιλιστίων |Προυσαεύς, ἢ|, ὡς Φίλων Σαρδιανός, κωμικός. |τελευτᾷ δὲ ὑπὸ Σωκράτους|. ὃς ἔγραψε κωμῳδίας βιολογικάς. ||τελευτᾷ δὲ ὑπὸ γέλωτος ἀπείρου||. δράματα δὲ αὐτοῦ Μιμοψηφισταί. οὗτός ἐστιν ὁ γράψας τὸν Φιλόγελων ἤγουν τὸ βιβλίον τὸ φερόμενον εἰς τὸν Κουρέα. |Νικαεὺς δὲ μᾶλλον παρὰ πᾶσιν ᾄδεται, ὡς μαρτυρεῖ τὸ ἐπίγραμμα 'ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον γέλωτι κεράσας Νικαεὺς Φιλιστίων'|.*

DCCCXXXVII *Eud.* p. 715. Cf. v. *Τίμαιος*. Compilavit *Pseudo-Hes.* c. 73   2 *πρότερον* om. *Eud.*   3 hoc falsum esse videtur, cum comici Isocratem sic appellaverint, cf. Meineke II p. 765   4 *τέχνην ῥητορικήν* **A**   5 *δυσὶν* **A** *δύο* om. **E**

DCCCXXXVIII *Eud.* p. 713. Totam vitam o. **A**. Tractat Müller I p. XLVIII, Daub, Stud. p. 22 seq.   6 *Φιλ. ἢ* *Suidae* errore additum *ἢ Φιλ.* om. *Eud.*   8 *Καρχηδ.* vitiose ex confusione, cum Dio nominari debuerit   10 *γενεαλογίαν Σικελίας . . . καὶ ἄλλα τινὰ περὶ τῆς νήσου* (ut genealogia septem primi *Σικελικῶν* libri designentur) *Gutschmid*, qui opus *περὶ Φοινίκης* Naucratitae dedit   *νήσου* om. *Eud.*

DCCCXXXIX *Eud.* p. 724, *Pseudo-Hes.* c. 72. Certe non omnia Hesychii sunt in hac vita corruptelis erroribusque scatente. Unice Suidae errori deberi putavit *Meineke,* praef. Men. p. VIII et fr. com. I p. 270. Plures autem Philistiones esse confusos vidit *Rohde,* Mus. Rhen. XXXIV p. 568 not.: 1) histrionem Nicaeensem, ad quem epigramma referendum, 2) mimographum, qui Tiberio regnante vixit, 3) fortasse antiquum poetam comicum (cf. *ἐπὶ Σωκράτους*) coll. Köhler, Mitth. Arch. Inst. III p. 243   12 Magnetem vel Sardianum ab Hieronymo Chron. 2023 scriptum fuisse vidit *Rohde*, *ἐπὶ Σεβαστοῦ αὐτοκράτορος* coni. *Hilberg,* ep. crit. ad Vahlen., minus probabiliter   13 *ὑπὸ* **AV** *ἐπὶ vulg.*, *ἰσοκράτους* **A**   14 *βιολογικὰς Kusterus βαιολ. vulg.* *τελευτᾷ* seq. manifesto ad Philemona spectant   15 *Μιμοψηφ.* **ABVE** *vulg.* *Μιμοψηρισταί Eud.* de locutione cf. v. *Δεξικράτης*, et quae ibi dixi   16 *εἰς Ἑρμείαν τὸν Κουρέα Reinesius* coll. Athen. XIII p. 349   19 Anth. Pal. VII, 155

DCCCXL. *Φίλιστος Ναυκρατίτης* |ἢ *Σουρακούσιος*. *Ἀρχωνίδου υἱός. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ὃς πρῶτος κατὰ τὴν ῥητορικὴν τέχνην ἱστορίαν ἔγραψε. συνέταξε δὲ τέχνην ῥητορικήν*|, *Αἰγυπτιακὰ ἐν βιβλίοις ιβ'*, |*Σικελικὰ ἐν βιβλίοις ια'*|, *πρὸς τὸν Τρικάρανον λόγον περὶ Ναυκράτεως*, |*περὶ Διονυσίου τοῦ τυράννου βιβλία ς'*|, *περὶ τῆς Αἰγυπτίων θεολογίας βιβλία γ'*, |*Δημηγορίας καὶ ἄλλα τινά*|. *περὶ Συρίας καὶ Λιβύης*.

DCCCXLI. *Φιλοκλῆς Φιλοπείθους Ἀθηναῖος τραγικός, τοῖς χρόνοις κατ' Εὐριπίδην. ἐπεκαλεῖτο δὲ Χολὴ διὰ τὸ πικρόν. ἔγραψε τραγῳδίας ρ', ὧν ἐστι καὶ ταῦτα· Ἠριγόνη, Ναύπλιος, Οἰδίπους, Οἰνεύς, Πρίαμος, Πηνελόπη, Φιλοκτήτης. Αἰσχύλου δὲ τοῦ τραγικοῦ ἦν ἀδελφιδοῦς καὶ ἔσχεν υἱὸν Μόρσιμον τὸν τραγικόν, οὗ τινος γίνεται Ἀστυδάμας ὁ τραγικός. — τούτου δ' ἕτερος Φιλοκλῆς τραγικός*.

DCCCXLII. *Φιλόξενος Εὐλυτίδου Κυθήριος*, (*Καλλίστρατος δὲ Ἡρακλείας αὐτὸν γράφει* ⟨*τῆς*⟩ *Ποντικῆς*), *λυρικός. ἔγραψε διθυράμβους κδ'. τελευτᾷ δὲ ἐν Ἐφέσῳ. οὗτος*

DCCCXL *Eud.* p. 716. Vitam edidi prorsus secutus Müllerum IV p. 477, qui Philiscum rhetorem, Philistum Syracusanum, Phil. Naucratitam confusos esse vidit. Itaque ad Naucratitam spectant ea, quae uncis carent. Talem descripsit *Gutschmid*: *Φιλ. Ναυκρ.* |*ἢ Συρ.*, *Ἀρχ. υἱός — ἔγραψε*| ||*συνέταξε δὲ — ῥητορικήν*|| *Αἰγυπτιακά — ιβ'* |*Σικελικά — ια'*| ||*πρὸς τὸν Τρικάρανον λόγον*|| *περὶ Ναυκράτεως* |*περὶ Διον. τυρ. — ς'*| *περὶ τῆς Αἰγυπτίων θεολ. — γ'* |*Δημηγορίας — τινά*| *περὶ Συρίας καὶ Λιβύης*, ut lineolis simplicibus circumscripta ad Syracusium spectent, duplicatis ad Philiscum 1 *κατὰ δέ τινας Eud.* 2 *Ἀρχενίδου Eud. Ἀρχομενίδου Pausan.* V, 23, 6 3 *τέχνην — ῥητορικήν* om. **V** 5 *Σικελικὰ* **VE** *Eud. Σικελιακὰ vulg.* *Χάρωνα* pro *Τρικ. Toupius* coll. Suid. v. *Χάρων* post *λόγον* distinxerunt *Osann*, Beitr. II p. 12, *Westerm.*, *Müller* 6 *βιβλία β' Gutschmid* 8 *Λιβ. καὶ Συρ. Eud.*

DCCCXLI *Eud.* p. 724. Cf. v. *Ἀστυδάμας*; schol. Ar. Aves 282. Tractat Welcker, Gr. Trag. p. 967 9 *Φιλοπείθους* schol. *Πολυπ.* libri 10 *κατ' Εὐριπ.* corr. *Clinton* p. XXXVI not. Kr. *μετὰ Εὐρ.* libri 11 *καὶ* om. **V** 13 *ἦν δὲ Αἰσχ. Eud.* 15 *τούτου* — exit. om. *Eud.* *στρατηγός vulg. τραγικός* **ABV**

DCCCXLII *Eud.* p. 725. Tractat Bergk, Poet. lyr. p. 1266 seq. Rectissime de fontibus vitae disputaverunt *Wachsmuth*, Symb. p. 142, *Daub*, de Suid. p. 428 16 *Εὐλητίδου vulg. Eud. Εὐλυτίδου* **ABVE** verba *Καλλίστρατος — Ποντικῆς* transposui (*φησι* pro *γράφει vulg.*), infra post *λυρικοῦ* habent libri; *τῆς* ante *Ποντ.* add. suadente *Bernhardyo*; Callistrati frag. (*περὶ Ἡρακλείας*) om. Müller IV p. 354. Cf. v. *Ἰσοκράτης* 18 *κδ' καὶ γεν. τ. Αἰαν. μελ.* rel. omissis *Eud.*

ἀνδραποδισθέντων τῶν Κυθήρων ὑπὸ Λακεδαιμονίων ἠγοράσθη ὑπὸ Ἀγεσύλου τινὸς καὶ ὑπ' αὐτοῦ ἐτράφη, καὶ Μύρμηξ ἐκαλεῖτο· ἐπαιδεύθη δὲ μετὰ τὸν θάνατον Ἀγεσύλου, Μελανιππίδου πριαμένου αὐτὸν τοῦ λυρικοῦ. ἔγραψε δὲ μελικῶς γενεαλογίαν τῶν Αἰακιδῶν.

DCCCXLIII. ***Φιλόξενος*** *Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ. περὶ μονοσυλλάβων ῥημάτων, περὶ σημείων τῶν ἐν τῇ Ἰλιάδι, περὶ τῶν εἰς μι ληγόντων ῥημάτων, περὶ διπλασιασμοῦ, περὶ μέτρων, περὶ τῆς τῶν Συρακουσίων διαλέκτου, περὶ ἑλληνισμοῦ ς', περὶ συζυγιῶν, περὶ γλωσσῶν ε', περὶ τῶν παρ' Ὁμήρῳ γλωσσῶν, περὶ τῆς Λακώνων διαλέκτου, περὶ τῆς Ἰάδος διαλέκτου καὶ τῶν λοιπῶν.*

DCCCXLIV. ⟨***Φίλιππος Ὀπούντιος***⟩, *φιλόσοφος, ὃς τοὺς Πλάτωνος Νόμους διεῖλεν εἰς βιβλία ιβ'· τὸ γὰρ ιγ' αὐτὸς προσθεῖναι λέγεται. καὶ ἦν Σωκράτους καὶ αὐτοῦ Πλάτωνος ἀκουστής, σχολάσας τοῖς μετεώροις. ὧν δὲ κατὰ Φίλιππον τὸν Μακεδόνα συνεγράψατο τάδε· περὶ τῆς ἀποστάσεως ἡλίου καὶ σελήνης, περὶ θεῶν β', περὶ χρόνου α', περὶ μύθων α', περὶ ἐλευθερίας α', περὶ ὀργῆς α', περὶ ἀνταποδόσεως α', περὶ Λοκρῶν τῶν Ὀπουντίων, περὶ ἡδονῆς α', περὶ ἔρωτος α', περὶ φίλων καὶ φιλίας α', περὶ τοῦ γράφειν, περὶ Πλάτωνος, περὶ ἐκλείψεως σελήνης, περὶ μεγέθους ἡλίου καὶ σελήνης καὶ γῆς α', περὶ ἀστραπῶν, περὶ πλανητῶν, ἀριθμητικά, περὶ πολυγόνων ἀριθμῶν, ὀπτικῶν β', ἐνοπτικῶν β', κυκλιακά, μεσότητας καὶ ἄλλα.*

DCCCXLV. ***Φιλόστρατος*** *Φιλοστράτου τοῦ καὶ Βήρου,*

---

1 *Ἀθηναίων* pro *Λακ.* corr. *Reinesius*, *Meineke* I p. 635. Cf. etiam Hesych. v. *Δούλωνα. τὸν μουσικὸν Φιλόξενον, ἐπειδὴ δοῦλος ἐγεγόνει ὁ Φιλόξενος· ἦν δὲ τὸ γένος Κυθήριος*

DCCCXLIII *Eud.* p. 718. Tractat Kleist, de Philox. gramm. (Gryph. 1865) 8 *σημειώσεων* **V** 9 *διπλασιασμῶν* **V** 10 *διαμέτρου* **BE** 12 *περὶ Ἰάδος* — exit. om. *Eud.*

DCCCXLIV *Eud.* p. 720 13 De errore librarii dixi Unters. p. 99 not. 1 *φιλόσοφος ὃς* libri et *Eud.* *Φιλ. Ὀπ. ὃς* *Westerm.* nixus auctoritate *Vossii*, *Reinesii* al. (cf. Voss. hist. Gr. p. V not. West.). Verum viderunt *Gessnerus* al. 15 *αὐτοῦ Πλ.* **AE** *αὐτοῦ τοῦ* rel. 17 *λακεδαιμόνιον* **V** 19 *περὶ ὀργῆς — ἡδονῆς α'* omissis *περὶ ἀντ. α'* post *πλανητῶν* ponit **V** *ἀνταποδώσεως* *Eud.* 22 *περὶ ἐκλ. καὶ περὶ μεγ.* *vulg.* *Eud.* *περὶ ἐκλ. σελήνης* **ABVE**

DCCCXLV *Eud.* p. 715. Errata in sequentibus vitis aperuit *Kayser*, praef. ad Vit. Soph. ;p. XXVII seq. et mai. ed. p. II not. 26 *τοῦ υἱοῦ*

Λημνίου σοφιστοῦ, καὶ αὐτὸς δεύτερος σοφιστής, σοφιστεύσας ἐν Ἀθήναις, εἶτα ἐν Ῥώμῃ, ἐπὶ Σεβήρου τοῦ βασιλέως καὶ ἕως Φιλίππου. ἔγραψε μελέτας, ἐπιστολὰς ἐρωτικάς, εἰκόνας ἤτοι ἐκφράσεις ἐν βιβλίοις δ', διαλέξεις, αἶγας ἢ περὶ αὐλοῦ, Ἀπολλωνίου βίον τοῦ Τυανέως ἐν βιβλίοις η', ἀγοράν, ἡρωικόν, βίους σοφιστῶν ἐν βιβλίοις δ', ἐπιγράμματα καὶ ἄλλα τινά. πλὴν πρῶτος ὀφείλει κεῖσθαι.

DCCCXLVI. *Φιλόστρατος ὁ πρῶτος, Λήμνιος, υἱὸς Βήρου, πατὴρ δὲ τοῦ δευτέρου Φιλοστράτου, σοφιστὴς καὶ αὐτός, σοφιστεύσας ἐν Ἀθήναις, γεγονὼς ἐπὶ Νέρωνος. ἔγραψε λόγους πανηγυρικοὺς πλείστους καὶ λόγους Ἐλευσινιακοὺς δ', μελέτας, ζητούμενα παρὰ τοῖς ῥήτορσι, ῥητορικὰς ἀφορμάς, περὶ τοῦ ὀνόματος (ἔστι δὲ πρὸς τὸν σοφιστὴν Ἀντίπατρον), περὶ τραγῳδίας βιβλία γ', |γυμναστικόν (ἔστι δὲ περὶ τῶν ἐν Ὀλυμπίᾳ ἐπιτελουμένων)|, λιθογνωμικόν, Πρωτέα, Κύνα ἢ σοφιστήν, |Νέρωνα|, Θεατήν, τραγῳδίας μγ', κωμῳδίας ιδ' καὶ ἕτερα πλεῖστα καὶ λόγου ἄξια.*

DCCCXLVII. *Φιλόστρατος Νερβιανοῦ, ἀδελφόπαιδος Φιλοστράτου τοῦ δευτέρου, Λήμνιος, καὶ αὐτὸς σοφιστὴς καὶ παιδεύσας ἐν Ἀθήναις, τελευτήσας δὲ καὶ ταφεὶς ἐν Λήμνῳ, ἀκουστής τε καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου. ἔγραψεν εἰκόνας, Παναθηναϊκόν, Τρωικόν, παράφρασιν τῆς Ομήρου ἀσπίδος, μελέτας ε'. τινὲς δὲ καὶ τοὺς τῶν σοφιστῶν βίους ἐπ' αὐτὸν ἀναφέρουσιν.*

DCCCXLVIII. *Φιλόχορος Κύκνου Ἀθηναῖος μάντις*

B. Eud. καὶ del. *Bernhardy* 4 *αὐλῆς Daub* *β'* corr. *Meursius*, sed quattuor in libros librarios opus distinxisse vidit *Jacobs* 6 *ἡρωικά Kusterus*, sed cf. Kayser p. XXXI

DCCCXLVI *Eud.* l. c. Cf. v. *Φρόντων* 9 *Φιλοστράτου Βήρου* V 10 *σοφιστὴς Ἀθήνησιν* ut supra, *Eud.* *ἐπὶ Νέρωνος* quemadmodum intellegendum docuit *Rohde*, Mus. Rhen. XXXIII p. 175; *Ἀθήναις ἔγραψε λόγους παν. πλ. — σοφιστήν, Νέρωνα· ἔστι δὲ περὶ ὀρυχῆς τοῦ Ἰσθμοῦ γεγοννίας ἐπὶ Νέρωνος*, de quo *ἔστι — Ἰσθμοῦ* om. et *γεγοννίας ἐπὶ Νέρωνος* relictum maleque ab aliis correctum fuisse in *γεγονὼς ἐπὶ Νέρωνος* olim coni. *Kayser*, praef. Philostr. 13 *περὶ τ. σοφ. Eud.* 14 Quae seclusi filio dedit *Kayser* 16 *Νέρωνα θεατὴν Kusterus* *μϛ'* V

DCCCXLVII *Eud.* p. 716 18 *ἀδελφόπαις* male corr. *Meursius* 19 *τοῦ υἱοῦ Φιλ. Eud.*; de erroribus dixit Kayser 20 *καὶ τελευτήσας ἐτάφη Eud.* 22 hanc *παράφρασιν* decimum Imaginum caput esse monuit *Kayser* 23 *ε'* om. *Eud.* pergens *κατὰ δέ τινας* seq. 23 *ἐς αὐτὸν Daub*

DCCCXLVIII Tractant Siebelis, Phil. fr. p. 1 seq.; Müller I p. LXXXIV; Daub, Stud. p. 24 seq. 25 *μάντις καὶ ἱερ.* vitiosa videntur

καὶ ἱεροσκόπος· γυνὴ δὲ ἦν αὐτῷ Ἀρχεστράτη. κατὰ δὲ τοὺς χρόνους γέγονεν ὁ Φιλόχορος Ἐρατοσθένους, ὡς ἐπιβαλεῖν πρεσβύτῃ νέον ὄντα Ἐρατοσθένῃ. ἐτελεύτησε δὲ ἐνεδρευθεὶς ὑπὸ Ἀντιγόνου, ὅτι διεβλήθη προσκεκλικέναι τῇ Πτολεμαίου βασιλείᾳ. ἔγραψεν Ἀτθίδος βιβλία ιζ′ (περιέχει δὲ τὰς Ἀθηναίων πράξεις καὶ βασιλεῖς καὶ ἄρχοντας ἕως Ἀντιόχου τοῦ τελευταίου τοῦ προσαγορευθέντος θεοῦ, ἔστι δὲ πρὸς Δήμωνα), περὶ μαντικῆς δ′, περὶ θυσιῶν α′, περὶ τῆς τετραπόλεως, Σαλαμῖνος κτίσις, ἐπιγράμματα Ἀττικά, περὶ τῶν Ἀθήνησιν ἀγώνων βιβλία ιζ′, περὶ τῶν Ἀθήνησιν ἀρξάντων ἀπὸ Σωκρατίδου καὶ μέχρι Ἀπολλοδώρου, Ὀλυμπιάδας ἐν βιβλίοις β′, πρὸς τὴν Δήμωνος Ἀτθίδα, ἐπιτομὴν τῆς ἰδίας Ἀτθίδος, ἐπιτομὴν τῆς Διονυσίου πραγματείας, περὶ ἱερῶν, περὶ τῶν Σοφοκλέους μύθων βιβλία ε′, περὶ Εὐριπίδου, περὶ Ἀλκμᾶνος, περὶ μυστηρίων τῶν Ἀθήνησι, συναγωγὴν ἡρωίδων ἤτοι Πυθαγορείων γυναικῶν, Δηλιακὰ βιβλία β′, περὶ εὑρημάτων, περὶ καθαρμῶν, περὶ συμβόλων.

DCCCXLIX. *Φιλύλλιος Ἀθηναῖος, κωμικὸς τῆς παλαιᾶς κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἐστιν Αἰγεύς, Αὔγη, Ἄντεια (ἑταίρας ὄνομα), Δωδεκάτη, Ἡρακλῆς, Πλύντρια ἢ Ναυσικάα, Πόλ⟨ε⟩ις, Φρεωρύχος, Ἀταλάντη, Ἑλένη.*

DCCCL. *Φίλων Βύβλιος γραμματικός. οὗτος γέγονεν*

---

an *μάντις καὶ ἱστορικός*? Cf. v. *Ἀπολλ. Ἀφρ. ἀρχιερεὺς καὶ ἱστορικός* 3 *Ἐρατοσθένῃ* corr. *Siebelis*, *Ἐρατοσθένει vulg.* 4 *Ἀντιόχου* (sc. Magni) perperam coni. *Reinesius* et *Vossius* 6 *τοὺς* ante *βασ.* add. *Daub* 9 an *κτίσιν*? post *ἐπιγρ.* distinxit A itaque *Ἀττικά* fortasse a lectore add. putat *Daub* 11 Cf. Clinton p. 118 et 176 Kr. (ol. 101, 3 — 115, 2) *καὶ* susp. Cf. v. *Μάλχος*; *περὶ — ἀρξάντων — Ἀπολλοδώρου κατ᾽ ὀλ.* *Daub* 12 alius videtur Atthidis titulus esse, nisi supra *ἔστι δὲ* seq. errato orta 13 de altera epitome cf. v. *Πωλίων* post *πραγματείας* interpungit *Gutschmid* (ut hoc opus non diversum sit a libro *περὶ ἑορτῶν*), idem *περὶ ἡμερῶν* pro *π. ἱερῶν* corrigendum monuit et *περὶ Εὐριπίδους* idem esse quod *περὶ τραγῳδιῶν*, ut coniecerat Müller IV p. 648; sed cf. Daub p. 26. 17 *περὶ συμβόλων* non diversum esse a libris *περὶ μαντικῆς* putat *Müller*, fortasse nec a *περὶ καθαρμῶν* *Daub*

DCCCXLIX *Eud.* p. 725. Cf. v. *Διοκλῆς*. Tractat Meineke I p. 258 seq. 18 *Φιλύλλιος* A *Φιλλύλιος vulg. Eud.* 20 *Πλάτρια* A 21 *Πόλεις* corr. *Kusterus* et *Kühn.* ad Polluc. X, 58, probante *Meinekio* *Πόλις vulg.*

DCCCL *Eud.* p. 718. Cf. v. *Παῦλος Τύριος*. Tractant Müller III p. 560, Rohde, Mus. Rhen. XXXIII p. 175 seq. 22 *βίβλιος* AV

ἐπὶ τῶν χρόνων τῶν ἐγγὺς Νέρωνος καὶ παρέτεινεν εἰς μακρόν· ὕπατον γοῦν Σεβῆρον τὸν Ἐρέννιον χρηματίσαντα αὐτὸς εἶναί φησιν, ὅταν ἦγεν ὄγδοον καὶ ἑβδομηκοστὸν ἔτος, ὀλυμπιάδι δὲ κʹ καὶ διακοσιοστῇ. γέγραπται δὲ αὐτῷ περὶ κτήσεως καὶ ἐκλογῆς βιβλίων βιβλία ιβʹ, περὶ πόλεων καὶ οὓς ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε βιβλία λʹ, περὶ τῆς βασιλείας Ἀδριανοῦ, ἐφ' οὗ καὶ ἦν ὁ Φίλων, καὶ ἄλλα.

[ὅτι ὕπατος γέγονεν ὁ Φίλων Ἐρέννιος χρηματίσας, ὡς αὐτός φησι.]

DCCCLI. Φίλων Ἰουδαῖος τεχθεὶς ἐν Ἀλεξανδρείᾳ, γένους ἱερέων, φιλοσοφήσας δὲ τὰ Ἑλλήνων εἰς μέγα προύβη παιδείας, ὡς μετελθεῖν πᾶσαν ἑλληνικὴν παίδευσιν, τήν τε τῶν ἐγκυκλίων καλουμένων καὶ τὰς λοιπὰς ἐπιστήμας, σὺν ἀκριβεῖ καταλήψει. ἐπλούτησέ τε λόγον παρόμοιον Πλάτωνι, ὡς καὶ εἰς παροιμίαν παρ' Ἕλλησι τοῦτο χωρῆσαι 'ἢ Πλάτων φιλωνίζει ἢ Φίλων πλατωνίζει'· τοσαύτη ἐστὶν ὁμοιότης τῆς τε διανοίας καὶ φράσεως τοῦ ἀνδρὸς πρὸς Πλάτωνα. καὶ τοίνυν γέγραπται αὐτῷ βιβλία ἄπειρα, ἐξ ὧν καὶ ταῦτα· περὶ συγχύσεως γλωσσῶν βιβλίον αʹ, περὶ φύσεως καὶ εὑρήματος αʹ, περὶ ὧν κατὰ νοῦν τις εὔχεται αʹ, περὶ παιδεύσεως αʹ, περὶ κληρονόμου τῶν θείων πραγμάτων αʹ, περὶ μερισμοῦ ἴσων καὶ ἐναντίων αʹ, περὶ τῶν τριῶν δυνάμεων, περὶ ἐναλλαγεισῶν παρά τινων, περὶ συνθηκῶν λόγοι βʹ, περὶ βίου φιλοσόφου, περὶ γιγάντων αʹ, περὶ ὀνείρων εʹ, περὶ ζητημάτων καὶ ἑρμηνευμάτων τῆς ἐξόδου εʹ, περὶ τῆς σκηνῆς καὶ δεκαλόγου δʹ, περὶ θυσιῶν, περὶ ὑποσχέσεων ἤτοι καταρῶν, περὶ προνοίας, περὶ Ἰουδαίων αʹ, περὶ ἀγωγῆς

---

1 cf. Niese, Steph. Byz. p. 27 2 *Μάρκον* coni. *Westerm.*, etiamsi verba recte se habent; cf. *Daub*, de Suid. p. 438 not. 28 coll. v. Ἑρμογένης; ὕπατον — διακοσ. om. *Eud.* 3 εἰδέναι et mox ὅτε coni. *Westerm.* αὐτὸς post ὅταν ponit *Müller* 4 olympiadis numerum corruptum esse patet, σκεʹ *Clinton*, Fast. R. a. 47, sed cf. Rohde l. c. 5 ἐπιγράμματα βιβλία δʹ add. *Eud.* βιβλίων om. V 8 de his verbis corruptis cf. Unters. p. 71, Rohde l. c. not. 3 γέγονε δὲ καὶ ὕπατος παρ' αὐτοῦ *Eud.* Cf. v. Ἐρέννιος

DCCCLI *Eud.* p. 721. Pauca praebet *Pseudo-Hes.* c. 74. Cf. etiam Sophronius c. 11, et qua dixi Mus. Rhen. XXXVI p. 627 14 Πλάτωνος *Eud.* 19 αʹ om. *Soph.* 20 εὐχόμεθα καὶ ἀπομαρτυρούμεθα *Soph.* 21 τῶν om. *Soph.* 23 γραφῶν post ἐναλλ. add. *Soph.* 24 φιλοσοφικοῦ *Soph.* περὶ τοῦ τοὺς ὀνείρους παρὰ θεοῦ πέμπεσθαι *Soph.* 27 αʹ om. *Soph.*

βίου, περὶ Ἀλεξάνδρου καὶ περὶ τοῦ ἴδιον λογισμὸν ἔχειν τὰ ἄλογα, περὶ τοῦ πᾶς ἄφρων δοῦλός ἐστι, περὶ τῆς διαγωγῆς τῶν χριστιανῶν, περὶ βίου θεωρητικοῦ, περὶ ἱκετῶν, περὶ γεωργίας λόγοι β', περὶ μέθης β', περὶ τοῦ Μωυσέως βίου, εἰς τὰ χερουβίμ, τουτέστι τὴν φλογίνην ῥομφαίαν, εἰς τὴν πεντάτευχον Μωυσέως καὶ εἰς αὐτὸν τὸν Μωυσῆν λόγοι ε'.

DCCCLII. *Φίλων Καρπάθιος. ἔγραψεν ὑπόμνημα εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων.*

DCCCLIII. *Φιλωνίδης Ἀθηναῖος, κωμικὸς ἀρχαῖος, πρότερον δὲ ἦν γναφεύς. τῶν δραμάτων αὐτοῦ ἦν Κόθορνοι, Ἀπήνη, Φιλέταιρος.*

DCCCLIV. *Φλέγων Τραλλιανός, ἀπελεύθερος τοῦ Σεβαστοῦ Καίσαρος (οἱ δὲ Ἀδριανοῦ φασιν), ἱστορικός. ἔγραψεν Ὀλυμπιάδας ἐν βιβλίοις ιϛ' (ἔστι δὲ μέχρι τῆς σκθ' ὀλυμπιάδος τὰ πραχθέντα πανταχοῦ), τὰ δὲ αὐτὰ ἐν βιβλίοις η', ἔκφρασιν Σικελίας, περὶ μακροβίων καὶ θαυμασίων, περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν βιβλία γ', περὶ τῶν ἐν Ῥώμῃ τόπων καὶ ὧν ἐπικέκληνται ὀνομάτων, ἐπιτομὴν Ὀλυμπιονικῶν ἐν βιβλίοις β' καὶ ἄλλα.*

DCCCLV. *Φοινικίδης κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Φύλαρχος, Μισουμένη, ὡς Ἀθήναιός φησιν ἐν τῷ βιβλίῳ τῶν Δειπνοσοφιστῶν.*

---

1 ὅτι — ἔχει *Soph.* 3 ἡμετέρων pro χριστ. *Soph.*, qui add. περὶ οὗ ἔμπροσθεν εἴπομεν et τοῦτό ἐστι περὶ ἀποστόλων λόγος εἷς 3 alterum περὶ om. *Soph.* 6 De Suidae additamentis dixi Mus. Rhen. XXXV p. 192

DCCCLII om. *Westerm.* De origine Hesychiana nil constat

DCCCLIII *Eud.* p. 725. Tractat Meineke I p. 102 seq. 10 ὃς ἦν *Eud.* δὲ add. **A** γναφεύς **A** *vulg. Eud.** (de quo equidem valde dubito) γραφεύς **V** *Eud.* mox γραμμάτων **V**

DCCCLIV *Eud.* p. 714. Cf. Müller III p. 602, Daub, Stud. p. 26 12 ἀπελ. seq. insigni Suidae errore ortum esse vidit *Vossius* τοῦ Οὐεσπασιανοῦ *K.* coni. *Daub* 13 οἱ δὲ Ἀδρ. φασ. om. *Eud.* Cf. cod. Pal. apud Keller. Rer. nat. script. p. 94: Φλέγοντος ἀπελευθέρου Ἀδριανοῦ Καίσαρος περὶ τῶν ὀλυμπίων 16 ἔκφρασις **V** περὶ θαυμ. *Daub*, sed cf. Keller p. 57 18 hanc epitomen non diversam esse a libro supra memorato τὰ δ' αὐτὰ ἐν βιβλίοις η' vidit *Müller*, itaque aut supra β' pro η' corrigendum, aut hic η' pro β', de quo cf. Rohde, Gr. Roman p. 402 not., priore loco alteram operis divisionem notari censet *Gutschmid*

DCCCLV *Eud.* p. 726. Tractat Meineke I p. 481 21 Φίλαρχος *Eud.* Μισουμένη **A** Μισουμένους **BE** μισούμενος ὡς Ἀθηναῖος *Eud.* μισ. ὡς Ἀθήναιος *Eud.** Cf. Athen. X p. 415, XIV p. 652

DCCCLVI. *Φόρμος Συρακούσιος κωμικός, σύγχρονος Ἐπιχάρμῳ, οἰκεῖος δὲ Γέλωνι τῷ τυράννῳ Σικελίας καὶ τροφεὺς τῶν παίδων αὐτοῦ. ἔγραψε δράματα ζ', ἅ ἐστι ταῦτα· Ἄδμητος, Ἀλκίνους, Ἀλκυόνες, Ἰλίου πόρθησις, Ἵππος, Κηφεὺς ἢ Κεφάλαια, Περσεύς. ἐχρήσατο δὲ πρῶτος ἐνδύματι ποδήρει καὶ σκηνῇ δερμάτων φοινικῶν. [μέμνηται δὲ καὶ ἑτέρου δράματος Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς, Ἀταλάντης.]*

DCCCLVII. *Φρόντων Ἐμισηνὸς ῥήτωρ, γεγονὼς ἐπὶ Σεουήρου τοῦ βασιλέως ἐν Ῥώμῃ. ἐν δὲ Ἀθήναις ἀντεπαίδευσε Φιλοστράτῳ τῷ πρώτῳ καὶ Ἀψίνῃ τῷ Γαδαρεῖ. ἐτελεύτησε δὲ ἐν Ἀθήναις, περὶ ξ' ἔτη γεγονώς, καὶ τῆς ἀδελφῆς Φροντωνίδος παῖδα ὄντα Λογγῖνον τὸν κριτικὸν κατέλιπε κληρονόμον. ἔγραψε δὲ συχνοὺς λόγους.*

DCCCLVIII. *Φρύνιχος Πολυφράδμονος ἢ Μινύρου (οἱ δὲ Χοροκλέους), Ἀθηναῖος τραγικός, μαθητὴς Θέσπιδος τοῦ πρώτου τὴν τραγικὴν εἰσενέγκαντος. ἐνίκα τοίνυν ἐπὶ τῆς ξζ' ὀλυμπιάδος. οὗτος δὲ πρῶτος [ὁ Φρύνιχος] γυναικεῖον πρόσωπον εἰσήγαγεν ἐν τῇ σκηνῇ καὶ εὑρετὴς τοῦ τετραμέτρου ἐγένετο. καὶ παῖδα ἔσχε τραγικὸν Πολυφράδμονα. τραγῳδίαι δὲ αὐτοῦ εἰσιν θ' αὗται· Πλευρωνίαι, Αἰγύπτιοι, Ἀκταίων, Ἄλκηστις, Ἀνταῖος ἢ Λίβυες, Δίκαιοι ἢ Πέρσαι ἢ Σύνθωκοι, Δαναΐδες.*

DCCCLIX. *Φρύνιχος Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευ-*

DCCCLVI *Eud.* p. 725. Cf. Wachsmuth, Symb. p. 142 3 *ζ'* om. **E** *ταῦτα vulg. ἅ ἐστι ταῦτα* **ABV** *εἰσὶ δὲ ταῦτα Eud.* 5 *ἢ Περσεύς* **A** 6 *φοινικῶν Kusterus φοινικοῦς* **AV** *φοινίκων vulg. Eud.* *μέμνηται* — exit. om. *Eud.*, quae Suidam ipsum ex Athen. XIV p. 652 adscripsisse manifestum est

DCCCLVII 10 *τῷ δευτέρῳ* legendum esse monuit *Hemsterhusius*: cf. Rohde, Mus. Rhen. XXXIII p. 173 not. 1 11 *τῆς* add. **ABVE** om. rel.

DCCCLVIII *Eud.* p. 726. Cf. Welcker, Gr. Trag. p. 18. Confundere creditur Hesychius histrionem et tragicum (cf. schol. Ar. Aves 750) 14 *ἢ Μιν. — τοίνυν* om. *Eud.* 16 *στρατηγικὴν* **E** 17 *οε' Meursius*; vulgatam tenet *Clinton* p. 19 Kr. coll. schol. Ar. Ran. 941 *οὗτος — Πολυφρ.* om. *Eud.* pergens *φέρονται αὐτοῦ*; *ὁ Φρύνιχος* lectoris manu addita: cf. v. *Φιλάγριος* 20 *Πλευρωνίαι* corr. *Blomfield* coll. Pausan. X, 31, 4, *Πλευρωνία vulg.* 21 *ἢ Περσ. ἢ Σύνθ.* **ABV**, qua de re cf. Welcker l. c. p. 27, utrumque *ἢ* om. rel. et *Eud.* *Σύνθακοι Kusterus.* Omnino de carminum tabula v. *Wachsmuth*, Symb. p. 150

DCCCLIX *Eud.* l. c. Tractat Meineke I p. 146 seq. Cf. etiam v. *Ὠφελίων* et Meineke I p. 415 23 at peregrinus est schol. Ar. Ran. 14 *ἐπὶ δευτέρων Eud.*

τέρων τῆς ἀρχαίας κωμῳδίας· ἐδίδαξε γοῦν τὸ πρῶτον ἐπὶ πς´ ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ ἐστι ταῦτα· Ἐφιάλτης, Κόννος, Κρόνος, Κωμασταί, Σάτυροι, Τραγῳδοὶ ἢ Ἀπελεύθεροι, Μονότροπος, Μοῦσαι, Μύστης, Ποάστριαι, [Σάτυροι].

DCCCLX. Φρύνιχος Βιθυνὸς σοφιστής. Ἀττικιστὴν ἢ περὶ Ἀττικῶν ὀνομάτων βιβλία β´, τιθεμένων συναγωγήν, σοφιστικῆς παρασκευῆς βιβλία μξ´, οἱ δὲ οδ´.

DCCCLXI. Φρύνιχος Μελανθᾶ Ἀθηναῖος τραγικός. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ καὶ τάδε· Ἀνδρομέδα, Ἠριγόνη. |ἐποίησε καὶ πυρρίχας|.

[ὅτι Φρύνιχον Ἀθηναῖοι χιλίαις ἐζημίωσαν ἅλωσιν Μιλησίων τραγῳδήσαντα.]

DCCCLXII. Φύλαρχος Ἀθηναῖος ἢ Ναυκρατίτης, οἱ δὲ Σικυώνιον, ἄλλοι δὲ Αἰγύπτιον ἔγραψαν, ἱστορικός. τὴν ἐπὶ Πελοπόννησον Πύρρου τοῦ Ἠπειρώτου στρατείαν ἐν βιβλίοις κη´ (κατάγει δὲ καὶ μέχρι Πτολεμαίου τοῦ Εὐεργέτου κληθέντος καὶ τῆς Βερενίκης τελευτῆς, καὶ ἕως τοῦ θανάτου Κλεωνύμου τοῦ Λακεδαιμονίου, ἐπιστρατεύσαντος αὐτῷ Ἀντιγόνου, τὰ κατὰ Ἀντίοχον καὶ τὸν Περγαμηνὸν Εὐμένη), ἐπιτομὴν μυθικήν, περὶ τῆς τοῦ Διὸς ἐπιφανείας, περὶ εὑρημάτων, παρεκβάσεων βιβλία θ´.

---

2 πζ´ corr. *Clinton* p. 63 Kr. coll. v. Ἀριστομένης probante *Meinekio* 4 *Μύσται Suidas* et *Phot.* v. τευτάζειν Ποαστρίαι pars libr. *Eud.* *Προάστριαι Westerm.* (error typogr.?) Σάτυροι hic. om. *Eud.*; male repetitum esse vidit *Meineke*, ordinem restituit *Wachsmuth*, Symb. p. 151

DCCCLX *Eud.* p. 717 5 Ἀττικιστής — et infra συναγωγή cum det. Suid. libr. *Bernhardy* Ἀττικιστὴν — συναγωγήν *Westerm.* ἔγραψε περὶ Ἀττικῶν om. Ἀττικ. ἢ *Eud.* quae s. fin. om. μζ´ οἱ δὲ

DCCCLXI *Eud.* p. 726. Cf. Welcker, Gr. Trag. p. 19. Haec in schol. Ar. Vesp. 1481 intulit Musurus. Ex uno poeta tragico duos factos esse monuit *Welcker* 9 his duabus novenarium tragoediarum Phryn. numerum supra indicatum compleri observat *Gutschmid* 10 πυρρίχαι ad histrionem spectare creduntur, de quibus cf. Aelian. V. Hist. III, 8 11 de additamento dixi Mus. Rhen. XXXV p. 224. Ἀθηναῖοι A corr. *Kusterus* et *Musurus*; legebatur Πέρσαι

DCCCLXII *Eud.* p. 714. Tractant Clinton III p. 41 et 519; Müller I p. LXXVII; Daub, Stud. p. 27 14 ἄλλοι seq. iniuria removit *Daub* ἀνέγραψαν mavult *Bernhardy* 15 στρατιὰν BVE Ald. *Eud.* 16 κατάγειον V κατάγει — Εὐμένη omnia ad historias Phylarchi spectare, quas supra τὴν — στρατείαν — κη´ dixerit, probabile est 18 seq. errata Hesychii e memoria citantis esse monuit *Gutschmid* Κλεωνύμου *vulg.* *Eud.* Κλεομένους coni. *Vossius* 20 ἀπὸ τῆς *Brückner*, Phyl. fr. p. 8 post μυθικήν recte distinxerunt *Bernhardy* al. interp. om. *Gaisford*,

DCCCLXIII. *Φωκυλίδης Μιλήσιος, φιλόσοφος, σύγχρονος Θεόγνιδος· ἦν δὲ ἑκάτερος μετὰ χμζ' ἔτη τῶν Τρωικῶν, ὀλυμπιάδι γεγονότες νθ'. ἔγραψεν ἔπη καὶ ἐλεγείας, [παραινέσεις ἤτοι γνώμας, ἅς τινες κεφάλαια ἐπιγράφουσιν, εἰσὶ δὲ ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμένα.]*

DCCCLXIV. *Χαιρεφῶν Ἀθηναῖος, τῶν δήμων Σφήττιος, φιλόσοφος, Σωκράτους ἀκουστής.*

DCCCLXV. *Χαιρήμων τραγικός. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· Τραυματίας, ὡς Ἀθήναιός φησιν, καὶ Οἰνεὺς καὶ Ἀλφεσίβοια καὶ Κένταυρος καὶ Διόνυσος καὶ Ὀδυσσεὺς καὶ Θυέστης καὶ Μινύαι.*

καὶ ἕτερος Χαιρήμων γράψας Ἱερογλυφικά.

DCCCLXVI. *Χάραξ Περγαμηνὸς ἱερεὺς καὶ φιλόσοφος, ὡς εὗρον ἐν ἀρχαίῳ βιβλίῳ ἐπίγραμμα οὕτως ἔχον 'εἰμὶ Χάραξ ἱερεὺς γεραρῆς ἀπὸ Περγάμου ἄκρης, ἔνθα ποτὲ πτολέμιξεν Ἀχιλλῆι πτολιπόρθῳ Τήλεφος Ἡρακλῆος ἀμύμονος υἱὸς*

Westerm. 21 *παρεμβάσεων* libri, *παρεκβάσεων Sevinus*, quod probavit *Gutschmid*, de digressionibus ex historiis compilatis cogitans, *παρεμφάσεων Westerm. περὶ εὑρημάτων παρέκβασιν βιβλίῳ θ' Brückner* p. 9. Codicum lectio sane corrupta est *καὶ ἄλλα τινά* add. *Eud.*

DCCCLXIII *Eud.* p. 722. Tractant Clinton p. 9 Kr., Rohde, Mus. Rhen. XXXIII p. 170 not. 1 an *φιλ. καὶ λυρικός?* 2 *χμγ'* coni. *Gutschmid* 4 *ἅς τινας vulg. Eud. ἅ τινες* **A** *ἅς τινες* **B** 4 seq. Bleekii comm. prior. de carm. Sib. p. 185 laudavit *Bernhardy*. Scilicet Pseudophocylidis *Νουθετικόν* partim ab interpolatore intrusum est in collectionem Sibyllinorum (II, v. 56—148), quae cum Iustiniani demum temporibus confecta sit, num Hesychii verba sint, merito dubitatur

DCCCLXIV Cf. Diog. II, 37 et schol. Ar. Nub. 144. Aliunde fluxit schol. Platon. VI p. 228. De Hesychio non constat 6 *τὸν δῆμον*, ut solet, *vulg.*

DCCCLV *Eud.* p. 740. Tractant Welcker, Gr. Trag. p. 1086; Meineke I p. 517 seq.; Nauck, fr. trag. p. 606 8 *κωμικός* libri et *Eud. τραγικὸς* corr. *Cuperus*, quode cf. Daub, Annal. ph. 1881 p. 259 9 *Ὀδυσσεὺς τραυμ.* corr. *Reinesius* coll. Arist. Poet. XIV, 6 probante *Meinekio ὡς — φησιν* om. *Eud.* Cf. Athen. XIII p. 562. Sed eadem verba rectius s. fin. vitae ponuntur, cum totam tabulam de Athenaeo pendere viderit *Wachsmuth*, Symb. p. 150 n. 40 9 *Οὐρεὺς vulg. Eud. Οἰνεὺς* **ABCE**. Cf. Athen. XIII p. 608 11 De altero Chaer. Aegyptio cf. v. *Διονυσ. Ἀλ.* et *Αἰγ.* Tractat Müller III p. 495 *Ἱερογλυφικά* et *ἱερὰ γράμματα* laudata a *Tzetza* Hist. V, 403 (Müller p. 499) non diversa fuisse patet

DCCCLXVI *Eud.* p. 742. Cf. Müller III p. 636 14 cf. Anth. Pal. app. 157; *ὡς — ἀμύμων* de Hesychiana origine dubitat *Daub*, Stud. p. 136

ἀμύμων'. ἔστι δὲ τῶν κατ' Αὔγουστον πολλῷ νεώτερος· μέμνηται γοῦν ἐν τῷ β' τῶν βιβλίων Αὐγούστου ὡς πάλαι γενομένου Καίσαρος, καὶ ἐν τῷ ζ' Νέρωνος καὶ τῶν μετ' αὐτὸν βασιλευσάντων. ἔγραψεν Ἑλληνικῶν τε καὶ ⟨Ἰταλικῶν⟩ ἱστοριῶν βιβλία μ'

DCCCLXVII. *Χαρίτων* [*Χαρίτωνος ὄνομα κύριον*]...

DCCCLXVIII. *Χάρων Λαμψακηνός, υἱὸς Πυθοκλέους, γενόμενος κατὰ τὸν πρῶτον Δαρεῖον, ξθ' ὀλυμπιάδι (μᾶλλον δὲ ἦν ἐπὶ τῶν Περσικῶν, κατὰ τὴν οε' ὀλυμπιάδα), ἱστορικός. ἔγραψεν ‖Αἰθιοπικά‖, Περσικὰ ἐν βιβλίοις β', Ἑλληνικὰ ἐν βιβλίοις δ', περὶ Λαμψάκου β', |Λιβυκά|, ὥρους Λακεδαιμονίων ἐν βιβλίοις δ', πρυτάνεις ἢ ἄρχοντας τοὺς τῶν Λαμψακηνῶν (ἔστι δὲ χρονικά), κτίσεις πόλεων ἐν βιβλίοις β', |Κρητικὰ ἐν βιβλίοις γ' (λέγει δὲ καὶ τοὺς ὑπὸ Μίνωος τεθέντας νόμους), περίπλουν τῶν ἐκτὸς τῶν Ἡρακλείων στηλῶν|.*

DCCCLXIX. *Χάρων Καρχηδόνιος ἱστορικός. ἔγραψε τυράννους, ὅσοι ἐν τῇ Εὐρώπῃ καὶ Ἀσίᾳ γεγόνασι, βίους ἐνδόξων ἀνδρῶν ἐν βιβλίοις δ', βίους ὁμοίως γυναικῶν ἐν δ'.*

DCCCLXX. *Χάρων Ναυκρατίτης ἱστορικός. ἱερεῖς τοὺς*

---

1 *κατ' Αὔγουστον* recte *Kusterus* *μετὰ Αὔγ.* **ABE** *vulg. Eud.* 4 *τε καὶ* post *Ἑλλην.* add. **AB** *τε καὶ Ἰταλικῶν* coni. *Westerm.* coll. Eustath. Il. p. 734, quod recepi, suasore *Gutschmidio*, qui eidem operi fr. 41—42 vindicat; *ἱστοριῶν* suspect. *Daubio* 5 *καὶ πολλὰ φιλόσοφα, ἐν οἷς καὶ συμφ. — λόγια* ex Procli vita add. *Eud.*

DCCCLXVII fortasse ad eum spectat, qui exeunte quinto vel ineunte sexto saeculo vixit: cf. Rohde, Gr. Roman p. 489

DCCCLXVIII *Eud.* p. 739. Cf. Müller I p. XVI, Daub, Stud. p. 28 8 *Ἀρταξέρξην* pro *Δαρεῖον* debebat nominare *ξθ'* corr. *Creuzer,* probante *Clinton.* p. 21 Kr. *οθ'* *vulg.* 10 *Αἰθιοπικά* Naucratitae dedit *Gutschmid*, idem *Λιβυκά* Carthagiensis esse nec diversa a libro *περίπλους*; nec minus *Κρητικά* Carthaginiensis esse docuit Phil. X p. 524. Naucratitae vel Carthaginiensis esse *Αἰθιοπικά* sive *Λιβυκά Κρητικά, περίπλουν* putavit *Müller* 11 *Λιβυκά γ' Eud.* numerum casu apud Suidam intercidisse putavit *Daub,* de Viol. p. 8 *ὅρους* libri *ὥρους* *Schweighaeuser* ex Athen. II p. 645 *Λακεδαιμονίων* pro *Λαμψ. Müller, Gutschmid*, uterque *ὥρως* pro iisdem habens cum *Ἑλληνικοῖς*, et infra *Λαμψακηνῶν* pro *Λακ. Gutschmid*; idem *καὶ* olim ante *κτίσεις* fuisse putat, *πρυτάνεις* seq. non diversum esse ab altero nec *κτίσεις π.* a priore librorum *περὶ Λαμψάκου* ratus 15 de titulo v. *Σκύλαξ*; *τῶν* corr. *Gutschmid* *τὸν* *vulg.*

DCCCLXIX *Eud.* p. 739. Cf. Müller IV p. 360 17 *περὶ τυράννων — γεγονότων Eud.*

DCCCLXX *Eud.* p. 740. Cf. Müller IV p. 360 et III p. 495, ubi coni. *Χαιρήμων?* 19 *Χείρων* errans *Villois.* (in *Eud.*) *Χάρων* cod. *Eud.*

ἐν Ἀλεξανδρείᾳ καὶ τοὺς ἐν Αἰγύπτῳ καὶ τὰ ἐπὶ ἑκάστου πραχθέντα, |βασιλεῖς τοὺς ἐκ παλαιοῦ γεγονότας ἐν ἑκάστῳ ἔθνει|, καὶ περὶ Ναυκράτεως καὶ ἄλλα τινὰ περὶ Αἰγύπτου.

DCCCLXXI. *Χείρων Κένταυρος, ὃς πρῶτος εὗρεν ἰατρικὴν διὰ βοτανῶν, ὑποθήκας δι' ἐπῶν, ἃς ποιεῖται πρὸς Ἀχιλλέα, καὶ ἱππιατρικόν· διὸ καὶ Κένταυρος ὠνομάσθη.*

DCCCLXXII. *Χίλων [Χίλωνος] Δαμαγήτου Λακεδαιμόνιος, εἷς τῶν ζ' σοφῶν· ὃς ἦν βραχυλόγος. ὅθεν Ἀρισταγόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χιλώνειον καλεῖ.*

DCCCLXXIII. *Χιωνίδης Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ὃν καὶ λέγουσι πρωταγωνιστὴν γενέσθαι τῆς ἀρχαίας κωμῳδίας, διδάσκειν δὲ ἔτεσιν η' πρὸ τῶν Περσικῶν. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· Ἥρωες, Πτωχοί, Πέρσαι ἢ Ἀσσύριοι.*

DCCCLXXIV. *Χοιρίλος Ἀθηναῖος τραγικός, ξδ' ὀλυμπιάδι καθεὶς εἰς ἀγῶνας [καὶ] ἐδίδαξε μὲν δράματα ξ' καὶ ρ', ἐνίκησε δὲ ιγ'. οὗτος κατά τινας τοῖς προσωπείοις καὶ τῇ σκευῇ τῶν στολῶν ἐπεχείρησε.*

DCCCLXXV. *Χοιρίλος Σάμιος, |τινὲς δὲ Ἰασέα|, ἄλλοι*

---

1 *ἔγραψεν ἱστορίαν περὶ τῶν ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Αἰγύπτῳ ἱερέων καὶ τῆς διαδοχῆς αὐτῶν καὶ περὶ τῶν ἐπὶ ἑκάστου πραχθέντων, περὶ βασιλέων τῶν ἐκ παλαιοῦ γεγονότων ἐν ἑκάστῳ ἔθνει καὶ ἄλλα τινὰ περὶ Αἰγύπτου καὶ Ναυκράτεως Eud.*, quode cf. Unters. p. 44 2 *βασιλεῖς* seq. monente *Gutschmidio* melius Carthaginiensi tribuuntur, cuius in vita sub altero titulo laudantur *τύραννοι, ὅσοι — γεγόνασι*

DCCCLXXI *Eud.* p. 743. De erratis in articulo v. Unters. p. 99 not. 2. Cf. v. *Πολύευκτος, Πύρρων* 4 *πρῶτον* **A** 5 *ποιεῖται* **ABE** *πεποίηται Toupius* 6 *ἱππιατρικῶν* una *Eud. ἱππιατρικὴν* **E**

DCCCLXXII Cf. Diog. I, 68. Dixi de hac vita Mus. Rhen. XXXV p. 224 7 de gen. cf. *Νύμφις* al. *Δημαγήτου* **E** 9 huic alteram Suidae glossam subiungi descriptam ex Diog. I, 72 vidit *Bernhardy*. *Δημαγήτου* **E**

DCCCLXXIII *Eud.* p. 740. Cf. Meineke I p. 27 seq. 10 *τ. ἀρχ. κωμ.* iniuria expunxit *Bekker* 12 *ἔτεσιν η'* suspectum *Meinekio* coll. Aristot. Poet. III, 5, nihil dubitat *Clinton* p. 29 Kr.

DCCCLXXIV om. *Westerm. Eud.* p. 741. Cf. Clinton p. 15 Kr. 16 *καθεὶς* corr. *Kusterus καὶ vulg. Eud.* *καὶ* ante *ἐδίδ.* om. *Eud.* *πεντήκοντα* **E Ald.** *Eud.* *ξ'* **B** *ἑξήκοντα* ex *Par. Kusterus* 17 *ρ'* pro *ιγ' Eud.*, quod vitiosum esse patet; an *γ'*? 18 *σκευῇ* corr. *Kusterus σκηνῇ vulg.*

DCCLXXV *Eud.* p. 742. Cf. Steph. Byz. v. *Ἴασος*. Tractat Naeke, Choeril. p. 81 seq., qui confusos docet Samium et Iasensem, Alexandri Magni aequalem (cf. etiam Daub, de Suid. p. 415). Itaque uncis circumsepsi ea, quae ad iuniorem spectare constat. Cf. Kinkel, ep. fr. I

δὲ Ἁλικαρνασσέα ἱστοροῦσι. γενέσθαι δὲ κατὰ Πανύασιν τοῖς χρόνοις, ἐπὶ δὲ τῶν Περσικῶν ὀλυμπιάδι οε' νεανίσκον ἤδη εἶναι. δοῦλόν τε Σαμίου τινὸς αὐτὸν γενέσθαι, εὐειδῆ πάνυ τὴν ὥραν, φυγεῖν τε ἐκ Σάμου, καὶ Ἡροδότῳ τῷ ἱστορικῷ παρεδρεύσαντα λόγων ἐρασθῆναι, οὗ τινος αὐτὸν καὶ παιδικὰ γεγονέναι φασίν. ἐπιθέσθαι δὲ ποιητικῇ καὶ τελευτῆσαι ἐν Μακεδονίᾳ παρὰ Ἀρχελάῳ τῷ τότε αὐτῆς βασιλεῖ. ἔγραψε δὲ ταῦτα· τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου, |ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα χρυσοῦν ἔλαβε| καὶ σὺν τοῖς Ὁμήρου ἀναγινώσκεσθαι ἐψηφίσθη, |Λαμιακά|. καὶ ἄλλα τινὰ ποιήματα αὐτοῦ φέρεται.

DCCCLXXVI. *Χριστόδωρος Πανίσκου, ἀπὸ Κοπτοῦ πόλεως τῆς Αἰγύπτου, ἐποποιός, ἤκμαζεν ἐπὶ τῶν Ἀναστασίου τοῦ βασιλέως χρόνων. ἔγραψεν Ἰσαυρικὰ ἐν βιβλίοις ς' (ἔχει δὲ τὴν Ἰσαυρίας ἅλωσιν τὴν ὑπὸ Ἀναστασίου τοῦ βασιλέως γενομένην), πάτρια Κωνσταντινουπόλεως ἐπικῶς βιβλία ιβ', πάτρια Θεσσαλονίκης ἐπικῶς βιβλία κε', πάτρια Νάκλης (ἔστι δὲ πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα Ἄφακα), πάτρια Μιλήτου τῆς Ἰωνίας, πάτρια Τράλλεων, πάτρια Ἀφροδισιάδος, ἔκφρασιν τῶν ἐν τῷ Ζευξίππῳ ἀγαλμάτων καὶ ἄλλα πολλά.*

DCCCLXXVII. *Χριστόδωρος Θηβαῖος, Ἰλλούστριος.*

---

p. 265 19 *κατὰ δέ τινας Ἰασεὺς ἢ* (*Ἰσεὺς ἡ* cod.) *Ἀλ. γέγονε δὲ κατὰ Πανύασιν τοῖς χρόνοις Eud.* pergens *ἔγραψε δὲ ἐπιστολὰς πολλὰς καὶ ἐπιγράμματα καὶ κωμῳδίας,* quae ad poetas Christodorum et Chionidam spectare dixi in appar. *Eud.* l. c. 3 *δοῦλον*: *Wachsmuth*, Symb. p. 141 5 *παρεδρεύσαντι* **EM** 8 Compilavit *Pseudo-Hes.* c. 77 10 *καταγινώσκεσθαι* **B** *Λαμιακά* ad bellum Lamiacum et Iasensem rettulit *Naeke* p. 101 *Σαμιακά* praefert *Daub*

DCCCLXXVI *Eud.* p. 741. Tractat Müller IV p. 360. Cf. Suidas v. *Ζεύξιππος. ὅτι Χριστόδωρος ἐποποιὸς ἔγραψεν Ἔκφρασιν ἀγαλμάτων τοῦ Ζευξίππου.* De statuarum ecphrasi v. Lange, Mus. Rhen. XXXV p. 110 seq. 16 post *γενομένην* add. *Eud. ἐπιγραμμάτων βιβλία γ', ἐπιστολῶν δ'*, quorum alterum ex Anthologia Planudea sumpsisse, alterum eam omnino finxisse odoratur *Pulch* p. 90; pergit *Eud. ἔκφρασιν τῶν ἐν τῷ Ζευξίππῳ* seq. Sed epigrammata Christodorum scripsisse constat. Cf. Jacobs, Anth. XI p. 198. Ceterum Thebano ecphrasin dat librarius cod. Anthol. apud Jacobs. VI p. LXV: *Χριστοδώρου ποιητοῦ Θηβαίου ἔκφρασις τῶν ἀγαλμάτων τῶν εἰς τὸ δημόσιον γυμνάσιον τοῦ ἐπικαλουμένου Ζευξίππου.* Cf. Jacobs XIII p. 871 *ἐπικῶς* ex **ABE** add. *Kusterus* 18 *Ἄφακα* **AE** *Ἄλφακα vulg. Eud.* 20 *ἐν τῷ γυμνασίῳ τοῦ Ζευξίππου Kusterus τῶν ἐν τῷ Ζευξίππου Daub καὶ ἄλλα πολλά* om. *Eud.*

DCCCLXXVII *Eud.* l. c. De Illustri titulo cf. v. *Προκόπιος*

ἔγραψεν Ἰξευτικὰ δι' ἐπῶν καὶ θαύματα τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

DCCCLXXVIII. Χρύσιππος Ἀπολλωνίδου Σολεὺς ἢ Ταρσεύς, φιλόσοφος, μαθητὴς Κλεάνθους, καθηγησάμενος τῆς Στωικῆς σχολῆς μετὰ Κλεάνθην, καὶ τελευτήσας ο' καὶ γ' ἐτῶν ὑπὸ τοῦ πιεῖν ἄκρατον καὶ ἰλιγγιᾶσαι, κατὰ δὲ ἄλλους ὑπὸ γέλωτος ἀπείρου, ἐπὶ ρμγ' ὀλυμπιάδος. συντέταχε δὲ βιβλία πλείω ἢ ψ', φιλόσοφά τε καὶ ἱστορικὰ καὶ γραμματικά.

DCCCLXXIX. Ὠλὴν Δυμαῖος ἢ Ὑπερβόρειος ἢ Λύκιος, ἐποποιός, μᾶλλον δὲ Λύκιος ἀπὸ Ξάνθου, ὡς δηλοῖ Καλλίμαχος καὶ ὁ Πολυίστωρ ἐν τοῖς περὶ Λυκίας.

DCCCLXXX. Ὡραπόλλων Φενεβήθεως, κώμης τοῦ Πανοπολίτου νομοῦ, γραμματικός, διδάξας ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Αἰγύπτῳ, εἶτα ἐν Κωνσταντινουπόλει ἐπὶ Θεοδοσίου. ἔγραψε τεμενικά, ὑπόμνημα Σοφοκλέους, Ἀλκαίου, εἰς Ὅμηρον.

DCCCLXXXI. Ὡρίων Θηβαῖος τῆς Αἰγύπτου. συναγωγὴν γνωμῶν, ἤγουν ἀνθολόγιον πρὸς Εὐδοκίαν τὴν βασιλίδα, γυναῖκα Θεοδοσίου τοῦ μικροῦ, βιβλία γ'.

DCCCLXXXII. Ὡρίων Ἀλεξανδρεὺς γραμματικός. |ἀνθολόγιον|, Ἀττικῶν λέξεων συναγωγήν, περὶ ἐτυμολογίας, ἐγκώμιον Ἀδριανοῦ τοῦ Καίσαρος.

---

1 *μαρτύρων* pro *ἀναργ.* coni. *Kusterus,* librorum lectionem merito defendit *Fabricius*

DCCCLXXVIII *Eud.* p. 743. Pendet de Diog. VII, 179 seq., 184 seq. Cf. Clinton p. 197 Kr. 3 *Ἀπολλωνίου Diogenes* 6 *γλυκὺν ἄκρατον Diog.* Inde epigr. Jacobs. Anthol. Gr. III, 706 7 *συνέταχε δὲ* **A** 8 *πλεῖον* **BE** *πλείων* **M Ald.** Adscripsit Suidas nonnulla ex *Diogene*

DCCCLXXIX Cf. Bernhardy, Gr. Lit. I[4] p. 354 10 Callim. hymn. Del. 305 11 Müller III p. 236 (fr. 85) *Λυκίαν* **E**

DCCCLXXX om. *Westerm.* Steph. Byz. v. *Φενέβηθις*. De Hesychio iniuria dubitat *Daub*, Stud. p. 129 12 scripsi cum Stephano, *Φαινεβύθεως* libri 13 *τῇ ἐν Αἰγ.* eleganter *Kusterus*, sed *Αἴγυπτον* hic *χώραν* esse monet *Gutschmid* 15 His adiungi apud Suidam ex Damascio Phot. excerpta dixi Mus. Rhen. XXXV p. 225; cf. etiam Phot. p. 536 a

DCCCLXXXI Haec sic constituit *Bernhardy*: *Ὡρίων Ἀλεξανδρεὺς ἢ Θηβαῖος τῆς Αἰγύπτου, γραμματικός. συναγωγὴν γνωμῶν — βιβλία γ', Ἀττικῶν — Καίσαρος*; sed cf. Schneidew. Coni. crit. p. 39 17 *βασιλίδα* **AE** *βασιλέως vulg.*

DCCCLXXXII 19 *ἀνθολόγιον* ex priore vita desumptum et infra v. *Ὧρος* occurrit

DCCCLXXXIII. Ὧρος Ἀλεξανδρεὺς γραμματικός, παιδεύσας ἐν Κωνσταντίνου πόλει. ἔγραψε περὶ διχρόνων, ὅπως τὰ ἐθνικὰ λεκτέον, λύσεις προτάσεων τῶν Ἡρωδιανοῦ, πίνακα τῶν ἑαυτοῦ, περὶ ἐγκλιτικῶν μορίων, ὀρθογραφίαν κατὰ στοιχεῖον, περὶ τῆς ει διφθόγγου, ὀρθογραφίαν περὶ τῆς αι διφθόγγου κατὰ Φρυνίχου κατὰ στοιχεῖον, |ἀνθολόγιον περὶ γνωμῶν|.

DCCCLXXXIV. Ὠφελίων κωμικός. μέμνηται αὐτοῦ καὶ Ἀθήναιος ἐν τῷ β' βιβλίῳ τῶν Δειπνοσοφιστῶν, φησὶ δὲ τῶν δραμάτων αὐτοῦ εἶναι ταῦτα· Δευκαλίωνα, Κάλλαισχρον, Κένταυρον, |Σατύρους, Μούσας, Μονότροπον.|.

DCCCLXXXIII Tractat Ritschl de Oro et Orione p. 5 (Op. I p. 624) 1 *Μιλήσιος Bernhardy*, utrumque distinguit *Ritschl* 5 *ὀρθογραφίαν* susp. *Daubio* 6 *ἀνθολόγιον γνωμῶν* vel *ἀνθ. ἢ περὶ γνωμῶν Kusterus ἀνθολόγιον, περὶ γνωμῶν Toupius.* Hunc titulum, quem in Orum omnino non convenire vidit *Bernhardy*, seiunxi utpote ex Orionis vita illapsum

DCCCLXXXIV Cf. Meineke I p. 415 9 Athen. II p. 43 et p. 66, qui tantum laudat *Κάλλαισχρον* III p. 106, ibidemque *Ἰάλεμος* 11 Quas seclusi fabulas Phrynichi esse, monuit *Meineke*, negat *Daub*, Annal. phil. 1881 p. 264 *Μονότροπον* corr. *Toupius* (cf. v. *Φρύνιχος*) *Μονοτρόπους* libri.

APPENDIX PSEUDOHESYCHIANA

I.

Vitae Apollonii et Herodiani

Ἀπολλώνιος οὗτος Ἀλεξανδρεὺς μὲν ἦν τὸ γένος, μητρὸς μὲν Ἀριάδνης, πατρὸς δὲ Μνησιθέου. ἔσχε δὲ υἱὸν Ἡρωδιανὸν γραμματικόν. ᾤκει δὲ ἐν τῷ Προυχείῳ περὶ τὸν δρόμον ἐν τόπῳ οὕτω καλουμένῳ περὶ τὴν Ἀλεξάνδρειαν, ἔνθα καὶ ἐτάφη. ἔγραψε δὲ καὶ περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου καὶ περὶ συντάξεως. ἐκλήθη δὲ Δύσκολος, ἐπεὶ καὶ δυσχερής ἐστι κατὰ τὴν φράσιν (δι' ὀλίγων γὰρ λέξεων πολλὰ παριστᾷ νοήματα) ἢ ὅτι κακότροπος ἦν, ἢ ὅτι ἐν ταῖς γυμνασίαις δυσλύτους ἀπορίας ἔλεγεν. ἔθος γὰρ ἦν τοῖς ἀρχαίοις σοφοῖς, εἰς ἕνα τόπον συνέρχεσθαι καὶ γυμνασίας χάριν αἰνιγματώδεις τινὰς καὶ ἀσαφεῖς λόγους φθέγγεσθαι. τοσοῦτον δὲ ἦν πένης ὁ Ἀπολλώνιος, ὡς ἐν ὀστράκῳ γράφειν τὰ ἑαυτοῦ συγγράμματα διὰ τὸ μὴ εὐπορεῖν χάρτας πρίασθαι. ἐπαίδευσε δὲ τὸν υἱὸν αὐτοῦ Ἡρωδιανὸν τοσοῦτον, ὅσον τὰ τέλη τῆς παιδεύσεως εἰληφότα ἀποστῆναι ἀπ' αὐτοῦ διὰ τὸ ἐκείνου σκληρὸν ἢ διὰ τὸ μητρυιὰν αὐτῷ ἐπεισαγαγεῖν. ἀφίκετο δὲ εἰς Ῥώμην ἐπὶ Μάρκου Ἀντωνίνου [καὶ διέγραψεν ἐκεῖσε τὰ κάλλιστα] καὶ τοσοῦτον ⟨ηὐδοκίμησεν⟩, ὅσον καὶ φίλος τῷ Μάρκῳ γέγονεν. ἔνθα καὶ τὴν

---

1 *ὁ Ἡρωδιανὸς υἱὸς μὲν γέγονεν Ἀπολλωνίου ἐπίκλην Δυσκόλου τοῦ καὶ εἰς τὰ ὀκτὼ μέρη συγγραψαμένου καὶ εἰς τὴν σύνταξιν. τῷ γένει δὲ ἦν Ἀλεξανδρεὺς καὶ ᾤκει ἐν Πρ. — ἐτάφη. ἐκλήθη δὲ πατὴρ αὐτοῦ Ἀπ. Δυσκ.* seq. *Par.* in quo desunt *οὗτος Ἀλ. — Μνησιθέου* 3 *τῇ* ante *Προυχείῳ* add. cod. Sylb. om. *Par.* *τῷ* scripsi · 6 *ἐπειδὴ δυσχ. Par.* 7 *γὰρ* cod. *Sylb.*, *δὲ Sylb.* 8 *ἐν ταῖς γυμν.* etiam *Par.* 11 *ἀσαφεῖς λόγους Par. ἀσ. λέξεις* cod. *Sylb.* 14 *πριάσασθαι Par. ὁ γοῦν Ἡρ. παιδευθεὶς — εἰληφὼς — ἀπέστη Par.* 16 *διὰ τὸ ἐκείνου σκληρὸν Par. διὰ τὸν οἰκεῖον κλῆρον Sylb.* 17 *ἐπεισαγαγεῖν Par. ἐπισυναγαγεῖν Sylb.* fort. corr. *ὃς* vel *οὗτος ἀφίκετο*, deinde *ἐν Ῥώμῃ Par.* 18 *καὶ διεγρ. — κάλλιστα* om. *Par.* fort. *καὶ δὴ ἔγραψε; ηὐδοκίμησεν* supp. *Rohde* mox corr. *φίλον — γεγονέναι*

μερικὴν προσῳδίαν καὶ τὴν καθολικὴν συνεγράψατο, ὑπὸ τοῦ αὐτοῦ αὐτοκράτορος παρακληθείς. καθολικὴ δὲ λέγεται, ὅτι ἀπὸ μονοσυλλάβου λέξεως ἕως ἑξασυλλάβου παραλαμβάνει. ἐν ᾗ μετὰ τὸ πρὸς Μάρκον προοίμιον οὕτω τὴν προσῳδίαν ὁρίζεται. [καὶ τοσαῦτα μὲν περί τε Ἀπολλωνίου καὶ Ἡρωδιανοῦ.]

II.

Vita Claudii Ptolemaei

Οὗτος ὁ Πτολεμαῖος κατὰ τοὺς Ἀδριανοῦ μὲν ἤνθησε χρόνους, διήρκησε δὲ καὶ μέχρι Μάρκου καὶ Ἀντωνίνου, ᾧ χρόνῳ καὶ Γαληνὸς ἰατρικῇ διεφαίνετο· καὶ Ἡρωδιανὸς ὁ γραμματικὸς καὶ Ἑρμογένης ὁ περὶ τέχνης γράψας ῥητορικῆς. πρῶτος δὲ παρ' Ἕλλησιν ὁ Χίος Οἰνοπίδης τὰς ἀστρολογικὰς μεθόδους ἐξήνεγκεν εἰς γραφήν. ἐγνωρίζετο δὲ κατὰ τὰ τέλη τοῦ Πελοποννησιακοῦ πολέμου καθ' ὃν καιρὸν καὶ Γοργίας ὁ ῥήτωρ ἦν καὶ Ζήνων ὁ Ἐλεάτης καὶ Ἡρόδοτος, ὥς ἔνιοί φασι⟨ν⟩, ὁ ἱστορικός, ὁ Ἁλικαρνασσεύς. μετὰ δὲ τὸν Οἰνοπίδην Εὔδοξος ἐπὶ ἀστρολογίᾳ δόξαν ἤνεγκε⟨ν⟩ οὐ μικράν, συνακμάσας Πλάτωνι τῷ φιλοσόφῳ καὶ Κτησίᾳ τῷ Κνιδίῳ ἰατρικήν τε ἀσκοῦντι καὶ ἱστορίας ἀναγράφοντι.

III.

Vita Oppiani

Ὀππιανὸς ἀπὸ Κωρύκου, πόλεως Κιλικίας, πατρὸς εὐγενοῦς καὶ πλουσίου ἐξορισθέντος ὑπὸ τοῦ βασιλέως, γραμματικὸς καὶ ἐποποιὸς ἐπὶ Μάρκου Ἀντωνίνου γεγονώς· πρὸς ὃν ἔγραψε τὰ ἑαυτοῦ ποιήματα ἁλιευτικῶν βιβλία πέντε, κυνηγετικῶν βιβλία δ', ἰξευτικῶν δ'. [ἐδωρήσατο δὲ ταῦτα τῷ

---

1 *μετρικὴν Par. Ὁμηρικὴν* recte coni. *Osannus* *τοῦ αὐτοῦ αὐτοκρ. Par.*, in cod. *Sylb. αὐτοῦ* propter sequentium literarum similitudinem excidit 2 *καθόλου* cod. *Sylb.* 3 *ὡς ἑξασ. Par., ἕως δισ. Sylb.* 5 *καὶ* — fin: om. *Par.*

II 7 *τοῦ — χρόνον Lentz.* Hadriani memoriam om. *Suidas* 16 *ἀστρολογίαν* et infra *Κτησιάδι* cod.

III 20 *ἀπὸ* cod. Ceterum cf. Westerm. p. 64, 4 *τὰ μὲν ἄλλα πλούσιος* et 13 *ἐν τῇ νήσῳ — ἐξώρισεν* *γραμμ. καὶ ἐπ., γεγονὼς ἐπὶ M. Ἀντ. βασ. Suidas* 23 *ἰξ. β' Suidas*, librarium propter praecedens *δ'* errasse putat *Ausfeld,* de Oppiano p. 10; sequentia a neglegenti lectore addita videntur

αὐτοκράτορι.] *καὶ οὐ μόνον ἔτυχε τῆς χάριτος, ἣν ἐξήτει παρ' αὐτοῦ, τὴν εἰς πατρίδα ἐπάνοδον, ἀλλὰ καὶ πρὸς ἕνα ἕκαστον στίχον ἔλαβε στατῆρα ἕνα χρυσοῦν, ὡς γενέσθαι μυριάδας δύο.*

IV.

Aristotelis vita Menagiana

Ἀριστοτέλης, υἱὸς Νικομάχου καὶ Φαιστίδος (ὁ δὲ Νικόμαχος ἰατρὸς ἦν τοῖ τῶν Ἀσκληπιαδῶν γένους ἀπὸ Νικομάχου τοῦ Μαχάονος) ἐκ Σταγείρων πόλεως τῆς Θρᾴκης, φιλόσοφος, μαθητὴς Πλάτωνος, τραυλὸς τὴν φωνήν. καὶ ἀδελφοὺς μὲν ἔσχεν Ἀρίμνηστον καὶ Ἀριμνήστην, θυγατέρα δὲ ἀπὸ Πυθιάδος τῆς θυγατρὸς Ἑρμείου τοῦ εὐνούχου, ὃς καὶ θλιβίας ὢν αὐτὴν ἔσπειρεν· γημαμένη δὲ τρισὶν ἡ Ἀριστοτέλους θυγάτηρ τεκνώσασα προετελεύτησεν Ἀριστοτέλους τοῦ πατρός. εἶχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ Ἑρπυλλίδος παλλακῆς, ἣν μετὰ Πυθιάδα παρ' Ἑρμείου τοῦ εὐνούχου (ὅστις ἦν ἄρχων Ἀταρνέως, — χώρα δ' αὕτη Τρῳάδος — Εὐβούλου δὲ τοῦ Βιθυνοῦ δοῦλος γεγονὼς) ἔλαβεν, καὶ αὐτοῦ Ἑρμείου παιδικὰ γενομένου Ἀριστοτέλους. ἦρξε δ' ἔτη ιγ' τῆς περιπατητικῆς κληθείσης φιλοσοφίας διὰ τὸ ἐν περιπάτῳ ἤτοι κήπῳ διδάξαι ἀναχωρήσαντα τῆς Ἀκαδημίας, ἐν ᾗ Πλάτων ἐδίδαξεν. ἐγεννήθη δ' ἐν τῇ ϙθ' ὀλυμπιάδι καὶ ἀπέθανεν ἀκόνιτον πιὼν ἐν Χαλκίδι, διότι ἐκαλεῖτο πρὸς εὐθύνας, ἐπειδὴ ἔγραψε παιᾶνα εἰς Ἑρμείαν τὸν εὐνοῦχον· οἱ δέ φασι νόσῳ αὐτὸν τελευτῆσαι βιώσαντα ἔτη ο', ὡς δέ τινες ξγ'. συνέγραψε βιβλία ἐγγὺς υ'. διάδοχοι δ' αὐτοῦ τῆς σχολῆς κατὰ τάξιν ἐγένοντο οἵδε· Θεόφραστος, Στράτων,

---

1 cod. *ἦν* 4 *νομισμάτων μυριάδας β'* *Suidas*

IV 5—23 *Ἀριστοτέλης — ἔτη ο'*, i. e. vitam Hesychianam, descripsit *Suidas* s. v. *Ἀριστοτέλης* 5 *Φαιστιάδος vulg. Suidas* 7 *μαχαῶνος Suidae* **B** et pr. m. **E**, *μαχάωνος* **M** 9 *μὲν* om. *Suidae* **BE** 10 *ἑρμίου* hic et infra *Suidae* **A** *ὅς γε* coni. *Jacobs*, Anthol. VI p. 366 11 *θλιβίας* etiam *Patm.* *θλαδίας Suidas* *ἔπειρε Suidae* **A**, *ἔπηρε* **BE**, om. **V** *γαμουμένη Suidae* **M** om. **BE** 13 *ἔσχε Suidas* *ἑρπόλιδος Suidae* **BE** 14 *ἠγάγετο* post *ἣν* add. *Suidas* 15 *ἀσταρνέως Patm.* 16 *ἔ[λα]βεν* et *λα* in lac. *Patm.* 17 *παιδικοῦ Suidae* **A** *π . . . δικ . . . Patm.* *ἦρξεν Patm.* 20 *ηθ' Patm.* 22 *ἔγραψεν Patm.* 23 *φασιν Patm.*

Πραξιτέλης, Λύκων, Ἀρίστων, Λυκίσκος, Πραξιφάνης, Ἱερώνυμος, Πρύτανις, Φορμίων, Κριτόλαος. τὰ δὲ συγγράμματα αὐτοῦ ταῦτα· περὶ δικαιοσύνης δ', περὶ ποιητῶν γ', περὶ φιλοσοφίας δ', πολιτικὸν α', περὶ πολιτικῆς ἢ Γρύλλος γ', Νήρινθος α', περὶ πλούτου α', σοφιστικῆς α', περὶ εὐχῆς, Μενέξενος α', περὶ εὐγενείας α', ἐρωτικὸς α', περὶ ψυχῆς α', προτρεπτικὸν α', περὶ ἡδονῆς α', περὶ βασιλείας α', οἰκονομικὸν α', περὶ παιδείας ἢ παιδευτικὸν α', [συλλογισμῶν α',] περὶ τοῦ ἀγαθοῦ α', περὶ ἀρχῶν ἢ φύσεως α', Ἀλέξανδρος ἢ ὑπὲρ ἀποικιῶν α', τὰ ἐκ τῶν νόμων Πλάτωνος β', περὶ φιλίας γ', περὶ ἐπιστημῶν α', περὶ εἰδῶν α', λύσεις ἐριστικαὶ δ', περὶ πάθους ὀργῆς α', διαιρέσεις σοφιστικαὶ α', περὶ ἐναντίων α', ὑπομνημάτων ἐπιχειρητικῶν γ', προτάσεις περὶ ἀρετῆς β', περὶ στοιχείων γ', ἐνστάσεις α', περὶ τῶν ποσαχῶς λεγομένων ἢ τῶν κατὰ πρόθεσιν α', προτάσεων α', ἠθικῶν κ', περὶ ἐρωτήσεως καὶ ἀποκρίσεως α', προτάσεων ἐριστικῶν α', περὶ ἰδέας α', ἀναλυτικῶν προτέρων β', ἀναλυτικῶν ὑστέρων β', προβλημάτων, μεθοδικά, περὶ τοῦ βελτίονος α', συλλογισμῶν β', συλλογιστικῶν ὅρων α', περὶ αἱρετοῦ καὶ συμβαίνοντος α', τὰ πρὸ τῶν τόπων α', περὶ ἑκουσίων α', τοπικῶν πρὸς τοὺς ὅρους καὶ πάθη α', ὁρισμῶν βιβλία ιγ', ἐπιχειρημάτων β', περὶ κάλλους α', περὶ δικαίων β', θέσεις ἐπιχειρηματικαὶ ἐν βιβλίοις κε', θέσεις ἐρωτικαὶ ἐν βιβλίοις δ', θέσεις φιλικαὶ ἐν βιβλίοις β', θέσεις περὶ ψυχῆς ἐν βι-

---

1 *Πραξιτέλης* aut ex *Πραξιφάνης* nominis compendio fictum aut in *Πασικλῆς* mutandum censuit *Preller*, de Praxiphane p. 8 4 *ῥητορικῆς* pro *πολιτ.* ex Diog. Laert. V, 22 *Menagius* 5 *Κόρινθος* corr. *Rose* *σοφιστής* corr. *Rose*, *περὶ εὐχῆς* ⟨*α'*⟩ corr. *Rose* 6 *ἐρώτικος* *Ambr.* 7 corr. *προτρεπτικὸς α'* 8 hic *συμπόσιον α'* corr. *Rose*, *συλλ.* infra l. 19 rectius occurrit 10 fuisse *τὰ ἐκ τῶν νόμων* ⟨*Πλάτωνος γ'. τὰ ἐκ τῆς πολιτείας*⟩ *Πλάτωνος β'* putat *Rose* 11 post *ἐπιστ.* ex *Ambros.* *περὶ τοῦ πάσχειν ἢ πεπονθέναι* ⟨*α*⟩'. *περὶ ἐριστικῶν λόγων β'* suppl. *Rose* 12 *παθοῦς* *Ambros.* *παθῶν* *Diog.* 13 *ἐπιχειρι*⟨*μα*⟩*τικῶν* *Rose* *ὑπομν. γ'* om. *ἐπιχειρ.* *Ambros.* 1 14 *ἐνστάσεις περὶ τῶν ποσαχῶς λεγομένων η'. τῶν* seq. *Ambros.* 15 *πρόσθεσιν* corr. *Rose* *α'* add. *Menagius* et *τῶν* post *ἢ* ex *Diog.* V, 23 *Buhlius* 17 *ἀναλυτικῶν προτέρων θ'* *vulg.* *θ'* scripsit *Rose*, uncis inclusit *Buhlius*, sed magis suspectum p. 248, 1 *προτέρων ἀναλυτικῶν β'* 18 ⟨*περὶ*⟩ *προβλημάτων* ⟨*α'*⟩ *μεθοδικὰ* ⟨*η'*⟩ corr. *Rose*, cum Menagio cons. *Ambros.* post *βελτίονας α'* ex *Ambros.* *ὅρων βιβλίων α' τοπικῶν ζ'. μαθηματικῶν α'* inserit *Rose* 19 *συλλογίσμων ὅρ.* *Ambros.* 1 21 *τοπ. πρ. τ. ὅρους* ⟨*β'*⟩ *πάθη α'* scr. *Rose*

βλίῳ α′, θέσεις πολιτικαὶ β′, πολιτικῆς ἀκροάσεως κ′, τεχνῶν συναγωγὴ α′, τέχνης ῥητορικῆς γ′, τέχνης α′, τέχνης τῆς Θεοδέκτου συναγωγὴ ἐν γ′, τέχνης ποιητικῆς β′, ἐνθυμημάτων ῥητορικῶν α′, περὶ μεγέθους, ἐνθυμημάτων καὶ αἱρέσεων, περὶ λέξεως καθαρᾶς α′, περὶ συμβουλῆς α′, περὶ φύσεως α′, περὶ φυσικῶν α′, περὶ τῆς Ἀρχύτου φιλοσοφίας γ′, περὶ τῆς Σπευσίππου καὶ Ξενοκράτος α′, ἐκ τῶν Τιμαίου καὶ Ἀρχύτου α′, πρὸς τὰ Μελίσσου α′, πρὸς τὰ Ἀλκμαίωνος α′, περὶ τῶν Πυθαγορείων α′, πρὸς τὰ Γοργίου, περὶ τοῦ μὴ γεννᾶν, περὶ ζώων θ′, περὶ τῶν συνθέτων ζώων α′, περὶ ἀνατομῶν ϛ′, ἐκλογὴ τούτων α′, περὶ τῶν μυθολογουμένων ζώων α′, περὶ φυτῶν β′, φυσιογνωμονικὰ β′, περὶ ἰατρικῆς β′, σημασίας χειμώνων α′, περὶ μονάδος α′, ἀστρονομικὸν α′, περὶ κινήσεως α′, ὀπτικὸν α′, περὶ μουσικῆς α′, πέπλον, ἀπορημάτων Ὁμηρικῶν ζ′, ἀπορημάτων θείων α′, ποιητικὸν α′, μνημονικὸν α′, φυσικῶν λη′ κατὰ στοιχεῖον, μεταφυσικὰ κ′, προβλημάτων ἐπιτεθεαμένων, ἐγκύκλιον β′, μηχανικὸν α′, κύκλον περὶ ποιητῶν γ′, προβλημάτων Δημοκριτείων β′, περὶ τῆς λίθου α′, παραβολῶν α′, διατάκτων ιβ′, δικαιωμάτων πόλεων α′, ἐξητασμένων κατὰ γένος ιδ′, Ὀλυμπιονίκας βιβλίον α′, ἐν ᾧ Μέναιχμον ἐνίκησεν, περὶ μουσικῆς α′, ἐλέγχων σοφιστικῶν ἢ περὶ ἐριστικῶν νικῶν Διονυσιακῶν ἀστικῶν καὶ ληναίων α′, νόμων συστατικῶν α′, νομίμων δ′, κατ-

---

1 η′ pro κ′ *Ambros.* 4 ῥητωρικῶν *Ambros.* 2 περὶ μεγ. ⟨α′⟩ *Rose* ἐνθυμ. διαιρέσεις ⟨α′⟩ *Rose* 5 περὶ συμβ. ante περὶ λεξ. iteravit *Ambros.* 1 8 Ἀλκμᾴωνος *Ambros.* 1 Ἀλκμέωνος *Ambros.* 2 9 π. τ. Γοργ. ⟨α′⟩ *Rose* π. τ. μὴ γεννᾶν α′ ex *Ambros.* *Rose* 10 π. ἀνατ. ζ′ *Ambros.* et *Diog.* 13 σημασίας coll. *Diog.* V, 26 *Menagius*, συμμαχίας cod. *Menag.* et *Ambros.* 14 πέπλον ⟨α′⟩ *Rose*, qui interrogat: an ex pleniore *Laertio*? 15 ἀπορ. θείων „ex integriore *Laertio*?“ *Rose*, qui coni. Ἡσιοδείων p. θείων idem titulus infra p. 248, 7 redire videtur, ποιητικῶν (sc. ἀπορημάτων) *Diog.* 16 μεταφυσ. om. *Diog.* 17 προβ. ἐπιτεθ. ⟨β′⟩ *Rose* ἐγκυκλίων corr. *Rose*, corrig. etiam μηχανικῶν 18 κύκλον. περὶ *Ambros.* 1 κύκλων περὶ *Ambros.* 2 κύκλον ἢ π. π. corr. *Menagius*; cf. infra p. 248, 8; eundem titulum om. *Diog.* 19 λιθοῦ *Ambros.* ἀδιατάκτων corr. *Rose* 20 βιβλίον *Menagius*, fuerat βίβλους 21 Πυθιονίκας βιβλίον (codd. βίβλους) ante ἐν ᾧ ex *Ambros.* add. *Rose* 22 ἐριστικῶν ⟨α′⟩ *Rose*, qui etiam νικῶν ab ἐριστικῶν rectius seiunxit 23 παροιμίων α′. περὶ τραγῳδιῶν α′. περὶ διδασκαλιῶν α′ ante νόμων ex *Ambros.* suppl. *Rose* νόμοιν *Ambros.* 1 συσσιτικῶν corrigendum esse monet *Rose*; cf. p. 248, 3

ηγοριῶν α', περὶ ἑρμηνείας, προτέρων ἀναλυτικῶν β', πολιτείας πόλεων ἰδιωτικῶν καὶ δημοκρατικῶν καὶ ὀλιγαρχικῶν ρνη', συσσιτικῶν προβλημάτων γ', ἐπιστολὰς κ', ἔπη, ὧν ἀρχή 'ἁγνὲ θεῶν πρέσβισθ' ἑκατηβόλε', ἐλεγεῖα, ὧν ἀρχή 'καλλιτέκνου μητρὸς θυγάτερ'. — περὶ τῶν Σόλωνος ἀξόνων ε', περὶ μακροβιότητος, εἰ δή ποτε Ὅμηρος ἐποίησε τὰς ἡλίου βοῦς, ἀπορήματα Ἡσιόδου ἐν α', ἀπορήματα Ἀρχιλόχου, Εὐριπίδου, Χοιρίλου ἐν βιβλίοις γ', ἀπορημάτων ποιητικῶν α', αἰτίας ποιητικάς, προβλημάτων Ὁμηρικῶν ι', φυσικῆς ἀκροάσεως ιη', περὶ γενέσεως καὶ φθορᾶς β', περὶ μετεώρων δ' ἢ μετεωροσκοπικά, περὶ πλούτου α', περὶ τύχης γ', περὶ ῥητορικῆς τῆς μετὰ φυσικὰ ι', περὶ ζώων ἱστορίας ι', περὶ ζώων κινήσεως γ', περὶ ζώων μορίων γ', περὶ ζώων γενέσεως γ', περὶ τῆς τοῦ Νείλου ἀναβάσεως, περὶ τῆς ἐν τοῖς μαθήμασιν οὐσίας, περὶ συσσιτίων ἢ συμποσίων, περὶ δόξης, περὶ ἀρετῆς, περὶ φωνῆς, περὶ συμβιώσεως ἀνδρὸς καὶ γυναικός, νόμους ἀνδρὸς καὶ γαμετῆς, περὶ ἰατρικῆς ζ', συμμίκτων ζητημάτων οβ', ὥς φησιν Εὔκαιρος ὁ ἀκουστὴς αὐτοῦ, πέπλον (περιέχει δὲ ἱστορίαν σύμμικτον), περὶ χρόνου, περὶ βασιλείας, περὶ παιδείας, περὶ ὄψεως β', περὶ ἠθῶν Νικομαχείων ὑποθήκας, περὶ Ἀλεξάνδρου ἢ περὶ ῥήτορος ἢ πολιτικοῦ, τέχνην ἐγκωμιαστικήν, θαυμασίων ἀκουσμάτων, ἐγκώμια ἢ ὕμνους, διάφορα, ἐρωτικῶν ς', περὶ εὐγενείας α', περὶ ἀν-

---

1 ἑρμηνίας *Ambros.* προτ. ἀναλυτ. = p. 246, 17 2 ⟨καὶ⟩ ἀριστοκρατικῶν καὶ τυραννικῶν ex *Ambros.* add. *Rose* 4 πρέσβυσθ' cod. Menagii, ex *Ambros.* corr. *Rose* 5 καλλιτέχνου cod. *Menag.*, ex *Ambros.* corr. *Rose* 5 seq. sequitur (ex Porphyrio?) appendix titulorum, qui apud Laertium desiderantur 6 μαχαριώ (ο *Ambros.* 2) τητος τί δήποτε (sine intp.) *Ambros.* 7 ἀπ. Ἡσ. = p. 247, 15? ἀπ. Ἀρχ. = ib. 18? 8 ἀπ. ποιητ. = ib. 15? 9 αἰτ. ποιη. fort. non diversa a praecedentibus sunt ποβλ. Ὁμ. = ib. 15 10 μεταρσίων pro μετ. *Casaubonus* 11 π. πλούτ. = p. 246, 5 περὶ πλούτου, περὶ παιδείας (20), περὶ εὐγενείας α' (23) cum *Buhlio* uncis seclusit *Westerm.* 12 post ῥητορικῆς cum *Ambros.* interpunxit *Rose*, τῆς μετὰ ⟨τὰ⟩ φυσ. *Rose* = p. 247, 16 13 πρὸς ζ. μορ. *Ambros.* 2 15 π. συσσ. = p. 248, 3 (247, 23; cf. 246, 8) 16 ἢ π. φωνῆς *Menagium* habere errans dixit *Rose* 17 περὶ ἰατρ. = p. 247, 12 18 ἢ (sc. γέγραφεν) ὥς φασιν, Εὔκαιρος *Rose* πρὸς Εὔκαιρον *David* πέπλ. = p. 247, 14 19 περὶ βασ. = p. 246, 7 20 περὶ παιδ. = ib. 8 περὶ ὄψ. = p. 247, 14 post Νικομαχείων distingui voluit *Menagius*, sed in ἠθῶν Νικομαχείων mendum latere visum est *Buhlio* 1 π. Ἀλ. η' *Rose* πολιτικοῦ τέχνην (sine intp.) *Patm.* = p. 246, 4 22 ⟨συναγωγὴν⟩ θαυμ. *Rose* 23 ὕμνους διαφορά *Ambros. Patm.* ἐρωτ.

θρώπου φύσεως, περὶ κόσμου γενέσεως, νομιμα Ῥωμαίων, νομίμων βαρβαρικῶν συναγωγή· ψευθεπίγραφα δέ· ἀνατομὴ ἀνθρώπου, ἀπολογία εὐσεβείας πρὸς Εὐρυμέδοντα, γεωργικά, ἐγκώμιον λόγου, μαγικόν, περὶ σωφροσύνης, Ἀλεξάνδρου ἐγκλησία, ἐγκώμιον πλούτου, πρὸς Ἀλέξανδρον, περὶ μεθόδου.

V.

Aristotelis vita Marciana

Ἀριστοτέλης ὁ φιλόσοφος τῆς μὲν ⟨πόλεως⟩ ἦν Σταγεί- 1
ρων (τὰ δὲ Στάγειρα πόλις Θρᾴκης πλησίον Ὀλύνθου καὶ Μεθώνης), υἱὸς δὲ Νικομάχου καὶ Φαιστίδος, ἀμφοῖν ἀπὸ Μαχάονος τοῦ Ἀσκληπιοῦ καταγομένων, ὡς δηλοῖ τὸ εἰς αὐτὸν ἐπίγραμμα·

Φαιστίδος ἦν μητρὸς καὶ Νικομάχου γενετῆρος,
τῶν Ἀσκληπιαδῶν, δῖος Ἀριστοτέλης.

γέγονε δὲ αὐτοῖς οὐ μόνον Ἀριστοτέλης, ἀλλὰ καὶ Ἀρίμνηστος καὶ Ἀριμνήστη. ὁ δέ γε Νικόμαχος ἰατρὸς ἦν Ἀμύντου, τοῦ Μακεδόνων βασιλέως, τοῦ Φιλίππου πατρός, καὶ κατὰ μνήμην τοῦ οἰκείου πατρὸς Ἀριστοτέλης τὸν ἑαυτοῦ παῖδα Νικόμαχον προσηγόρευσεν, ᾧ καὶ τὰ Νικομάχεια ἠθικὰ ἔγραψε. πατρόθεν ἄρα τῷ Ἀριστοτέλει καὶ ἐκ τῆς ἀνέκαθεν γενεᾶς ἡ περὶ φυσιολογίαν καὶ ἰατρικὴν ἕξις. ὀρφανὸς δὲ
γενόμενος ἀνάγεται παρὰ Προξένῳ τῷ Ἀταρνεῖ, οὗ τῆς φή- 2
μης μνημονεύων τὸν αὐτοῦ υἱὸν Νικάνορα ἔθρεψε καὶ ἐπαίδευσε καὶ υἱὸν ἐποιήσατο, καὶ τελευτῶν ἐκέλευσεν ἐν διαθήκαις τὴν ἑαυτοῦ θυγατέρα Πυθαΐδα, γενομένην αὐτῷ ἀπο

———

= p. 246, 6, *περὶ εὐγ.* = ib. 1 *νομ. Ῥωμ.* = p. 247, 23 2 *νομ. βαρβ.* = ib. *συναγωγὴν Patm. ψευδίγραφα Ambros.* 3 *ἀσεβείας Ambros. Patm.* 5 *ἐκκλησία Ambros. Patm. ἐγκώμιον. πλούτου πρὸς. Ambros.* 1 *Ἀλ. περὶ* sine intp. *Ambros. Patm.* 6 *μιθόδου Patm.* Sequitur in codd. epigramma ex Anth. Pal. II p. 859 (app. 321)

V 7 Adiecti sunt paginarum numeri ed. *Robbei* 7 excidisse quaedam verba patet; *⟨πολί⟩της μὲν ἦν Σταγείρων Robbe, τῆς μὲν πόλεως Ammonius*, quod in textum recepi 9 Cod. hic et infra *Θεστίας*, corr. *Robbe* 15 At in rel. vitis *Ἀριμνήστης* frater est; nostram traditionem servat *Robbe* 16 Amyntas II, qui regnavit 394—370 21 *τρέφεται* poscit *Robbe* *οὗ καὶ τῆς τροφῆς διαμεμνημένος* vit. Ammon. p. 398, 12 *West.* hinc *τροφῆς* scrib. coni. *Robbe* 24 *Πυθιάδα* praefert *Robbe*

Πυθαΐδος, δοθῆναι αὐτῷ πρὸς γάμον. ἕως μὲν οὖν ἔτι νέος ἦν, τὴν τῶν ἐλευθέρων ἐπαιδεύετο παιδείαν, ὡς δηλοῖ τὰ γεγραμμένα αὐτῷ Ὁμηρικὰ ζητήματα καὶ ἡ τῆς Ἰλιάδος ἔκδοσις, ἣν δέδωκε τῷ Ἀλεξάνδρῳ καὶ ὁ περὶ ποιητῶν διάλογος, καὶ τὸ τῆς ποιητικῆς σύγγραμμα καὶ αἱ ῥητορικαὶ τέχναι καὶ τὰ ἰατρικὰ προβλήματα καὶ τὰ φυσικὰ προβλήματα ἐν ἑβδομήκοντα βιβλίοις ὄντα καὶ τὰ ὀπτικὰ προβλήματα καὶ τὰ μηχανικὰ προβλήματα καὶ τὰ γεγραμμένα αὐτῷ δικαιώματα τῶν Ἑλληνίδων πόλεων, ἐξ ὧν Φίλιππος τὰς φιλονεικίας τῶν Ἑλλήνων διέλυσεν, ὡς μεγαλορρημον⟨ήσαντά π⟩οτε καὶ εἰπεῖν· 'ὥρισα τὴν Πέλοπος'. γέγραπται δὲ αὐτῷ καὶ ἡ τῶν πολιτειῶν ἱστορία ὕστερον. ἐτῶν δὲ γενόμενος ⟨ἑπτὰ⟩ καὶ δέκα, τοῦ Πυθοῖ θεοῦ χρήσαντος αὐτῷ φιλοσοφεῖν παρ' Ἀθηναίοις, φοιτᾷ Σωκράτει καὶ συνῆν ⟨τὸν⟩ μέχρι τελευτῆς αὐτοῦ χρόνον πλὴν ὀλίγον ὄντα. μετὰ δὲ τοῦτον φοιτᾷ Πλάτωνι καὶ συνῆν τούτῳ τὸν μέχρι τελευτῆς αὐτοῦ χρόνον εἰκοσαετῆ τυγχάνοντα, ὡς αὐτὸς ἐπιστέλλων Φιλίππῳ λέγει, καὶ οὕτω φιλοπόνως συνῆν Πλάτωνι, ὡς τὴν οἰκίαν αὐτοῦ ἀναγνώστου οἰκίαν προσαγορευθῆναι. θαμὰ γὰρ Πλάτων
3 *ἔλεγεν· 'ἀπίωμεν εἰς τὴν τοῦ ἀναγνώστου οἰκίαν' καὶ ἀπόντος τῆς ἀκροάσεως, ἀνεβόα· 'ὁ νοῦς ἄπεισι, κωφὸν ἀκροατήριον'.*

ἐπέζησε δὲ Πλάτωνι ἔτη εἴκοσι τρία, πῆ μὲν παιδεύων Φιλίππου παῖδα Ἀλέξανδρον, πῆ δὲ συμπεριιὼν αὐτῷ ⟨θάλατταν πολλὴν⟩ καὶ γῆν, πῆ δὲ συγγράφων, πῆ δὲ διδασκαλείου προεστώς. οὐκ ἄρα ἀντῳκοδόμησεν Ἀριστοτέλης σχολὴν ⟨ἔτι ζῶντος Πλάτωνος τὸ⟩ Λύκειον, ὡς Ἀριστόξενος πρῶτος ἐσυκοφάντησε καὶ Ἀριστείδης ὕστερον ἠκολούθησεν, ⟨ἀλλὰ⟩ μέχρι τελευτῆς συνῆν Πλάτωνι. καὶ ὅτι Πλάτων μὲν ἐτέχθη

---

3 sc. ἡ ἐκ νάρθηκος 4 ἔδωκε p. δεδ. mavult *Robbe* 5 τὸ περὶ τῆς π. *Rohde* 10 recte suppl. *Rose*, Aristot. V p. 1571, μεγαλορρημον⟨εῖν⟩ ποτε *Robbe* 12 ἑπτά om. cod. suppl. *Robbe* 13 παρ' Ἀθήνησι cod. corr. *Robbe* 14 τὸν om. cod. add. *Robbe* 17 εἰκοσαετῆ τυγχάνοντα corr. *Rohde* coll. Ammon. p. 399, 24 West. εἰκοσαετὴς τυγχάνων cod. *Robbe* 24 συμπεριών cod. corr. *Robbe* θαλ. πολλ. om. cod. spatio relicto, suppl. *Robbe* 26 post σχολὴν et ante Λύκειον lacuna extat in cod., quam recte suppl. *Robbe* 27 Ἀριστοκλῆς coni. *Robbe*, quod iniuria gravatur *Maass*, Biogr. p. 82 not. 28 ἀλλὰ in lacuna suppl. *Robbe* 29 verba καὶ ὅτι Πλάτων — οὐδὲ ῥάδιον ἀναγνῶναι, desunt in Ammoniana

ἐπὶ Διοτίμου ἄρχοντος ⟨Ἀθήνησι καὶ⟩ βιοὺς ἔτη ὀγδοήκοντα δύο μετήλλαξε τὸν βίον ἐπὶ Θεοφίλου, Ἀριστοτέλης δὲ τεχθεὶς ἐπὶ Διοτ⟨ρέφους, καὶ βιοὺς⟩ ἔτη ἑξήκοντα τρία, τελευτᾷ ἐπὶ Φιλοκλέους· φοιτᾷ δὲ Πλάτωνι Ἀριστοτέλης ἐπὶ Να⟨υσιγένους καὶ ἀπὸ⟩ Θεοφίλου, ἐφ' οὗ τελευτᾷ Πλάτων, ἕως Φιλοκλέους, ἐφ' οὗ τελευτᾷ Ἀριστοτέλης, ἔτη εἴκοσι τρία ⟨ἐπέζησε Πλά⟩τωνι. οὐκ ἄρα οὖν, ὡς ⟨οἱ⟩ αὐτὸν συκοφαντοῦντές φασιν ⟨τεσ⟩σαρακοντούτης Ἀριστοτέλης φ⟨οιτᾷ Πλάτωνι ἐπ' Εὐδ⟩όξου· τοῦ γὰρ Ἀριστοτέλους ἑξήκοντα τρία ἔτη βιώσαντος τρία ἔτη ἐστὶν ἀπὸ ⟨θανάτου⟩ Πλάτωνος, ἀφῃρημένων τῶν εἴκοσιν ἐτῶν, ἃ ἐσχόλασε Πλάτωνι. ἐν δὲ τοῖς τρισὶν ἔτεσιν οὐ μόνον οὐκ ἦν τοσαῦτα ἐκθέσθαι, ἀλλ' οὐδὲ ῥάδιον ἀναγνῶναι. οὕτω Φιλόχορος ἱστορεῖ, καὶ ὅτι οὐδὲ εἰκὸς ἦν, Ἀριστοτέλη ξένον ὄντα τοῦτο δύνασθαι ποιεῖν κατὰ Πλάτωνος πολίτου τυγχάνοντος καὶ μέγα δυναμένου διὰ Χαβρίαν 4
καὶ Τιμόθεον, τοὺς Ἀθήνησι στρατηγήσαντας καὶ κατὰ γένος αὐτῷ προσήκοντας. μετὰ δὲ τὴν Πλάτωνος τελευτὴν Σπεύσιππος μὲν ὁ Πλάτωνος ἀδελφιδοῦς (ἐτύγχανε γὰρ υἱὸς ὢν Ποτώνης, τῆς ἀδελφῆς Πλάτωνος) διαδέχεται τὴν σχολήν, Ἀριστοτέλης δὲ στέλλεται εἰς Μακεδονίαν, μεταπεμφθεὶς ὑπὸ Φιλίππου, ἐφ' ᾧ τὸν υἱὸν αὐτοῦ παιδεῦσαι· καὶ οὕτως ἦν τίμιος Φιλίππῳ καὶ Ὀλυμπιάδι, ὡς ἀναθεῖναι αὐτῷ μεθ' ἑαυτῶν ἀνδριάντα. ὁ δὲ φιλόσοφος, μέγα μέρος ὢν τῆς βασιλείας, ὀργάνῳ τῇ δυνάμει πρὸς εὐποιίαν ἐχρήσατο, ἕνα τε ἕκαστον εὐεργετῶν καὶ πόλεις ὅλας καὶ πάντας ἅμα. ὅσα μὲν γὰρ ἕκαστον εὐηργέτησεν, αἱ γεγραμμέναι αὐτῷ πρὸς τοὺς βασιλέας περί τινων ἐπιστολαὶ δηλοῦσιν, ὅσα δὲ πόλεις ὅλας, τὰ Στάγειρα δηλοῖ καὶ Ἐρεσσός, ἡ Θεοφράστου καὶ Φανίου τῶν αὐτοῦ μαθητῶν πατρίς. τήν τε γὰρ ἑαυτοῦ πατρίδα Στάγειρα κατασκαφεῖσαν ὑπὸ Φιλίππου πείθει

---

1 *Ἀθήνησι καὶ* om. cod. suppl. *Robbe* 3 *ἐπὶ Διοτ . . . . βιους* cod. corr. *Robbe* 4 *Να . . . . ἀπὸ* cod. suppl. *Robbe* 7 *ἐπέζησε Πλα*] om. cod. suppl. *Robbe* *ὡς αὗτοὶ* cod. *ὡς οὗτοι Robbe* *ὡς οἱ αὐτὸν συκ.* corr. *Rohde* 8 *φασιν . . . σαρακοντούτης Ἀριστοτέλης φ . . . . οξου* cod. suppl. *Robbe* 10 *θανάτου* om. cod. suppl. *Robbe* 15 *διὰ τοὺς Χ.* etc.: *τοὺς* transposuit *Robbe,* qui etiam *Ἀθηναίων* p. *Ἀθήνησι* flagitat 23 Huius statuae nulla mentio fit apud alios scriptores *φιλοσοφίας* cod. corr. *Robbe* 27 *κατὰ* cod. *πρὸς Robbe* 28 *Ἐρεσός* hic et p. 252, l. 8 sine causa idonea *Robbe*

τὸν Ἀλέξανδρον δεύτερον κτίζειν καὶ χώραν ἑτέραν αὐτῇ προσδιδόναι, ἀνθ' ὧν οἱ Σταγειρῖται μῆνα προσηγόρευσαν Ἀριστοτέλειον, καὶ ἑορτὴν ἦγον Ἀριστοτέλεια καὶ ἐν Χαλκίδι τελευτήσαντος μετεπέμψαντο τὸ σῶμα καὶ βωμὸν ἐπέστησαν τῷ τάφῳ καὶ Ἀριστοτέλειον τὸν τόπον ἐκάλεσαν, καὶ ἐκεῖ τὴν βουλὴν ἤθροιζον, καὶ Ἐρεσσὸν μέλλουσαν ὑπὸ Φιλίππου πολιορκηθῆναι ἔπεισεν ἀφεθῆναι. πολλὰ δὲ καὶ Ἀθηναίους εὐηργέτησεν ἐν τοῖς πρὸς Φίλιππον γράμμασιν, ὡς Ἀθηναίους
5 *ἐν τῇ ἀκροπόλει ἀνδριάντα αὐτῷ ἀναθεῖναι. ἵνα δὲ καὶ πάντας ἀνθρώπους εὐεργετήσῃ, γράφει τῷ Ἀλεξάνδρῳ βιβλίον περὶ βασιλείας, διδάσκων, ὅπως βασιλευτέον, ὅπερ οὕτως ἔδρασεν εἰς τὴν Ἀλεξάνδρου ψυχήν, ὡς λέγειν, ὅτε μὴ ὠφέλησέ τινα· 'σήμερον οὐκ ἐβασίλευσα, οὐδένα γὰρ εὖ ἐποίησα', ὅπερ ἴσον ἐστὶ τῷ ἐπιχωρίως λεγομένῳ ἐπὶ τῶν ἐπ' ὀλίγον ἀρρωστούντων, τοῦτ' ἔστιν ἐφήμερον νόσον 'παρὰ μίαν' διὰ [γὰρ] τὸ μὴ ποιῆσαι τὴν ἡμέραν ἐκείνην τὰς ὑγιαινόντων ἐργασίας. ἀκμάσαντι δὲ Ἀλεξάνδρῳ καὶ ἐπιστρατεύσαντι κατὰ Περσῶν συνεξῆλθεν οὐδὲ τότε ⟨τοῦ⟩ φιλοσοφεῖν ἀποσχόμενος· τὴν γὰρ ἱστορίαν τῶν πολιτειῶν τότε συνέλεξε. καὶ μέλλοντι συμβάλλειν τῷ Περσικῷ πολέμῳ ἔφη ἀπαίσια γενέσθαι. ὁ δὲ μὴ πεισθεὶς συνέβαλε καὶ ἐτελεύτησεν. καὶ οὐχ ἧττον δὲ τῶν φθασάντων βασιλέων, Ἀμύντου, Φιλίππου, Ὀλυμπιάδος, Ἀλεξάνδρου Ἀντίπατρος ὁ διαλεξάμενος τὴν Ἀλεξάνδρου βασιλείαν διὰ τιμῆς εἶχε τὸν Ἀριστοτέλην. τοῦ δὲ Σπευσίππου τελευτήσαντος, οἱ ἀπὸ τῆς σχολῆς μεταπέμπονται τὸν Ἀριστοτέλην καὶ διαδέχονται αὐτὴν αὐτός τε καὶ Ξενοκράτης σωφρονέστατα, καὶ Ἀριστοτέλης μὲν ἐν Λυκείῳ, Ξενοκράτης δὲ ἐν Ἀκαδημείᾳ, ἔνθα καὶ Πλάτων ἐπαίδευσεν. οὐ γὰρ ὡς Ἀριστόξενος ἱστορεῖ, Πλάτωνος ζῶντος καὶ ἐν Ἀκαδημείᾳ*
6 *παιδεύοντος, ἀντῳκοδόμησεν ὁ Ἀριστοτέλης τὸ Λύκειον. εἴπερ γάρ τις ἄλλος, φαίνεται ὁ Ἀριστοτέλης καταπεπληγμένος Πλάτωνα, ἐπιγράφει γὰρ εἰς αὐτόν·*

---

2 καταδιδόναι et κατηγόρευσαν cod. (sed in marg. προσηγόρευσαν) corr. *Robbe* 16 in marg. legitur παροιμία; γὰρ seclusi utpote absurdum 17 εὐεργεσίας cod. *Robbe*; ἐργασίας *Rohde* 18 τοῦ om. cod. add. *Robbe* 20 ἔφη ἀπαίσια corr. *Rohde*, ἔφη τὰ αἴσια cod. *Robbe* 28 οὐ γὰρ ὡς Ἀρ. ὕστερον cod. οὐ γὰρ ὡς Ἀρ. ἱστορεῖ καὶ Ἀριστοκλῆς ὕστερον coni. *Robbe* coll. p. 250, 27, οὐ γὰρ ὡς Ἀριστόξενος ἱστορεῖ simplicius *Rohde*

βωμὸν Ἀριστοτέλης ἱδρύσατο τόνδε Πλάτωνι,

καὶ ἀλλαχοῦ περὶ αὐτοῦ φησιν·

ἀνδρός, ὃν οὐδ' αἰνεῖν τοῖσι κακοῖσι θέμις.

καὶ φαίνεται ἐν ταῖς ἐπιστολαῖς θαυμάζων Πλάτωνα, καὶ συνιστὰς τοῦς βασιλεῦσι τοὺς Πλάτωνι κατὰ γένος κοινωνοῦντας. ⟨εἰ⟩ δὲ καὶ ἔν τισιν ἀντιλέγει Πλάτωνι, πλατωνίζειν αὐτὸν φήσομεν. Πλάτων γάρ ἐστιν ὁ λέγων· 'Σωκράτους μὲν ὀλίγον φροντίζειν, τῆς δὲ ἀληθείας πολύ' καὶ 'ἔγωγε οὐδενὶ ἄλλῳ πρόθυμός εἰμι πείθεσθαι, ἢ τῷ λόγῳ, ὃς ἂν μοι λογιζομένῳ βέλτιστος καταφαίνηται' καὶ 'εἰ μὴ σὺ σαυτοῦ λέγοντος ἀκούσεις, ἄλλου ⟨γε⟩ λέγοντος μὴ πιστεύσῃς'. ἴσως δὲ οὐδὲ πρὸς τὰ δοκοῦντα Πλάτωνι μάχεται, ἀλλὰ πρὸς τοὺς κακῶς αὐτὰ ἐκλαβόντας, ὡς καὶ τὸ '⟨γενητὸν⟩ τὸν οὐρανόν' ἐν τῇ περὶ οὐρανοῦ (τινὲς γὰρ κατὰ χρόνον αὐτὸ ἤκουσαν καὶ οὐ κατ' αἰτίαν εἶναι), καὶ τὰς ἰδέας ⟨ἐν τοῖς⟩ μετὰ τὰ φυσικά (τινὲς γὰρ ἔξω τοῦ νοῦ αὐτὰς ὑπέθεντο). καὶ ἄλλοι ἀΐδια αἰσθητὰ ὑπέλαβον αὐτὰς ο⟨ἷον ἄνθρωπον⟩, ἀθάνατον καὶ ἵππον· ὅτι γὰρ οὐ βούλεται αὐτὰς παντάπασι μὴ εἶναι, δηλοῖ ἐν τοῦς ἠθικοῦς λέγων· 'δ⟨ιττὴν⟩ εἶναι τὴν τάξιν, τὴν μὲν ἐν τῷ στρατηγῷ|, τὴν δὲ ἐν τῷ στρατοπέδῳ, καὶ ⟨αἰτίαν εἶναι ταύτης ἐκείνην⟩' καὶ ἐν τῇ περὶ ψυχῆς 'τὸν κατ' ἐνέργειαν νοῦν εἶναι τὰ πράγματα'. καθόλου γὰρ ὁ Ἀριστοτέλης τὸ ἦθ⟨ος μέτριος γέ⟩γονεν, εἴ ⟨γε⟩ ἐν μὲν ταῖς κατηγορίαις φησί· 'μὴ δεῖν προχείρως ἀποφαίνεσθαι, ἀλλὰ πολλάκις ἐπεσκεμμένον, καὶ μὴ ⟨ἀπορ⟩εῖν μόνον ἄχρηστον εἶναι', καὶ ἐν τοῖς περὶ τοῦ ἀγαθοῦ· 'δεῖ μεμνῆσθαι ἄνθρωπον ὄντα οὐ μόνον τὸν εὐ⟨τυχοῦντα ἀλλ⟩ὰ καὶ τὸν

---

6 *εἰ* om. cod. suppl. *Robbe* 7 cf. Phaed. p. 91 C *ἐπ' ὀλίγον φροντιστέον* legitur in Ammoniana, *δεῖν φροντ.* dubitanter *Rohde* 11 *γε* om. cod. *Robbe*; ex Platone (Alcib. I, 114 E) addidi 13 *ἐκλαβόντας* cod., quod reponit *Rohde*, *ὑπολαβόντας Robbe* *ὡς καὶ τὸ κ . . . τὸν* cod. *κινητὸν τοῦ οὐρανοῦ Robbe τὸ γενητὸν τὸν οὐρανὸν Rohde* 14 *ἐν τῇ* sc. *βίβλῳ* 15 post *ἰδέας* lacuna extat in cod.; suppl. *Robbe* 17 *ἴδια* cod. *ἀΐδια Robbe* *αὐτὰς ὁ . . . . ἀθάνατον — ἱππ.* cod.; lacunam suppl. *Robbe* 19 *διττήν* (cod. *δ*) et *αἰτίαν εἶναι ταύτης ἐκείνην* om. cod. add. *Robbe* 22 *τὸν κατ' ἐνέργειαν τὰ πράγματα νοοῦντα νοῦν εἶναι* olim scriptum fuisse coni. *Robbe* coll. Arist. de anima III, 7 23 *ἦθ . . . γονεν* cod. suppl. *Robbe* idem *ἐπεὶ* pro *εἰ* mavult, *εἴ γε ἐν μὲν Rohde* 25 sic suppl. *Rose*, Aristot. pseud. p. 47 *μὴ⟨ν οὐδὲ διαπορ⟩εῖν Robbe* 27 *οὐ μόνον τὸν εὐ . . . . ά* cod. supplevit *Rose*,

ἀποδεικνύντα', καὶ ἐν τοῖς ἠθικοῖς Νικομαχείοις· 'φίλος μὲν ὁ ἀνήρ, φίλη δὲ ἡ ἀ⟨λήθεια⟩· ἀμφοῖν δὲ φίλοιν ὄντοιν, ὅσιον προτιμᾶν τὴν ἀλήθειαν', καὶ ἐν τοῖς μετεώροις· 'ὧν ⟨τὰ μὲν ἀπορο⟩ῦμεν, τῶν δὲ ἐφαπτόμεθά τινα τρόπον', καὶ ἐν τοῖς αὐτοῖς· 'οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλ' ⟨ἀπειράκις τὰς αὐτὰς⟩ γίνεσθαι τοῖς ἀνθρώποις δόξας, ἵνα μὴ μέγα φρονῶμεν ἐφ' οἷς εὑρίσκειν δοκοῦμεν'. καὶ ⟨τοιοῦτος μὲν κατὰ τὸν βίον γέγονει ὁ φιλόσοφος.⟩ προσέθηκε δὲ τῇ φιλοσοφίᾳ πλείω ὧν παρ' αὐτῆς ἀνελέξατο. ⟨τῇ μὲν⟩ ἠθικῇ τὸ τὴν εὐδαιμονίαν μήτε ἐν τοῖς ἐκτὸς ἀποτίθεσθαι, ὡς ὁ πολύς ⟨λαός⟩, μήτε ἐν τῇ ψυχῇ μόνον, ὡς ὁ Πλάτων, ἀλλ' ἔχειν μὲν τὸ κῦρος ἐν ψυχῇ, ῥυπαίνεσθαι δὲ καὶ θλίβεσθαι μόνον αὐτὴν ὑπὸ τῶν ἐκτὸς μὴ εὖ ἐχόντων, οἰκείως ταῖς λέξεσι χρησάμενος, καὶ γὰρ τὰ ῥυπούμενα ἔνδον αὐτὸ τὸ κάλλος ἔχει, κρύπτεται δὲ κατὰ μόνην τὴν ἐπιφάνειαν, καὶ τὰ τριβόμενα, τὸ αὐτὸ μέγεθος ἔχοντα κατ' ἀλήθειαν, ἐλάττω φαί-
8 νεται μόνον. τῇ δὲ φυσιολογίᾳ προσέθηκε τὴν πέμπτην οὐσίαν καὶ τὸ κατ' εἰσδοχὴν ὁρᾶν. τῇ δὲ μαθηματικῇ τὸ ὀξύγωνον εἶναι τὸν κῶνον τῶν ὄψεων διὰ τὸ ἐπιπλέον προϊέναι τὴν ὄψιν οὗ ὁρᾷ μεγέθους, καὶ κατὰ τοῦτο γὰρ οὐδὲν τῶν ὁρμωμένων ὅλον ἅμα ὁρᾶται, καὶ ταύτῃ μείζονα γενέσθαι τὸν ἄξονα τῆς ἐκ τούτου τῆς βάσεως καὶ ὀξύγωνον τὸν κῶνον ἀποτελεῖσθαι. τῇ δὲ θεολογίᾳ τὸ μὴ τὰ πάντα ἐγκόσμια εἶναι, ὡς τὸ εἰκός, ἀλλ' εἶναί τι καὶ ὑπερκόσμιον. ἐν γὰρ τῷ πέμπτῳ τῆς φυσιολογικῆς τὸ πρῶτον μηδὲ κατὰ συμβεβηκός φησι κινεῖσθαι, τοῦ ἐγκοσμίου διὰ τὸ ᾧ συντέτακται, κατὰ συμβεβηκὸς κινομένου. καὶ ἐν τῷ ὀγδόῳ τῆς φυσικῆς τὸ πρώτως κινοῦν ἀκίνητον εἶναι βούλεται. αὐτοῦ δὲ εὕρημα καὶ ἡ λογικὴ τὰς συλλογιστικὰς μεθόδους ἀπὸ ⟨τῶν πραγμάτων διακρίν⟩αντος.

Arist. pseudep. p. 47. Aliæ molitur *Robbe* 2 *φίλη δὲ ἡ ἀ* ..... in lacuna cod., quod suppl. *Robbe* coll. Eth. Magn. I, 4 3 *ὧν .... υμεν* et infra *οὐδὲ δὶς ἀλλ' .... γενέσθαι* cod. suppl. *Robbe* 7 *δοκοῦμεν καὶ .... ὁ φιλόσοφος* cod. lacunam expl. *Robbe* 9 *τῇ μὲν* om. cod. add. *Robbe* 10 sicut Polyaenus dicit lat. versio, quod absurdum putat *Robbe*, qui *ὄχλος* add., *λαὸς* mavult *Rohde* 11 *ἀλλ' ἐνεῖναι μ. τ. κ. ἐν τ. ψυχῇ* vel *ἀλλ' ἔχειν — τὴν ψυχήν* *Rohde* 25 Cf. Phys. Acroas. V, 1, *τὸ πρῶτον αἴτιον οὐδὲ καθ' ἑαυτὸ κινητόν ἐστι οὐδὲ κ. συμβ.* rectius in Ammon. p. 401, 100 West. 27 Cf. ib. VIII, 5 30 *ἀπο ...... αντος* cod. suppl. *Robbe*

ἐπαναστάντων δὲ αὐτῷ τῶν Ἀθηναίων, ὑπεχώρησεν εἰς Χαλκίδα τοσοῦτον ὑπειπών, ὡς ‘οὐ συγχωρήσω Ἀθηναίοις δὶς ἁμαρτεῖν εἰς φιλοσοφίαν’. ἐπεὶ δὲ ⟨οὐ⟩ τὰ αὐτὰ καθήκοντα ἦν πολίτῃ καὶ ξένῳ περὶ τὴν τῶν Ἀθηναίων πόλιν, ἐπιστέλλων Ἀντιπάτρῳ γράφει τὸ Ἀθήνησι διατρίβειν ἐργῶδες ‘ὄγχνη γὰρ ἐπ’ ὄγχνῃ γηράσκει, σῦκον δ’ ἐπὶ σύκῳ’, τὴν διαδοχὴν τῶν συκοφαντούντων αἰνιττόμενος. καὶ τελευτᾷ ἐκεῖσε διαθήκην ἔγγραφον καταλιπών, ἣ φέρεται παρά τε Ἀνδρονίκῳ καὶ Πτολεμαίῳ μετὰ ⟨τὸν⟩ πίνακα τῶν αὐτοῦ συγγραμμάτων, ἐπὶ ⟨παισὶ⟩ μὲν Νικομάχῳ καὶ Πυθαΐδι, γνησίοις δὲ μαθηταῖς Θεοφράστῳ, Φανίᾳ, Εὐ⟨δήμῳ⟩, Κλυτῷ, Ἀριστοξένῳ, Δικαιάρχῳ, συντάγμασι δὲ χιλίοις τὸν ἀριθμόν, πολλὰ μὲν δυν⟨άμενος παρὰ τοῖς⟩ κατ’ αὐτὸν βασιλεῦσι, Φιλίππῳ, Ὀλυμπιάδι, Ἀλεξάνδρῳ, Ἀντιπάτρῳ, τῇ δὲ δυνάμει ὀρ⟨γάνῳ⟩ φιλοσοφίας χρησάμενος. ἴδιον δὲ τῆς Ἀριστοτέλους φιλοσοφίας τὸ μὴ ἀφίστασθαι τῶν ἐναργῶν· μετὰ γὰρ τὰς ἀποδείξεις καὶ τοὺς πολλοὺς μαρτύρεται· καὶ ἐν τῷ περὶ οὐρανοῦ τοὺς πλανῆτας ἀνωμάλως κινεῖσθαι λέγει διὰ τὴν ἐνάργειαν, ⟨τῶν σφαιρῶν⟩ τῶν ἀνελιττουσῶν τὴν ὁμαλὴν κίνησιν σωζουσῶν· καὶ ἐν ταῖς κατηγορίαις καταπλήττεται τὰς ἀτόμους οὐσίας, καὶ π⟨ροτί⟩θησι τῶν καθόλου διὰ μόνην τὴν ἐνάργειαν· καὶ γὰρ ὅτι τὰ καθόλου οὐκ ἔστι καὶ ἐν τοῖς περὶ ψυχῆς φησι· ‘τὸ δὲ ζῷον τὸ καθόλου ἤτοι οὐδέν ἐστιν ἢ ὕστερον’· ἀσαφὲς γὰρ τὸ ἐν τοῖς πολλοῖς καθόλου, διὸ καὶ καταναγκάζει πάντα ἐκ τῆς ἐναργείας.

---

3 οὐ add. *Rohde*, οὐκ ante ἦν *Robbe*, αὐτὰ om. cod., sed in marg. additum est 4 περὶ — πόλιν commutanda aut expungenda putat *Robbe* 7 ἐκεῖ[σε] expuncta extrema syllaba inepte *Robbe* 9 μετα . . . . πιναχ. cod. corr. *Robbe* παισὶ om. cod. add. *Robbe* 11 εὐ . . . κλυτῷ cod. ex latina Versione textum restituit *Robbe* 12 πολλὰ μὲν δυν . . . . κατ’ cod. suppl. *Robbe* 14 δυνάμει ὀρ . . . . . φιλοσοφίας cod., quod suppl. *Robbe* coll. lat. vers. ‘plurimum autem usus est organo philosophiae’. Fort. transpon. φιλοσοφίας ὀργάνῳ 18 τῶν σφαιρῶν utique supplendum esse vidit *Robbe*; nihil praeter ipsam hanc vocem intercidisse arbitratur *Rohde*, coll. Aristot. Metaph. Λ, 8 20 π . . . . θησι cod., quod suppl. *Robbe* 24 πάντα corr. *Rohde*, πάντας cod. *Robbe*

INDEX VITARUM HESYCHIANARUM.

I. Poetae epici.

Ἄβαρις
Αἰθέριος
Αἰσχρίων
[Αἴσωπος]
Αντίμαχος
Ἀπολλώνιος
Ἄρατος
Ἀριστέας
Ἀρκτῖνος
Ἀρριανός
Βαβρίας
Γεώργιος
Δάμασος
Διονύσιος Μιτ.
„ Βυζ.
„ Κορ.
Ἐπιμενίδης
Εὔμολπος
Εὔοδος
Εὐφορίων
Ἤριννα
Ἡροφίλα
Ἡσίοδος
Θάμυρις
Θεοδόσιος
Θεόδωρος
Ἰδαῖος Ῥόδ.
Καλλίμαχος
Κικίλιος
Κλαυδιανός
Κόλουθος
Κόριννος
Κρεώφυλος
Κῦρος
Λεσχίδης
Μενέλαος
Μουσαῖος
„ Ἐφ.
„ Θεβ.
Νέστωρ
[Νόννος]
Ὅμηρος
Ὀππιανός
Ὀρφεύς
„ alter
„ tertius
Ὀρφεύς quartus
„ quintus
Παλαίφατος
Παλαμήδης
Παμπρέπιος
Πανόλβιος
Πανύασις
Παρθένιος
Πείσανδρος
„ alter
Πέρσης
Πίγρης
Πτολεμαῖος
Σίβυλλαι
Σιμωνίδης
„ alter
Σωτήριχος
Τριβωνιανός
Φερεκύδης Ἀθ.
Χοιρίλος (Σαμ. et Ἰασ.)
Χριστόδωρος
„ alter
Ὠλήν

II. Poetae Lyrici.

Ἀλκμάν
[„ alter]
Ἀνακρέων
Ἀρίων
Βακχυλίδης
Δωσιάδης
Θαλήτας
„ alter
Θεανώ
Θέογνις
Θεόκριτος
Ἴβυκος
Ἱππῶναξ
Κλεοβουλίνη
Κόριννα
Κόριννα altera
[„ tertia]
Λίνος
„ alter
Μαριανός
Μελανιππίδης
„ alter
Μελέαγρος
Μεσομήδης
Μίμνερμος
Μυῖα
„ altera
Μυρώ
Παρθένιος
Πίνδαρος
Πίνδαρος alter
Σαπφώ
[„ altera]
Σιμωνίδης
„ alter
Σιμωνίδης Ἀμ.
Στησίχορος
Σωτάδης
Τελέσιλλα
Τέρπανδρος
Τιμόθεος
Τυρταῖος
Φιλόξενος
Φωκυλίδης

III. Poetae tragici.

Ἀγάθων
Αἰσχύλος
Ἀλκαῖος
Ἀλκιμένης
Ἀπολλόδωρος
Ἀρίσταρχος
Ἀστυδάμας
„ alter
Ἀχαιός

Ἀχαιός alter
Δικαιογένης
Διογένης
Διονυσιάδης
Διονύσιος τυρ.
" " alter
Ἐμπεδοκλῆς
Εὐριπίδης
" alter
" tertius
Εὐφορίων
Θέσπις
Ἰοφῶν
Ἴων
Καρκῖνος
" alter
" tertius
Κλεοφῶν
Λυκόφρων
Νεόφρων
Νικόμαχος
" alter
Πρατίνας
Σοφοκλῆς
Σοφοκλῆς alter
" tertius
Σπίνθαρος
Σωσίθεος
Σωσιφάνης
Τιμησίθεος
Φιλίσκος
Φιλοκλῆς
Φρύνιχος
" alter
Χαιρήμων
Χοιρίλος

IV. Poetae comici.

Αἴνικος
Ἄλεξις
Ἀλκαῖος
Ἀλκιμένης
Ἀμειψίας
Ἄμφις
Ἀναξανδρίδης
Ἀναξίλας
Ἀνάξιππος
Ἀντιφάνης
" alter
" tertius
Ἀπολλόδωρος Ἀθ.
" Γελ.
Ἀπολλοφάνης
Ἀραρώς
Ἀριστομένης
Ἀριστοφάνης
Ἀριστώνυμος
Ἀρχέδικος
Ἄρχιππος
Αὐγέας
Αὐτοκράτης
Βάτων
Δαμόξενος
Δεινόλοχος
Δεξικράτης
Διόδωρος
Διοκλῆς
Διώξιππος
Ἐπιγένης
Ἐπικράτης
Ἐπίλυκος
Ἐπίνικος
Ἐπίχαρμος
Ἔριφος
Ἕρμιππος
Εὐάγγελος
Εὔβουλος
Εὐθυκλῆς
Εὔπολις
Εὔσχημος
Εὔφρων
Ἔφιππος
Ἡγήμων
Ἡγήσιππος
Ἡνίοχος
Θεόγνητος
Θεόπομπος
Θεόφιλος
Ἵππαρχος
Καλλίας
Κάνθαρος
Κηφισόδωρος
Κράτης
" alter
Κρατῖνος
Λεύκων
Λύσιππος
Μάγνης
Μένανδρος
Μενεκράτης
Μένιππος
Μεταγένης
Μνησίμαχος
Μυρτίλος
Ναυσικράτης
Νικόστρατος
Νικοφῶν
Νικοχάρης
Ξέναρχος
Πλάτων
Πολύευκτος
Πολύζηλος
Ποσείδιππος
Ῥίνθων
Σαννυρίων
Στράττις
Στράτων
Σώπατρος
[" alter]
Σωτάδης
Σώφιλος
Σώφρων
[" alter]
Τηλέστης
Τηλεκλείδης
Τιμόθεος
Τιμοκλῆς
" alter
Τιμοκρέων
Φερεκράτης
Φιλέταιρος
Φιλήμων
" alter.
Φιλιππίδης
Φίλιππος
Φιλίσκος
Φιλιστίων
Φιλύλλιος
Φιλωνίδης
Φοινικίδης
Φόρμος
Φρύνιχος
Χιωνίδης
Ὠφελίων

V. Historici.

Ἀγαθίας
Αἰνείας
Ἀκουσίλαος
Ἀλέξανδρος Μυνδ.
Ἀναξίμανδρος
[Ἀντικλείδης]
Ἀντίπατρος
Ἀπολλώνιος
Ἀππιανός

VI. Grammatici.

VII. Rhetores.

VIII. Philosophi.

Κράτης Μαλλ.
Κρίτων
Λακύδης
Λεσβῶναξ
Λέων Βυζ.
Λογγῖνος
Λυκοῦργος
Μάναιχμος
Μάνεθως
" alter
Μάξιμος Τυρ.
" Ἠπ.
Μαρῖνος
Μάρκος Ἀντ.
Μέλισσος
Μουσώνιος
Μυῖα
Μυρώ
Νεοκλῆς
Νικόλαος
Νικόμαχος
Νουμήνιος
⟨Ξενοκράτης⟩
Ξενοφῶν
Οἰνόμαος
Ὀλυμπιόδωρος
Ὀνόσανδρος
Παλαίφατος
Πάμφιλος
Παναίτιος
" alter
Πανύασις
Πάππος
Παρμενίδης
Παῦλος
Περίανδρος
Περσαῖος
Πετόσιρις
Πιττακός
Πλάτων
Πλούταρχος
" alter
Πλωτῖνος
Πολέμων
Πόλλης
Πολύκαρπος
Πορφύριος
Ποσειδώνιος
" alter
Ποτάμων
Πρόδικος
Πρόκλος
" alter
" tertius
" quartus
Πτολεμαῖος
Πυθαγόρας
Πύρρων
[" alter]
Πωλίων
Σαγχωνιάθων
Σαγχωνιάθης
Σάνθων (cf. Σκάμων)
Σέξτος
" alter (cf. Ἀφρικ.)
Σιλβανός
Σιμμίας
Σιμπλίκιος
Σκάμων (cf. Σάνθων)
Σκύλαξ
Σόλων
Σπεύσιππος
Στίλπων
Στράβων
Στράτων
Συνέσιος
Συριανός
Σωκράτης
Σωτάδας
Σωτάδης
Ταῦρος
Τηλαύγης
Τιβέριος
Τιμαγένης
Τίμαιος
Τίμων
[" alter]
Τυραννίων
Ὑπατία
Φαβωρῖνος
Φαίδων
Φανίας
Φερεκύδης
Φιλίσκος
⟨Φίλιππος Ὀπούντιος⟩
Φίλων Ἰουδ.
" Καρπ.
Χαιρεφῶν
Χίλων
Χρύσιππος

IX. Medici.

Ἄκρων
Ἀριστογένης
" alter
Ἀρχιγένης
Ἀστράμψυχος
Γαληνός
Δέξιππος
Δημοκήδης
Διοσκορίδης
Ἐρασίστρατος
Θέσσαλος
Ἰάκωβος
Ἱπποκράτης
" alter
" tertius
" quartus
" quintus — septimus
Κτησίας
Μάρκελλος
Μενεκράτης
Νικόμαχος
Ὀρειβάσιος
Παῦλος Αἰγ.
Ῥοῦφος
Σαλούστιος
Σωρανός
" alter
Φιλάγριος
Χείρων

X. Musici.

Ἀμφίων
Ἀντιγενίδης
Λᾶσος
Ὄλυμπος
" alter
(Πυθοκλείδης not.)
(Σκύλαξ)

XI. Pictores

Ἀπελλῆς
Πάμφιλος
Πρωτογένης.

———

INDEX GLOSSARUM SUIDANARUM

(praeter ecclesiasticas) quae in Westermanni Biographorum editione desiderantur.

Ἄβαρις
Ἀθηνόδωρος
Ἀλκιβιάδης
Ἀλκίφρων
Ἀμειψίας
Ἄμφις
Ἀμφίων
Ἀναξίλας
[*Ἀντικλείδης*]
Ἀντιφῶν alter
Ἄντυλλος
Ἄνυτος
Ἀπελλῆς
Ἀστράμψυχος
Αὔγουστος Καῖσαρ
Βάρρων
Βασίλειος
Βροῦτος
Γάϊος Ἰούλιος Καῖσαρ
Γάϊος Καῖσαρ
Γεώργιος Πισ.
Γρηγόριος Ναζ.
Δημοκήδης
Διονύσιος Ἁλ.
Διοσκόρος Μυρ.
Δράκων
Εὐάγριος
Εὐστέφιος
Εὐτρόπιος
Ἡροφίλα
Θάμυρις
Θεμιστοκλῆς
Ἰάκωβος
Ἰουλιανός alter
Ἱππαρχία
Ἰσίδωρος
Ἰφικράτης
Καρνεάδης alter
Κλέαρχος Σολεύς
Λίνος
Λυκοῦργος Σπαρτ.
Μάνεθως Μενδ.
Μάρκος Ἀντων.
Μυῖα Πυθαγ.
Νουμήνιος Ἀπ.
Ὀλυμπιόδωρος
Ὄλυμπος alter
Ὀρειβάσιος
Οὔαρος
Οὐλπιανὸς Γαζ.
Παγκράτιος alter
Πανύασις alter
Πάξαμος
Παῦλος Αἰγ.
Παῦλος φιλ.
Περικλῆς
Πίνδαρος alter
Πόλλης
Πρωτογένης
Σαγχωνιάθων et
Σαγχωνιάθης
Σεβῆρος
Σιλβανός
Σώπατρος σοφ.
Σωτάδας Βυζ.
[*Σωτηρίδας*]
Τίμων μισ.
Τουσκιανός
Τριβωνιανὸς Μακ.
Φάλαρις
Φιλιππίδης
Φίλων Καρπ.
Χίλων
Χοιρίλος τραγ.
Ὡραπόλλων


U. C. BERKELEY LIBRARIES
C046282697